

НБ ОНУ імені І.І.Мечникова





НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

ΠΑΥΣΑΝΙΟΥ
ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΙΣ

PAUSANIAE
GRAECIAE DESCRIPTIO

GRAECE

RECENSUIT, EX CODD. ET ALIUNDE
EMENDAVIT, EXPLANAVIT
JO. FRIDER. FACIUS.

TOMUS I.

LIPSIAE
in bibliopolio Schaeferiano
cIↃ IↃ cc xciv.

НБ ОНУ імені І.І.Мечникова

Наукова бібліотека
ОДЕСЬКОГО НАЦІОНАЛЬНОГО
УНІВЕРСИТЕТУ
імені І. І. МЕЧНИКОВА

НЕ ОНУ імені І.І.Мечникова

PRAEFATIO.

En, L. B., Pausaniae editionem paullo emendatiorem et accuratiorem, quam ante centum annos et quod excurrit publicari potuit. Emendatior illa evasit novo et raro beneficio V. C. I. G. HEYNE, praeceptoris ac fautoris nunquam satis mihi colendi, cui omnia me debere profiteor; qui quidem omni ad Pausaniam emendandum et explanandum doctrinae copia et apparatu instructus ad illum edendum sese accinxerat, cum singulari studio, quo omnis generis incepta fovet, quibus res literaria augeri et provehi possit, permotus, illo consilio abjecto, duorum Codicum Pausaniae variam lectionem liberaliter precibus meis concederet. Pro quo mirae et rarae humanitatis ac facilitatis officio gratissimi animi sensum non publice solum testor, sed debitis gratiis peragendis me paene imparem esse profiteor.

Quum editoris officium in iis potiſſimum poſitum eſſe perſuaſum haberem, quae *Wyttenbachius* V. C. praeclare praecepit *), illud mihi praecipue agendum eſſe cenſui, ut textum Pauſaniae conſtituerem; ad quem emendandum et caſtigandum potiſſimum varia lectione duorum librorum manuſcriptorum et *Amaſaei* verſione adjutus ſum. Quod ad hos Codd. collatos attinet, alter eſt Caeſar. Vindobonenſis, qui in *Catalogo Bibl. Caeſar. Vindob.* etc. a *D. de Neſſel* vulgato n. XXIII. notatur, cujus lectioni in multis locis lectio Cod. Vind. n. LI. ſubjecta eſt; alter autem Moſquenſis. Neuter eorum ex altero, nec uterque ex uno eodemque deſcriptus eſt exemplari, quippe cuique ſua lectionis varietas. Moſquenſis, qui ſaepe verba et ſententias omiſit, inſignitur ν paragogico continue fere addito et accentus poſitione a vulgari aliena. Illius vero lectionem cum Aldina ſaepius congruere deprehendi.

Nec mihi defuerunt virorum eruditorum ad Pauſaniam emendandum conjecturae; quas quidem in notis propoſui, nullam vero in textum recepi, niſi maxime probabilem et eo demum loco, qui manifeſto corruptus et mendoſus eſſet.

Altera

*) Vid. ejus Deſcript. ac Spec. Edit. Oper. Plutarchi in Bibl. Crit. Vol. III. P. I. p. 3.

Altera pars operae, quam Pauſaniae navavi, nec iſta mediocris, recta verborum interpunctione continetur, cujus beneficio quot loci corrupti ſint reſtituti, quot obſcuri et impediti ſint expliciti, experiri licet cum textu *Kuhnii* collatione.

Nec minor negotii ſuscepti pars fuit in *ſummariis*, quae dicunt, disponendis. Qui vero Pauſaniae ſcribendi morem paullo duriorem et crebris interpoſitionibus impeditum novit, ſummaria iſta non ad amuſſim exigi potuiſſe intelliget.

Capitum quidem diſtinctio identidem prava forſan fuiſſet emendanda; ſed ne in locis ex Pauſania a tot ſcriptoribus ſecundum capita a *Kuhnio* diſtincta excitatis et in hac ipſa editione excitandis confuſio quaedam enaſceretur, illam retinui, et, ubi commodius hujusmodi diſtinctio ponenda fuiſſet, abrupto στίχῳ et in animadverſionibus notavi.

In interpretatione denique et illuſtratione illud inprimis ſpectavi, ut ſententias paullo obſcuriores redderem claras et ſcribendi ac ſententias enuntiandi rationem Pauſaniae familiarem explicarem et adnotarem, nec, quae ex aliis ſcriptoribus ad Pauſaniam illuſtrandum laudari poſſent, praetermitterem.

Tomus

Tomus *primus* IV. Libros priores complectitur; *alter* etiam IV. et *tertius* II. cum neceſſariis Indicibus continebit.

Vale, L. B., et incepto fave.

НБ ОНУ імені І.І.Мечникова

ΠΑΥΣΑΝΙΟΥ

ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΕΩΣ

ΑΤΤΙΚΑ.

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

ATTICA SEU LIB. I.

CAPUT I.

De Sunio, Laurio promontoriis — Piraeo, templis ac ſignis in eo — de Munychio et Phalero portubus — Veneris cultu apud Cnidios — aris Deorum ignotorum, aliisque ſignis et templis.

Τῆς ἠπείρου τῆς Ἑλληνικῆς, κατὰ νήσους τὰς Κυκλάδας καὶ πέλαγος τὸ Αἰγαῖον, ἄκρα Σούνιον πρόκειται γῆς τῆς Ἀττικῆς· καὶ λιμήν τε παραπλεύσαντι τὴν ἄκραν ἐστὶ, καὶ ναὸς Ἀθηνᾶς Σουνιάδος ἐπὶ κορυφῇ τῆς ἄκρας. πλέοντι δὲ ἐς τὸ πρόσω Λαύριόν [1]) τέ ἐστι, ἔνθα ποτὲ Ἀθηναίοις ἦν ἀργύρου μέταλλα, καὶ νῆσος ἔρημος οὐ μεγάλη, Πατρόκλου καλουμένη. τεῖχος γὰρ ὠκοδομήσατο ἐν αὐτῇ, καὶ χάρακα ἐβάλετο Πάτροκλος, ὃς τριήρεσιν ὑπέπλει [2]) ναύαρχος Αἰγυπτίαις, ἃς Πτολεμαῖος ὁ τοῦ Λάγου [3])

1) Λαύριον] Sic et ſcribitur in Thucyd. II. C. 55. Apud Herodot. VII. ſ. 144. eſt Λαυρεῖον, ubi vid. Weſſeling. et Gottleb. ad Thucyd. l. c.

2) Πάτροκλος — ὑπέπλει] Vid. de his plura L. III. C. 6. Codex Vindob. habet ἐπέπλει.

3) Πτολεμαῖος ὁ τοῦ Λάγου] Cum ex temporum ratione, tum ex L. I. C. 7. conſtat, non Ptolemaeum Lagi filium, ſed Ptolemaeum Philadelphum, filium Ptolemaei Lagi, tunc Athenienſibus auxilio fuiſſe. Quare *Kuhn.* vel υἱωνὸς hic ſupplendum, vel iſta

τιμωρεῖν ἔξειλεν Ἀθηναίοις, ὅτε σφίσιν Ἀντίγονος ὁ Δημητρίου στρατιᾷ τε αὐτὸς ἐσβεβληκὼς ἔφθειρε τὴν χώραν, καὶ ναυσὶν ἅμα ἐκ θαλάσσης κατεῖργεν.

2 Ὁ δὲ Πειραιεὺς δῆμος [4]) μὲν ἦν ἐκ παλαιοῦ, πρότερον δὲ, πρὶν ἢ Θεμιστοκλῆς Ἀθηναίοις ἦρξεν, ἐπίνειον οὐκ ἦν· Φαληρὸν δὲ, ταύτῃ γὰρ ἐλάχιστον ἀπέχει [5]) τῆς πόλεως ἡ θάλασσα, τοῦτο σφίσιν ἐπίνειον ἦν. καὶ Μενεσθέα [6]) φασὶν αὐτόθεν τοῖς ναυσὶν ἐς Τροίαν ἀναχθῆναι, καὶ τούτου πρότερον Θησέα δώσοντα Μίνῳ δίκας τῆς Ἀνδρόγεω τελευτῆς [7]). Θεμιστοκλῆς δὲ ὡς ἦρξε (τοῖς τε γὰρ πλέουσιν ἐπιτηδειότερος ὁ Πειραιεὺς ἐφαίνετό οἱ προκεῖσθαι, καὶ λιμένας τρεῖς [8]) ἀνθ' ἑνὸς ἔχειν τοῦ Φαληροῦ [9])) τοῦτο σφίσιν ἐπίνειον εἶναι κατεσκεύασατο. καὶ νεὼς καὶ ἐς ἐμὲ ἦσαν οἶκοι, καὶ πρὸς τῷ μεγίστῳ λιμένι τάφος Θεμιστοκλέους. φασὶ γὰρ μεταμελῆσαι τῶν ἐς Θεμιστοκλέα Ἀθηναίοις, καὶ ὡς

ista justo concisius expressa pro Πτολεμαῖος ὁ Πτολεμαίου τοῦ Λάγου posita esse putat. Equidem post ὁ excidisse Πτολεμαίου conferem. Sic plene L. VI. C. 17. est Πτολεμαῖον δὲ τοῦ Πτολεμαίου τοῦ Λάγου.

4) Δῆμος] *Pagus.* Idem dicit Strabo L. IX. p. 606. ed. Almelov. De Δήμοις Atticae vid. Strab. L. IX. p. 610. 611.

5) ἐλάχιστον ἀπέχει τ. π.] L. VIII. C. 10. viginti stadia ab urbe abesse lepimus.

6) Μενεσθέα] Fuit e posteris Erechthei, regis Athen. Vid. Perizon. ad Aelian. V. H. p. 341. ed. Gronov.

7) τῆς Ἀνδρόγεω τελευτῆς] Vid. L. I. C. 27. in fine.

8) λιμένας τρεῖς] Thucyd. L. I. C. 93. λιμένας ἔχον τρεῖς αὐτοφυεῖς. Duo eorum nomina, ὁ Κανθάρου λιμὴν, τὸ Ἀφροδίσιον, servata sunt in Schol. ad Aristoph. Pac. v. 144., tertium Ζέα in Hesychio h. v. Vid. Meurs. de Piraeeo C. III. et IX.

9) Φαληροῦ] Sic ex Cod. Vind. repossi pro vulgata mendosa Φαληρεῖ. — Νεὼς — οἶκοι, alias continua scriptura, *navalia* sunt *triremibus subducendis.*

ὡς οἱ προσήκοντες τὰ ὀστᾶ κομίσαιεν ἐκ Μαγνησίας ἀνελόντες. Φαίνονται δὲ οἱ παῖδες οἱ Θεμιστοκλέους, καὶ κατελθόντες, καὶ γραφὴν ἐς τὸν παρθενῶνα ἀναθέντες, ἐν ᾗ Θεμιστοκλῆς ἐστι γεγραμμένος. Θέας δὲ 3
ἄξιον τῶν ἐν Πειραιεῖ μάλιστα Ἀθηνᾶς ἐστι καὶ Διὸς τέμενος· χαλκοῦ μὲν ἀμφότερα τὰ ἀγάλματα, ἔχει δὲ ὁ μὲν σκῆπτρον, καὶ νίκην, ἡ δὲ Ἀθηνᾶ δόρυ. ἐνταῦθα Λεωσθένην, ὃς Ἀθηναίοις καὶ τοῖς πᾶσιν Ἕλλησιν ἡγούμενος Μακεδόνας ἔν τε Βοιωτοῖς ἐκράτησε μάχῃ, καὶ αὖθις ἔξω Θερμοπυλῶν, καὶ βιασάμενος ἐς Λαμίαν κατέκλεισε τὴν ἀπαντικρὺ τῆς Οἴτης [10]), τοῦτον τὸν Λεωσθένην [11]), καὶ τοὺς παῖδας ἔγραψεν Ἀρκεσίλαος. ἔστι δὲ τῆς στοᾶς τῆς μακρᾶς, ἔνθα καθέστηκεν ἀγορὰ τοῖς ἐπὶ θαλάσσῃ (καὶ γὰρ τοῖς ἀπωτέρω τοῦ λιμένος ἐστὶν ἑτέρα), τῆς δὲ ἐπὶ θαλάσσῃ στοᾶς ὄπισθεν ἑστᾶσι Ζεὺς καὶ Δῆμος [12]), Λεωχάρους ἔργον. πρὸς δὲ τῇ θαλάσσῃ Κόνων ᾠκοδόμησεν Ἀφροδίτης ἱερὸν, τριήρεις Λακεδαιμονίων κατεργασάμενος

10) ἐς Λαμίαν κ. τὴν ἀπαντικρὺ τῆς Οἴτης] *Palmer.* Exercit. in auct. graec. p. 358. ista postrema adjecta esse putat ad Lamiam Thessaliae ab altera Lamia in Boeotia distinguendam. Contra *Van Staveren* in Miscell. Observ. Vol. X. T. I. p. 302. pro illis legi vult κατεκλ. τὸν Ἀντίπατρον· quam conjecturam firmare studet Plut. Demosth. C. 27. init.

11) Λεωσθένην] Ex Cod. Vind. et Mosc. pro vulg. Λεωσθένη. De Leosthene vid. et L. I. C. 25.

12) Δῆμος] Populi Athenienses imagine expressi aliquoties in Paus. fit mentio. Sic pictura memoratur L. I. C. 3. δημοκρατία τε καὶ δῆμος; statua ibid. δῆμος, ἔργον Λύσωνος; populi Spartani statua L. III. C. 11. in fine. Populi Athenienses imaginem Parrhasium ingeniose pinxisse, etiam Plinius refert H. N. L. XXXV. C. 10. p. 693. ed. Hard. Attici vero populi imaginem viri personam habuisse, ex Aristoph. Equit. v. 1112. (coll. v. 720. 727.) colligit *Heyne* V. C. in Prolus. *de libertate et aequalitate civili in Athen. republica.*

περὶ Κνίδον τὴν ἐν τῇ Καρικῇ Χερρονήσῳ. Κνίδιοι γὰρ τιμῶσιν Ἀφροδίτην μάλιστα, καὶ σφίσιν ἐστὶν ἱερὰ τῆς θεοῦ. τὸ μὲν γὰρ ἀρχαιότερον Δωρίτιδος· μετὰ δὲ τὸ, Ἀκραίας· νεώτατον δὲ, ἣν Κνιδίαν οἱ πολλοὶ, Κνίδιοι δὲ αὐτοὶ καλοῦσιν Εὔπλοιαν.

4 Ἔστι δὲ καὶ [13]) ἄλλος Ἀθηναίοις ὁ μὲν ἐπὶ Μουνυχίᾳ λιμὴν, καὶ Μουνυχίας ναὸς Ἀρτέμιδος· ὁ δὲ ἐπὶ Φαληρῷ, καθὰ καὶ πρότερον εἴρηταί μοι, καὶ πρὸς αὐτῷ Δήμητρος ἱερόν. ἐνταῦθα καὶ Σκιράδος [14]) Ἀθηνᾶς ναός ἐστι, καὶ Διὸς ἀπωτέρω· βωμοὶ δὲ θεῶν τε ὀνομαζομένων ἀγνώστων [15]) καὶ ἡρώων καὶ παίδων τῶν Θησέως καὶ Φαληροῦ· τοῦτον γὰρ τὸν Φαληρὸν Ἀθηναῖοι πλεῦσαι μετὰ Ἰάσονός φασιν ἐς Κόλχους. ἔστι δὲ καὶ Ἀνδρόγεω βωμὸς τοῦ Μίνω, καλεῖται δὲ ἡρῶος· Ἀνδρόγεω δὲ ὄντα ἴσασιν, οἷς ἐστιν ἐπιμελὲς τὰ ἐγχώρια σαφέστερον ἄλλων ἐπίστασθαι. Ἀπέχει δὲ καὶ σταδίους εἴκοσιν ἄκρα Κωλιάς· ἐς ταύτην, φθαρέντος τοῦ ναυτικοῦ τοῦ Μήδων [16]), κατήνεγκεν ὁ κλύδων τὰ ναυάγια. Κωλιάδος [17]) δέ ἐστιν ἐνταῦθα Ἀφροδίτης ἄγαλμα, καὶ Γενετυλλίδες [18]) ὀνομαζόμεναι θεαί. δοκῶ δὲ καὶ Φωκαεῦσι τοῖς ἐν Ἰωνίᾳ θεὰς, ἃς

13) δὲ καὶ] deest καὶ in Cod. Vind.

14) Σκιράδος Ἀθηνᾶς ναὸς] Hoc templum a vate quodam Sciro exstructum esse, L. I. C. 36. refert.

15) θεῶν τε — ἀγνώστων] Eorundem ara Olympiae posita memoratur L. V. C. 14.

16) τοῦ Μήδων] C. Vind. τῶν M.

17) Κωλιάδος — Ἀφροδίτης] Vid. plura de hoc Veneris cognomine in Schol. ad Aristoph. Nub. v. 52. Templi hujus Veneris mentio fit a Strab. L. IX. p. 611.

18) Γενετυλλίδες] Schol. ad Aristoph. Nub. v. 52. Γενετυλλὶς ἡ τῆς γενέσεως ἔφορος Ἀφροδίτη. Vid. et Schol. ad Arist. Lysistr. v. 2. et Hesych. v. Γενετυλὶς et Γενετυλλίδας.

ἃς καλοῦσι Γενναΐδας, εἶναι ταῖς ἐπὶ Κωλιάδι τὰς αὐτάς. ἔστι δὲ κατὰ τὴν ὁδὸν τὴν ἐς Ἀθήνας ἐκ Φαλήρου ναὸς Ἥρας, οὔτε θύρας ἔχων, οὔτε ὄροφον· Μαρδόνιόν φασιν αὐτὸν ἐμπρῆσαι τὸν Γωβρύου [19]). τὸ δὲ ἄγαλμα τὸ νῦν δή, καθὰ λέγουσιν, Ἀλκαμένους ἐστὶν ἔργον· οὐκ ἂν τοῦτό γε ὁ Μῆδος εἴη λελωβημένος [20]).

CAPUT II.

De Antiope Amazone — muris portus Piraeei — poëtis, qui cum regibus familiariter vixerunt — templis, porticibus et simulacris in urbe — regibus Atticis.

Ἐσελθόντων δὲ ἐς τὴν πόλιν, ἔστιν Ἀντιόπης μνῆμα Ἀμαζόνος. ταύτην τὴν Ἀντιόπην Πίνδαρος [1]) μέν φησιν ὑπὸ Πειρίθου καὶ Θησέως ἁρπασθῆναι, Τροιζηνίῳ δὲ Ἡγίᾳ τοιάδε ἐς αὐτὴν πεποίηται· Ἡρακλέα Θερμίσκυραν πολιορκοῦντα τὴν ἐπὶ Θερμώδοντι ἐλεῖν μὴ δύνασθαι, Θησέως δὲ ἐρασθεῖσαν Ἀντιόπην (στρατεῦσαι γὰρ [2]) ἅμα Ἡρακλεῖ καὶ Θησέα) παραδοῦναι τὸ χωρίον. τάδε μὲν Ἡγίας πεποίηκεν· Ἀθηναῖοι δέ φασιν, ἐπειτε ἦλθον Ἀμαζόνες, Ἀντιόπην μὲν

19) Γωβρύου] Sic reſcripſi pro vulg. Γωβρίου, auctoritatem Herodoti et Suidae ſecutus; in Pauſ. L. III. C. 11. et L. IX. C. 1. etiam eſt Γωβρύου.

20) Ἀλκαμένους — οὐκ ἂν τοῦτό γε ὁ Μῆδος etc.] Hartungus conjecit: τοῦτό γε ὃ ὁ Μῆδος, et Camerar. εἰ Ἀλκαμένους ἐστὶν ἔργον, οὐκ etc. Sed Kuhn. nil mutandum eſſe recte cenſet, cum Pauſan. tantum innuere voluerit, ſimulacrum a Mardonio ideo violari non potuiſſe, quod illud Alcamenis opus fuerit, qui longe poſt Mardonii expeditionem floruerit.

1) Πίνδαρος] Vid. Nem. III. v. 65. et ibi Scholia, cum quibus conferenda ſunt Schol. Lycophr. v. 1327.

2) στρατεῦσαι γὰρ] Cod. Vind. et Moſc. στρ. τε.

ὑπὸ Μολπαδίας τοξευθῆναι, Μολπαδίαν δὲ ἀποθανεῖν ὑπὸ Θησέως· καὶ μνῆμά ἐστι καὶ Μολπαδίας Ἀθηναίοις.

2 Ἀνιόντων δὲ ἐκ Πειραιῶς, ἐρείπια τῶν τειχῶν ἐστιν, ἃ Κόνων ὕστερον τῆς πρὸς Κνίδον ναυμαχίας ἀνέσησε· τὰ γὰρ Θεμιστοκλέους μετὰ τὴν ἀναχώρησιν οἰκοδομηθέντα τὴν Μήδων ἐπὶ τῆς ἀρχῆς καθηρέθη τῶν τριάκοντα ὀνομαζομένων. εἰσὶ δὲ τάφοι κατὰ τὴν ὁδὸν γνωριμώτατοι, Μενάνδρου τοῦ Διοπείθους, καὶ μνῆμα Εὐριπίδου κενόν. τέθαπται δὲ Εὐριπίδης ἐν Μακεδονίᾳ παρὰ τὸν βασιλέα ἐλθὼν Ἀρχέλαον· ὁ δὲ οἱ τοῦ θανάτου τρόπος, πολλοῖς γάρ ἐστιν εἰρημένος, ἐχέτω, καθὰ λέγουσι.

3 Συνῆσαν δὲ ἄρα καὶ τότε τοῖς βασιλεῦσι ποιηταί· καὶ πρότερον ἔτι καὶ Πολυκράτει Σάμου τυραννοῦντι Ἀνακρέων παρῆν, καὶ ἐς Συρακούσας πρὸς Ἱέρωνα Αἰσχύλος καὶ Σιμωνίδης ἐστάλησαν· Διονυσίῳ δὲ, ὃς ὕστερον [3]) ἐτυράννησεν ἐν Σικελίᾳ, Φιλόξενος παρῆν, καὶ Ἀντιγόνῳ Μακεδόνων ἄρχοντι Ἀνταγόρας Ῥόδιος [4]), καὶ Σολεὺς Ἄρατος. Ἡσίοδος δὲ καὶ Ὅμηρος ἢ συγγενέσθαι βασιλεῦσιν ἠτύχησαν, ἢ καὶ ἑκόντες ὠλιγώρησαν· ὁ μὲν ἀγροικίᾳ καὶ ὄκνῳ πλάνης, Ὅμηρος δὲ ἀποδημήσας ἐπὶ μακρότατον, καὶ τὴν ὠφέλειαν εἰς χρήματα παρὰ τῶν δυνατῶν ὑστέραν θέμενος τῆς παρὰ τοῖς πολλοῖς δόξης· ἐπεὶ καὶ Ὁμήρῳ πεποιη-

3) Διονυσίῳ δὲ, ὃς ὕστερον etc.] Dionysius major, qui post Hieronem imperium tenuit, intelligendus. Vid. Perizon. ad Ael. Var. Hist. p. 659., ubi et plura de Philoxeno.

4) Ἀνταγόρας Ῥόδιος] De hoc quaedam habet Athen. L. VIII. C. 5. p. 340. ejusque versus quosdam laudat Diogen. Laërt. IV. f. 21, 26.

πεποιημένα ἐστὶν, Ἀλκινόῳ παρεῖναι Δημοδόκον [5]), καὶ ὡς Ἀγαμέμνων καταλείποι τινὰ παρὰ τῇ γυναικὶ ποιητήν [6]). Ἔστι δὲ τάφος οὐ πόρρω τῶν πυλῶν, ἐπίθεμα ἔχων στρατιώτην ἵππῳ παρεστηκότα· ὃν τινα μὲν, οὐκ οἶδα, Πραξιτέλης δὲ καὶ τὸν ἵππον καὶ τὸν στρατιώτην ἐποίησεν.

Εἰσελθόντων δὲ εἰς τὴν πόλιν, οἰκοδόμημα ἐς παρασκευὴν ἐστι τῶν πομπῶν, ἃς πέμπουσι, τὰς μὲν ἀνὰ πᾶν ἔτος, τὰς δὲ καὶ χρόνου διαλείποντος· καὶ πλησίον ναός ἐστι Δήμητρος· ἀγάλματα δὲ αὐτή τε καὶ ἡ παῖς, καὶ δᾷδα ἔχων Ἴακχος [7])· γέγραπται δὲ ἐπὶ τῷ τοίχῳ γράμμασιν Ἀττικοῖς, ἔργα εἶναι Πραξιτέλους. τοῦ ναοῦ δὲ οὐ πόρρω Ποσειδῶν ἐστιν ἐφ' ἵππου, δόρυ ἀφιεὶς [8]) ἐπὶ γίγαντα Πολυβώτην, ἐς ὃν Κώοις ὁ μῦθος περὶ τῆς ἄκρας ἔχει τῆς Χελώνης· τὸ δὲ ἐπίγραμμα τὸ ἐφ' ἡμῶν τὴν εἰκόνα ἄλλῳ δίδωσι καὶ οὐ Ποσειδῶνι. 4 στοαὶ δέ εἰσιν ἀπὸ τῶν πυλῶν ἐς τὸν Κεραμεικὸν, καὶ εἰκόνες πρὸ αὐτῶν χαλκαῖ καὶ γυναικῶν καὶ ἀνδρῶν, ὅσοις τι ὑπῆρχε, καὶ ὧν τις λόγος ἐς δόξαν. ἡ δὲ ἑτέρα τῶν στοῶν ἔχει μὲν ἱερὰ θεῶν, ἔχει δὲ γυμνάσιον Ἑρμοῦ καλούμενον· ἔστι δὲ ἐν αὐτῇ Πολυτίωνος οἰκία, καθ' ἣν παρὰ τὴν ἐν Ἐλευσῖνι δρᾶσαι [9]) τελετὴν Ἀθηναίων φασὶν οὐ τοὺς ἀφανεσά-

5) Δημοδόκον] Vid. Hom. Odyss. VIII. v. 43. 44.

6) Ἀγαμέμνων — ποιητήν] Vid. Hom. Odyss. III. v. 267.

7) Ἴακχος] Ejus cultus ad mysteria pertinebat, inde μυστικὸς ὁ Ἴακχος. Bacchus ipse an alius hoc nomine cultus fuerit, obscurum. Suid. Ἴακχος, Διόνυσος ἐπὶ τῷ μαστῷ, καὶ ἥρως τις etc. Eadem fere habet Hesych. Multa de eo congessit Salmas. Exercit. in Sol. p. 750. 751.

8) ἀφιεὶς] Cod. Vind. ἀφείς.

9) παρὰ — δρᾶσαι] Per tmesin poëtis familiarem παρὰ a δρᾶν separatum est. Παραδρᾶν idem

νεστάτους· ἐπ' ἐμοῦ δὲ ἀνεῖτο [10]) Διονύσῳ. Διόνυσον δὲ τοῦτον καλοῦσι μελπόμενον ἐπὶ λόγῳ τοιῷδε, ἐφ' ὁποίῳπερ Ἀπόλλωνα μουσηγέτην. ἐνταῦθά ἐστιν Ἀθηνᾶς ἄγαλμα Παιωνίας, καὶ Διὸς, καὶ Μνημοσύνης, καὶ Μουσῶν Ἀπόλλωνός τε, ἀνάθημα καὶ ἔργον Εὐβουλίδου, καὶ δαίμων τῶν ἀμφὶ Διόνυσον Ἄκρατος· πρόσωπόν ἐστιν οἱ μόνον ἐνῳκοδομημένον τοίχῳ. μετὰ δὲ τὸ τοῦ Διονύσου τέμενός ἐστιν οἴκημα ἀγάλματα ἔχον ἐκ πηλοῦ, βασιλεὺς Ἀθηναίων Ἀμφικτύων, ἄλλους τε θεοὺς ἑστιῶν καὶ Διόνυσον. ἐνταῦθα καὶ Πήγασός ἐστιν Ἐλευθερεύς, ὃς Ἀθηναίοις θεὸν εἰσήγαγε [11])· συνεπελάθετο δέ οἱ τὸ ἐν Δελφοῖς μαντεῖον, ἀναμνῆσαν τὴν ἐπὶ Ἰκαρίου ποτὲ ἐπιδημίαν τοῦ θεοῦ.

5 Τὴν δὲ βασιλείαν Ἀμφικτύων ἔσχεν οὕτως· Ἀκταῖον λέγουσιν ἐν τῇ νῦν Ἀττικῇ βασιλεῦσαι πρῶτον· ἀποθανόντος δὲ Ἀκταίου Κέκροψ ἐκδέχεται τὴν ἀρχὴν, θυγατρὶ συνοικῶν Ἀκταίου· καί οἱ γίγνονται θυγατέρες μὲν Ἔρση καὶ Ἄγλαυρος καὶ Πάνδροσος, υἱὸς δὲ Ἐρυσίχθων. οὗτος οὐκ ἐβασίλευσεν Ἀθηναίων, ἀλλά οἱ τοῦ πατρὸς ζῶντος τελευτῆσαι συνέβη, καὶ τὴν ἀρχὴν τοῦ Κέκροπος Κραναὸς ἐδέξατο [12]), Ἀθηναίων δυνάμει προύχων. Κραναῷ δὲ θυγατέρας καὶ ἄλλας καὶ Ἀτθίδα γενέσθαι λέγουσιν· ἀπὸ ταύτης ὀνομάζουσιν Ἀττικὴν τὴν χώραν, πρότερον καλουμένην Ἀκταίαν. Κραναῷ δὲ Ἀμφικτύων ἐπαναστὰς, θυγατέρα

idem significat, quod τερατοιῶν, *facere, effingere ad similitudinem alicujus rei.* Illam vero μυστηρίων ἀποκάλυψιν ab adolescentulis nobilibus, Alcibiade, Polycione etc., factam esse, Plutarchus docet in vit. Alcib. C. 19.

10) δὲ ἀνεῖτο] in Cod. Vind. deest δὲ.

11) Θεὸν εἰσήγαγε] Loescher. haud male legit τὸν θεόν.

12) ἐδέξατο] Cod. Vind. ἐξεδέξατο.

γατέρα ὅμως ἔχων αὐτοῦ, παύει τῆς ἀρχῆς· καὶ αὐτὸς ὕστερον ὑπὸ Ἐριχθονίου καὶ τῶν συνεπαναστάντων ἐκπίπτει· πατέρα δὲ Ἐριχθονίῳ λέγουσιν ἀνθρώπων μὲν οὐδένα εἶναι, γονέας δὲ Ἥφαιστον καὶ Γῆν.

CAPUT III.

De Ceramico ejusque porticibus, ſtatuis, picturis et templis — de Gallis.

Τὸ δὲ χωρίον, ὁ Κεραμεικὸς [1]), τὸ μὲν ὄνομα ἔχει ἀπὸ ἥρωος Κεράμου, Διονύσου τε εἶναι καὶ Ἀριάδνης καὶ τούτου [2]) λεγομένου· πρώτη δέ ἐστιν ἐν δεξιᾷ καλουμένη στοὰ βασίλειος [3]), ἔνθα καθίζει βασιλεὺς ἐνιαυσίαν ἄρχων ἀρχὴν, καλουμένην βασιλείαν. ταύτης ἔπεστι τῷ κεράμῳ [4]) τῆς στοᾶς ἀγάλματα ὀπτῆς γῆς, ἀφιεὶς Θησεὺς ἐς θάλασσαν Σινίρωνα, καὶ φέρουσα Ἡμέρα Κέφαλον, ὃν κάλλιστον γενόμενόν φασιν ὑπὸ Ἡμέρας ἐρασθείσης ἁρπασθῆναι, καί οἱ παῖδα γενέσθαι Φαέθοντα· καὶ φύλακα ἐποίησε τοῦ ναοῦ [5]). ταῦτα

1) ὁ Κεραμεικὸς] Variat ſcriptura; Cod. Vind. Κεραμικὸς, ſic et L. VIII. C. 9. Apud Suid. et Heſych. Κεραμεικός. Stephan. Byzant. in Ἑκαδήμεια — καὶ Ἀθήνησι τόπος ὁ Κεραμικὸς, ὁ ἥρως δὲ διὰ τοῦ ε γράφεται. Vid. Meurſ. de Ceram.

2) καὶ τούτου] *etiam hic non minus quam Erichthonius a Diis oriundus ferebatur.*

3) στοὰ βασίλειος] Vid. Heſych. v. βασίλειος et ibi Interpr.

4) τῷ κεράμῳ] *in tegulis*, ſeu *tecto*. Sic repoſui pro vulgata τῷ Κεράμῳ. Herois enim Cerami nomen hic nullum habere poſſe locum, ſtatim patet. Κέραμον autem non *tegulas* ſolum, ſed *totum tectum* denotaſſe, *Pollux* docet L. VII. ſ. 162.

5) καὶ φύλακα ἐποίησε τοῦ ναοῦ] Haec cum iis, quae antecedunt, non cohaerere, in promtu eſt. *Hartung.* legit: οὓς καὶ φ. ε. τ. ν., quam vocem οὓς excidiſſe, et pro τοῦ ναοῦ ſcribendum eſſe οὐρανοῦ *Kuhn.* conjicit. *Van Staveren* Obſ. miſc. Vol. X. T. I. p. 303. poſt

καὶ

ταῦτα ἄλλοι τε καὶ Ἡσίοδος εἰρηκεν ἐν ἔπεσι τοῖς ἐς τὰς γυναῖκας [6]). πλησίον δὲ τῆς στοᾶς Κόνων ἕστηκε καὶ Τιμόθεος υἱὸς Κόνωνος, καὶ βασιλεὺς Κυπρίων Εὐαγόρας, ὃς καὶ τὰς τριήρεις τὰς Φοινίσσας ἔπραξε παρὰ βασιλέως Ἀρταξέρξου δοθῆναι Κόνωνι· ἔπραξε δὲ ὡς Ἀθηναῖος, καὶ τὸ ἀνέκαθεν ἐκ Σαλαμῖνος, ἔστι καὶ γενεαλογῶν ἐς προγόνους ἀνέβαινε Τεῦκρον καὶ Κινύρου θυγατέρα. ἐνταῦθα ἕστηκε Ζεὺς ὀνομαζόμενος ἐλευθέριος, καὶ βασιλεὺς Ἁδριανός, ἐς ἄλλους τε, ὧν ἦρχεν, εὐεργεσίας καὶ εἰς τὴν πόλιν
2 μάλιστα ἀποδειξάμενος τὴν Ἀθηναίων. Στοὰ δὲ ὄπισθεν ᾠκοδόμηται γραφὰς ἔχουσα θεοὺς δώδεκα καλουμένους· ἐπὶ δὲ τῷ τοίχῳ τῷ πέραν Θησεύς ἐστι γεγραμμένος, καὶ Δημοκρατία τε καὶ Δῆμος. δηλοῖ δὲ ἡ γραφὴ, Θησέα εἶναι τὸν καταστήσαντα Ἀθηναίοις ἐξίσου πολιτεύεσθαι. κεχώρηκε δὲ φήμη καὶ ἄλλως ἐς τοὺς πολλοὺς, ὡς Θησεὺς παραδοίη τὰ πράγματα τῷ δήμῳ, καὶ ὡς ἐξ ἐκείνου δημοκρατούμενοι διαμείναιεν, πρὶν ἢ Πεισίστρατος ἐτυράννησεν ἐπανασάς. λέγεται μὲν δὴ καὶ ἄλλα οὐκ ἀληθῆ παρὰ τοῖς πολλοῖς, οἷα ἱστορίας ἀγνώτους οὔσι καὶ ὁπόσα ἤκουον εὐθὺς ἐκ παίδων ἔν τε χοροῖς καὶ τραγῳδίαις πιστὰ ἡγουμένοις· λέγεται δὲ καὶ ἐς τὸν

καὶ inferendum putat Ἀφροδίτην. Optime Heyne V. C. (*Antiquar. Auffatze*, 1. St. pag. 34.) fuspicatur, ista verba ex gloffemate profecta esse ex Hesiodi Theog. v. 985. adscripto et perperam in textum illato.

6) ἐν ἕστηκε τοῖς ἐς τὰς γυναῖκας] Saepius a Pausania hoc Hesiodi carmen deperditum citatur inscriptum Κατάλογος γυναικῶν, secundum Suidam Κατάλογος γυναικῶν ἡρωϊνῶν. De eo vid. Heyne V. C. ad Apollodor. p. 986. 987. et Pauf. L. IX. C. 31., ubi in Hesiodi scriptorum recensione Κατάλογος γυναικῶν et μεγάλαι Ἠοῖαι diversa esse videntur.

τὸν Θησέα, ὡς αὐτός τε ἐβασίλευσε καὶ ὕστερον Μενεσθέως τελευτήσαντος [7]), καὶ ἐς τετάρτην οἱ Θησεῖδαι γενεὰν διέμειναν ἄρχοντες. εἰ δέ μοι γενεαλογεῖν ἤρεσκε, καὶ τοὺς ἀπὸ Μελάνθου βασιλεύσαντας ἐς Κλείδικον τὸν Αἰσιμίδου, καὶ τούτους ἂν ἀπηριθμησάμην. ἐνταῦθά ἐστι γεγραμμένον καὶ τὸ περὶ Μαντίνειαν Ἀθηναίων ἔργον [8]), οἱ βοηθήσοντες Λακεδαιμονίοις ἐπέμφθησαν. συνέγραψαν δὲ ἄλλοι τε καὶ Ξενοφῶν τὸν πάντα πόλεμον, κατάληψίν τε τῆς Καδμείας καὶ τὸ πταῖσμα Λακεδαιμονίων ἐν Λεύκτροις, καὶ ὡς ἐς Πελοπόννησον ἐσέβαλον Βοιωτοὶ, καὶ τὴν συμμαχίαν Λακεδαιμονίοις τὴν παρὰ Ἀθηναίων ἐλθοῦσαν. ἐν δὲ τῇ γραφῇ τῶν ἱππέων ἐστὶ μάχη, ἐν ᾗ γνωριμώτατοι Γρύλλος τε ὁ Ξενοφῶντος ἐν τοῖς Ἀθηναίοις, καὶ κατὰ τὴν ἵππον τὴν Βοιωτίαν Ἐπαμινώνδας ὁ Θηβαῖος· ταύτας τὰς γραφὰς Εὐφράνωρ ἔγραψεν Ἀθηναίοις, καὶ πλησίον ἐποίησεν ἐν τῷ ναῷ τὸν Ἀπόλλωνα Πατρῷον ἐπίκλησιν. πρὸ δὲ τοῦ νεὼ τὸν μὲν Λεωχάρης, ὃν δὲ καλοῦσιν Ἀλεξίκακον, Κάλαμις ἐποίησε. τὸ δὲ ὄνομα τῷ θεῷ γενέσθαι λέγουσιν, ὅτι τὴν λοιμώδη σφίσι νόσον ὁμοῦ τῷ Πελοποννησίῳ πολέμῳ πιέζουσαν κατὰ μάντευμα ἔπαυσε Δελφῶν. ᾠκοδόμηται δὲ καὶ μητρὸς θεῶν ἱερὸν, ἣν Φειδίας εἰργάσατο, καὶ πλησίον τῶν πεντακοσίων καλουμένων βουλευτήριον, οἱ βουλεύουσιν ἐνιαυτὸν Ἀθηναίοις· Βουλαίου δὲ ἐν αὐτῷ κεῖται ξόανον Διὸς, καὶ Ἀπόλλων, τέχνη Πεισίου, καὶ Δῆμος, ἔργον Λύσωνος·

3

4

7) ὡς αὐτός τε ἐβασίλευσε καὶ ὕστερον Μενεσθέως τελευτήσαντος] *eum ipsum regnasse etiam post mortem Menesthei.* Ista sic interpretanda esse, recte monet Perizon. ad Ael. V. H. p. 341.

8) γεγραμμένον — ἔργον] Hujus picturae etiam mentionem facit L. VIII. C. 9.

σωνος· τοὺς δὲ θεσμοθέτας ἔγραψε Πρωτογένης Καύνιος. Ὀλβιάδης δὲ Καλλίππου ἦν [9]), ὃς Ἀθηναίους ἐς Θερμοπύλας ἤγαγε, φυλάξοντας τὴν ἐς τὴν Ἑλλάδα Γαλατῶν ἐσβολήν.

Οἱ δὲ Γαλάται οὗτοι νέμονται τῆς Εὐρώπης τὰ ἔσχατα, ἐπὶ θαλάσσῃ πολλῇ καὶ ἐς τὰ πέρατα οὐ πλωΐμῳ· παρέχεται δὲ ἄμπωτιν καὶ ῥαχίαν καὶ θηρία οὐδὲν ἐοικότα τοῖς ἐν θαλάσσῃ τῇ λοιπῇ· καὶ σφίσι διὰ τῆς χώρας ῥεῖ ποταμὸς Ἠριδανός, ἐφ' ᾧ τὰς θυγατέρας τοῦ Ἡλίου [10]) ὀδύρεσθαι νομίζουσι τὸ περὶ τὸν Φαέθοντα τὸν ἀδελφὸν πάθος. ὀψὲ δέ ποτε αὐτοὺς καλεῖσθαι Γαλάτας ἐξενίκησε· Κελτοὶ γὰρ κατά τε σφᾶς τὸ ἀρχαῖον καὶ παρὰ τοῖς ἄλλοις ὠνομάζοντο.

CAPUT IV.

De Gallorum expeditione in Graeciam facta — in Asiam trajectu — de Pergamenis.

Συλλεγεῖσα δὲ σφίσι στρατιὰ τρέπεται τὴν ἐπὶ Ἰονίου, καὶ τό τε Ἰλλυριῶν ἔθνος καὶ πᾶν ὅσον ἄχρι Μακεδόνων ᾤκει, καὶ Μακεδόνας αὐτοὺς ἀναστάτους ἐποίησε, Θεσσαλίαν τε ἐπέδραμε. καὶ ὡς ἐγγὺς Θερμοπυλῶν ἐγίνοντο, ἐνταῦθα οἱ πολλοὶ τῶν Ἑλλήνων ἐς τὴν ἔφοδον ἡσύχαζον τῶν βαρβάρων, ἅτε ὑπὸ Ἀλεξάνδρου μεγάλως καὶ Φιλίππου κακωθέντες πρότερον· καθεῖλε δὲ καὶ Ἀντίπατρος καὶ Κάσσανδρος ὕστερον τὸ

9) Ὀλβιάδης δὲ Καλλίππου ἦν] Cod. Vind. Ὀλβιάδου δὲ Κάλιππος ἦν. Cod. Mosc. Καλλιππος. Paus. L. X. C. 20. dicit Callippum Ὀλβιάδου.

10) τοῦ Ἡλίου] Cod. V. et M. τὰς Ἡλίου.

τὸ ἑλληνικόν· ὥστε ἕκαστοι δι' ἀσθένειαν οὐδὲν αἰσχρὸν ἐνόμιζον ἀπεῖναι τὸ κατὰ σφᾶς τῆς βοηθείας. Ἀθηναῖοι δὲ μάλιστα μὲν τῶν Ἑλλήνων ἀπειρήκεσαν 2
μήκει τοῦ Μακεδονικοῦ πολέμου, καὶ προσπταίοντες τὰ πολλὰ ἐν ταῖς μάχαις· ἐξιέναι δὲ ὅμως ὥρμηντο εἰς τὰς Θερμοπύλας σὺν τοῖς ἐλθοῦσι τῶν Ἑλλήνων, ἑλόμενοι σφίσι τὸν Κάλλιππον τοῦτον [1]) ἡγεῖσθαι. καταλαβόντες δὲ, ᾗ στενώτατον ἦν τῆς ἐφόδου [2]) τῆς ἐς τὴν Ἑλλάδα, εἶργον τοὺς βαρβάρους. ἀνευρόντες δὲ οἱ Κελτοὶ τὴν ἀτραπὸν, ἣ καὶ Μήδοις ποτὲ Ἐφιάλτης ἡγήσατο ὁ Τραχίνιος, καὶ βιασάμενοι Φωκέων τοὺς τεταγμένους ἐπ' αὐτῇ, λανθάνουσι τοὺς Ἕλληνας ὑπερβαλόντες τὴν Οἴτην. Ἔνθα δὴ πλείστου 3
παρέσχοντο αὐτοὺς [3]) Ἀθηναῖοι τοῖς Ἕλλησιν ἀξίους, ἀμφοτέρωθεν, ὡς ἐκυκλώθησαν, ἀμυνόμενοι τοὺς βαρβάρους. οἱ δὲ σφίσιν ἐπὶ τῶν νεῶν μάλιστα ἐταλαιπώρουν, ἅτε τοῦ κόλπου τοῦ Λαμιακοῦ [4]) τέλματος πρὸς ταῖς Θερμοπύλαις ὄντος· αἴτιον δὲ ἐμοὶ δοκεῖ [5]) τὸ ὕδωρ ταύτῃ τὸ θερμὸν ἐκρέον ἐς τὴν θάλασσαν· μείζονα οὖν οὗτοι εἶχον πόνον. ἀναλαβόντες [6])
γὰρ

1) τοῦτον] Uterque Cod. τούτων.

2) ἐφόδου] Cod. Vind. habet ἐσόδου.

3) παρέσχοντο αὐτοὺς] Forte αὑτοὺς pro ἑαυτούς. Totum hoc cum Graecis certamen Gallorum uberius et prolixius narrat Pauſ. L. X. C. 21—23.

4) τοῦ κόλπου τοῦ Λαμιακοῦ] Cum h. l. tum L. X. C. 1. init. et 21. Μαλιακοῦ potius legendum eſſe, ex Livio I. C. 46. et Plin. Hiſt. Nat. L. IV. C. 7. p. 198. haud temere conjicere poſſis. Sed ſinus Maliacus, ſaltem pars illius a vicina urbe *Lamia* etiam Lamiaci ſinus nomine inſignita fuiſſe videtur. V. Berkel. ad Stephan. Byzant. v. Μάλιεύς.

5) δοκεῖ] Cod. Vind. et Moſc. δοκεῖν.

6) ἀναλαβόντες] Hoc repoſui ex Cod. Vind. et Moſc. pro ἀλλὰ λαβόντες; ſic etiam *Kuhn.* bene conjecerat.

γὰρ ἐπὶ τὰ καταγώματα τοὺς Ἕλληνας, ναυσὶν ὑπό τε ὅπλων βαρείαις καὶ ἀνδρῶν ἐβιάζοντο κατὰ τοῦ πηλοῦ πλεῖν. οὗτοι μὲν δὴ τοὺς Ἕλληνας τρόπον
4 τὸν εἰρημένον ἔσωζον. οἱ δὲ Γαλάται πυλῶν τε ἐντὸς ἦσαν, καὶ τὰ πολίσματα ἐλεῖν ἐν οὐδενὶ τὰ λοιπὰ ποιησάμενοι, Δελφοὺς καὶ τὰ χρήματα τοῦ θεοῦ διαρπάσαι μάλιστα εἶχον σπουδήν. καὶ σφίσιν αὐτοί τε Δελφοὶ, καὶ Φωκέων ἀντετάχθησαν οἱ τας πόλεις περὶ τὸν Παρνασὸν οἰκοῦντες· ἀφίκετο δὲ καὶ δύναμις Αἰτωλῶν· τὸ γὰρ Αἰτωλικὸν προεῖχεν ἀκμὴ νεότητος τὸν χρόνον τοῦτον. ὡς δὲ ἐς χεῖρας συνῆσαν, ἐνταῦθα κεραυνοί τε ἐφέροντο ἐς τοὺς Γαλάτας καὶ ἀπορραγεῖσαι πέτραι τοῦ Παρνασοῦ [7]), δείματά τε ἄνδρες ἐφίσαντο ὁπλῖται τοῖς βαρβάροις· τούτων τοὺς μὲν ἐξ Ὑπερβορέων λέγουσιν ἐλθεῖν, Ὑπέροχον καὶ Ἀμάδοκον [8]), τὸν δὲ τρίτον Πύρρον εἶναι τὸν Ἀχιλλέως. ἐναγίζουσι δὲ ἀπὸ ταύτης Δελφοὶ τῆς συμμαχίας Πύρρῳ, πρότερον ἐχοντες ἄτε ἀνδρὸς πολεμίου καὶ τὸ μνῆμα ἐν ἀτιμίᾳ. Γαλατῶν δὲ οἱ πολλοὶ ναυσὶν ἐς τὴν Ἀσίαν διαβάντες τὰ παραθαλάσσια αὐτῆς ἐλεηλάτουν. χρόνῳ δὲ ὕστερον οἱ Περγαμον ἔχοντες, πάλαι δὲ Τευθρανίαν καλουμένην, ἐς ταύτην [9]) Γαλά-

7) Παρνασοῦ] Cod. Mosc. Παρνασσοῦ, uti alias semper in Pausania.

8) Ὑπέροχον καὶ Ἀμάδοκον] Prolixius haec L. X. C. 23. habet, ubi ὁ Ὑπέροχος καὶ ὁ Ἀμάδοκος, quae nomina sine dubio literarum AM et ΔΑ permutatione sunt confusa; quartum ibi Φύλακον addit, eosque Heroum φάσματα appellat. *Physicum* et *Autonoum* Delphicos Heroas memorat Herodot. Uran. f. 39.

9) ἐς ταύτην] *Kuhn.* pro ἐν ταύτῃ ista posita esse censet, et Liv. L. 38. C. 16. ad hoc firmandum excitat. Sed cum *Loescherο* illa verba potius mendosa esse judico; nam L. I. C. 8. Attali praeclarum facinus fuisse refert, quod Gallos

a

Γαλατας ἐλαύνουσιν ἀπὸ θαλάσσης. οὗτοι μὲν δὴ τὴν ἐκτὸς Σαγγαρίου χώραν ἔσχον, Ἄγκυραν πόλιν ἑλόντες Φρυγῶν, ἣν Μίδας ὁ Γορδίου πρότερον ᾤκισεν. ἄγκυρα δὲ, ἣν ὁ Μίδας ἀνεῦρεν, ἦν ἔτι καὶ ἐς ἐμὲ ἐν ἱερῷ Διὸς, καὶ κρήνη Μίδου καλουμένη· ταύτην οἴνῳ κεράσαι Μίδαν φασὶν ἐπὶ τὴν θήραν τοῦ Σειληνοῦ [10]). ταύτην τε δὴ τὴν Ἄγκυραν εἶλον, καὶ Πεσινοῦντα [11]) ὑπὸ τὸ ὄρος, τὴν Ἀγδίστιν ἔνθα καὶ τὸν Ἄτυν τεθάφθαι λέγουσι [12]). Περγαμηνοῖς δὲ ἔστι μὲν σκῦλα ἀπὸ Γα- 6
λατῶν, ἔστι δὲ γραφὴ τὸ ἔργον πρὸς Γαλάτας ἔχουσα. ἣν δὲ νέμονται οἱ Περγαμηνοὶ, Καβείρων [13]) ἱεράν φασιν

a mari aufugere coëgerit ἐς τὴν γῆν ἣν ἔτι καὶ νῦν ἔχουσιν, h. e. Gallograeciam. Vid Strab. L. XII p. 850 851. Attamen nil ad vulgatam emendandam hic conjicere auſim.

10) Μίδαν — ἐπὶ τὴν θήραν τοῦ Σειληνοῦ] Hoc uberius narratum legitur in Philoſtr. Vit. Ap. L. VI. C. 27. et Icon. L. I. 22.

11) καὶ Πεσινοῦντα] Apud Strabon., Stèphan. et alios ſcribitur Πεσσινοῦς.

12) ὑπὸ τὸ ὄρος, τὴν Ἀγδίστιν ἔνθα καὶ τὸν Ἄτυν τεθάφθαι λέγουσι] Haec perperam vulgo interpuncta, commate poſt Ἀγδίστιν ſublato et poſt ὄρος poſito, bene mihi videor explanaſſe. (*Peſſinuntem*) *urbem ſub monte illo ſitam, ubi Agdiſtem et Attinem ſepultos eſſe dicunt* Nullibi enim montis *Agdiſtis* fit mentio. Agdiſtem contra Daemonem fuiſſe Attes amore captum, Pauſan L. VII. C. 17. et Strabo L. XII. p. 851. montem, ſub quo Peſſinus ſita fuerit, Dindymum fuiſſe refert, ibique matrem Deorum nomine Ἀγγιδίστιν magnifice cultam. Conf. Strab L. X. p. 718. et ibi interpret Heſych Ἀγδίστις· ἡ αὐτὴ τῇ μητρὶ τῶν θεῶν. Plura de *Agdiſte* habet *Arnob.* contra Gent. L V. et de Attine vel Atye Pauſ. l. c., variat enim ſcriptura, Ἄτυς, Ἄττης, Ἄττις, et Cod Vind. hic habet Ἄττιν, Moſc. Ἄτιν.

13) Καβείρων] De *Cabiris* cum Curetibus, Corybantibus et Idaeis Dactylis confuſis vid. Strabon L. X. p. 715. Varii et obſcuri de iis ſunt mythi; plura de illis eorumque cultu refert Paul. L. IX. C. 25.; de diverſo illorum numero variisque nominibus Schol ad Apoll. Rhod. I v. 917. Vid. et Heſych. v. Κάβειροι et ibi *Albert.*

Наукова бібліотека
ДЬСЬКОГО НАЦІОНАЛЬНОГО
УНІВЕРСИТЕТУ
імені І. І. МЕЧНИКОВА

σιν εἶναι τὸ ἀρχαῖον· αὐτοὶ δὲ [14]) Ἀρκάδες ἐθέλουσιν εἶναι τῶν ὁμοῦ Τηλέφῳ διαβάντων ἐς τὴν Ἀσίαν. πολέμων δὲ τῶν μὲν ἄλλων, εἰ δή τινας ἐπολέμησαν, οὐκ ἐς ἅπαντας κεχώρηκεν ἡ φήμη· τρία δὲ γνωριμώτατα ἐξείργασαί σφισι, τῆς τε Ἀσίας ἀρχὴ τῆς κάτω, καὶ Γαλατῶν [15]) ἀπ' αὐτῆς ἀναχώρησις, καὶ ἐς τοὺς [16]) σὺν Ἀγαμέμνονι Τηλέφου τόλμημα, ὅτε Ἕλληνες ἁμαρτόντες Ἰλίου, τὸ πεδίον ἐλεηλάτουν τὸ Μυσὸν, ὡς γῆν τὴν Τρωϊάδα [17]). ἐπάνειμι δὲ ἐς τὴν ἀρχὴν, ὅθεν ἐξέβην τοῦ λόγου.

CAPUT V.

De Tholo — Heroibus Eponymis — Adriani donariis.

Τοῦ βουλευτηρίου τῶν πεντακοσίων πλησίον Θόλος [1]) ἐστὶ καλουμένη, καὶ θύουσί τε ἐνταῦθα οἱ πρυτάνεις, καὶ τινα καὶ ἀργύρου πεποιημένα ἐστὶν ἀγάλματα οὐ μεγάλα. ἀνωτέρω δὲ ἀνδριάντες ἑστήκασιν ἡρώων, ἀφ' ὧν Ἀθηναίοις ὕστερον τὰ ὀνόματα ἔσχον αἱ Φυλαί. ὅσις δὲ ἀντικατεστήσατο [2]) δέκα ἀντὶ τεσσάρων Φυλὰς εἶναι, καὶ μετεθετό σφισι τὰ ὀνόματα ἀντὶ τῶν ἀρχαίων, Ἡρό-

14) αὐτοὶ δὲ] sc. Pergameni. De hac Arcadum cum Telepho migratione vid. Strabon. L. X. p. 858. et L. XIII. p. 915. Inde sacra Telephi Pergami Paus. L. V. C. 13.

15) καὶ Γαλατῶν] Uterque Cod. V. et M. καὶ ἡ Γαλατῶν.

16) καὶ ἐς τοὺς] Cod. Vind. καὶ τὸ ἐς τούς.

17) τὸ Μυσὸν — τὴν Τρωϊάδα] *Kuhn.* τὸ Μυσῶν legendum esse conjicit. In Cod. Vind. deest τήν. De re ipsa vid. Strabon. L. I. p. 19. et Dict. Cret. L. II. init.

1) Θόλος] Vid. Polluc. L. VIII. s. 155. Hesych. et Suid. h. v. et Meurs. Ceram. C. 7.

2) ἀντικατεστήσατο] C. Vind. κατεστήσατο.

Ἡροδότῳ ταῦτά [3]) ἐστιν εἰρημένα. Τῶν δὲ ἐπωνύμων [4]) 2
(κεκλοῦσι γὰρ οὕτως σφᾶς) ἔστι μὲν Ἱπποθόων Ποσειδῶνος καὶ Ἀλόπης, θυγατρὸς Κερκύονος· ἔστι δὲ Ἀντίοχος τῶν παίδων τῶν Ἡρακλέους, γενόμενος ἐκ Μήδας [5]) Ἡρακλεῖ τῆς Φύλαντος· καὶ τρίτος Αἴας ὁ Τελαμῶνος· ἐκ δὲ Ἀθηναίων, Λεώς [6]). δοῦναι δὲ ἐπὶ σωτηρίᾳ λέγεται κοινῇ τὰς θυγατέρας, τοῦ θεοῦ χρήσαντος. Ἐρεχθεύς τέ ἐστιν ἐν τοῖς ἐπωνύμοις, ὃς ἐνίκησεν Ἐλευσινίους μάχῃ, καὶ τὸν ἡγούμενον ἀπέκτεινεν Ἰμμάραδον [7]) τὸν Εὐμόλπου. Αἰγεύς τέ ἐστι, καὶ Οἰνεὺς Πανδίονος υἱὸς νόθος, καὶ τῶν Θησέως παίδων Ἀκάμας. Κέκροπα δὲ ἢ Πανδίονα, 3
(εἶδον γὰρ καὶ [8]) τούτων ἐν τοῖς ἐπωνύμοις εἰκόνας,) οὐκ οἶδα οὓς ἄγουσιν ἐν τιμῇ [9])· πρότερός τε γὰρ ἦρξε Κεκροψ, ὃς τὴν Ἀκταίου θυγατέρα ἔσχηκε, καὶ ὕστερον ἄλλος, ὃς μετῴκησεν ἐς Εὔβοιαν, Ἐρεχθέως υἱὸς τοῦ Πανδίονος τοῦ Ἐριχθονίου. καὶ δὴ καὶ Πανδίων ἐβασίλευσεν ὁ τοῦ Ἐριχθονίου, καὶ ὁ Κέκροπος

3) Ἡροδότῳ τ.] Terpſ. f. 66., ubi Cliſthenem e IV feciſſe X. tribus legimus. Cod. Vind. et Moſc. ante ταυτα inſerunt καί.

4) ἐπωνύμων] Vid. Heſych. v. ἐπώνυμοι. Diverſus ab his Magiſtratus Ἐπώνυμος, de quo Pauſ. L. III. C. 11.

5) ἐκ Μήδας] *Hartung.* et *Kuhn* Μιδείας ſcribendum recte colligunt ex L. X. C. 10. Ἀντίοχος ὁ ἐκ Μιδείας Ἡρακλεῖ γενόμενος τῆς Φύλαντος. Vid. *Heyne* V. C. ad Apollod. p. 467.

6) Λεώς] Sic ſcripſi pro vulg. Λέων, auctoritatem ſecutus Cod. Moſc. et Suidae v. Λεωκοριον, ubi v. de *Lei filiabus* narrationem. Conf. *Heyne* V. C. ad Apollod. p. 886. 887.

7) Ἰμμάραδον] Cod. Vind. Ἰμάραδον.

8) εἶδον γὰρ καὶ] Cod. Vind. εἶδον δὲ καί.

9) ἄγουσιν ἐν τιμῇ] Sic emendare non dubitavi pro vulg. λέγουσιν ἐν τ., uti etiam *Loeſcher.* in Cod Opor. jam conjecit. Ἄγειν ἐν τιμῇ, (*in*) *honore habere*, in Pauſania ſaepius, L. I. C. 9. et 26. Ἄγειν vero et λέγειν ſaepe a librariis permutari, *Zeun.* docet ad Xenoph. Memor. L. III. C. 1. in fine.

τοῦ δευτέρου. τοῦτον Μητιονίδαι [10]) τῆς ἀρχῆς ἐξελαύνουσι, καὶ οἱ Φυγόντι ἐς Μέγαρα (θυγατέρα γὰρ εἶχε Πυλᾶ τοῦ βασιλεύσαντος ἐν Μεγάροις) συνεκπίπτουσιν οἱ παῖδες· καὶ Πανδίονα μὲν αὐτοῦ λέγεται νοσήσαντα ἀποθανεῖν, καὶ οἱ πρὸς θαλάσσῃ μνῆμά ἐστιν ἐν τῇ Μεγαρίδι ἐν Ἀθηνᾶς Αἰθυίας [11]) καλουμένῳ
4 σκοπέλῳ· οἱ δὲ παῖδες κατίασί τε ἐκ τῶν Μεγάρων, ἐκβαλόντες Μητιονίδας, καὶ τὴν ἀρχὴν τῶν Ἀθηναίων Αἰγεὺς πρεσβύτατος ὢν ἔσχε. Θυγατέρας δὲ οὐ σὺν ἀγαθῷ δαίμονι ἔθρεψεν ὁ Πανδίων, οὐδὲ οἱ τιμωροὶ παῖδες ἀπ' αὐτῶν [12]) ἐλείφθησαν· καί τοι δυνάμενός γε ἕνεκα πρὸς τὸν Θρᾷκα τὸ κῆδος ἐποιήσατο. ἀλλ' οὐδεὶς πόρος ἐστὶν ἀνθρώπῳ παραβῆναι τὸ καθῆκον ἐκ τοῦ θεοῦ. Λέγουσιν, ὡς Τηρεὺς συνοικῶν Πρόκνῃ Φιλομήλαν ἤσχυνεν, οὐ κατὰ νόμον δράσας τῶν Ἑλλήνων, καὶ τὸ σῶμα ἔτι λωβησάμενος τῇ παιδὶ ἤγαγεν εἰς ἀναγκην δίκης τὰς γυναῖκας. Πανδίονι δὲ καὶ ἄλλος ἀνδρὰς ἐστιν ἐν ἀκροπόλει θέας ἄξιος.
5 οἵδε μέν εἰσιν Ἀθηναίοις ἐπώνυμοι τῶν ἀρχαίων· ὕστερον δὲ καὶ ἀπὸ τῶνδε φυλὰς ἔχουσιν, Ἀττάλου τοῦ Μυσοῦ, καὶ Πτολεμαίου τοῦ Αἰγυπτίου, καὶ κατ' ἐμὲ ἤδη βασιλέως Ἀδριανοῦ, τῆς τε ἐς τὸ θεῖον τιμῆς ἐπιπλεῖστον ἐλθόντος [13]), καὶ τῶν ἀρχομένων ἐς εὐδαιμονίαν τὰ μέγιστα ἑκάστοις παρασχομένου. καὶ ἐς μὲν πόλεμον οὐδένα ἑκούσιος κατέβη, Ἑβραίους δὲ τοὺς ὑπὲρ Σύρων ἐχειρώσατο ἀποστάντας. ὁπόσα δὲ

10) Μητιονίδαι] De his vid. Apollod. III. 15. 5. et ibi *Heyne* V. C. p. 868.

11) ἐν Ἀθηνᾶς Αἰθυίας κ. τ. λ.] Cod. M habet Αἰθύας. Ejusdem mentio fit L. I. C. 41.

12) αὐτῶν] reſtitui pro αὐτοῦ ex Cod. Moſc., *Loeſchero* jam ita legente.

13) τιμῆς ἐπιπλεῖστον ἐλθόντος] *qui in honore Diis habendo plurimum proceſſit.*

δὲ θεῶν ἱερὰ, τὰ μὲν ᾠκοδόμησεν ἐξ ἀρχῆς, τὰ δὲ καὶ ἐπεκόσμησεν ἀναθήμασι καὶ κατασκευαῖς, ἢ δωρεὰς πόλεσιν ἔδωκεν Ἑλληνίσι, τὰς δὲ καὶ τῶν βαρβάρων τοῖς δεηθεῖσιν, ἔστιν οἱ πάντα γεγραμμένα Ἀθήνησιν ἐν τῷ κοινῷ τῶν θεῶν ἱερῷ [14]).

CAPUT VI.

De Ptolemaeo Lagi, ejusque rebus gestis.

Τὰ δὲ ἐς Ἄτταλον καὶ Πτολεμαῖον ἡλικίᾳ τε ἦν ἀρχαιότερα, ὡς μὴ μένειν ἔτι τὴν φήμην αὐτῶν, καὶ οἱ συγγενόμενοι τοῖς βασιλεῦσιν ἐπὶ συγγραφῇ τῶν ἔργων, καὶ πρότερον ἔτι ἠμελήθησαν. τούτων ἕνεκά μοι καὶ τὰ τῶνδε ἐπῆλθε δηλῶσαι ἔργα τε ὁποῖα ἔπραξαν, καὶ ὡς ἐς τοὺς πατέρας αὐτῶν περιεχώρησεν Αἰγύπτου καὶ ἡ Μυσῶν [1]) καὶ ἡ τῶν προσοίκων ἀρχή. Πτολε- 2
μαῖον Μακεδόνες Φιλίππου παῖδα εἶναι τοῦ Ἀμύντου, λόγῳ δὲ Λάγου νομίζουσι· τὴν γὰρ οἱ μητέρα ἔχουσαν ἐν γαστρὶ δοθῆναι γυναῖκα ὑπὸ Φιλίππου Λάγῳ. Πτολεμαῖον δὲ λέγουσιν ἄλλα τε ἐν τῇ Ἀσίᾳ λαμπρὰ ἀποδείξασθαι, καὶ Ἀλεξάνδρῳ κινδύνου ξυμβάντος ἐν Ὀξυδράκαις [2]), μάλιστά οἱ τῶν ἑταίρων ἀμῦναι. τελευτήσαντος δὲ Ἀλεξάνδρου τοῖς ἐς Ἀριδαῖον τὸν

14) ἐν τῷ κοινῷ τῶν θεῶν ἱερῷ] Hoc templum aliaque ab Adriano Athenis exstructa memorantur L. I. C. 18. in fine.

1) ἡ Μυσῶν] Cod. Vind. ἡ τῶν Μυσῶν habet, et in Cod. Mosc. pro ἡ τῶν προσοίκων est τῶν προσοίκων.

2) ἐν Ὀξυδράκαις] Strabo L. XV. p. 1026. Arrian. L. VI. C. 2. et Curt. L. IX. C. 4. ἐν Μαλλοῖς hoc accidisse referunt. Ὀξυδράκαι vero et Μαλλοὶ fuere finitimi. Inde Plutarch. in vita Alex. C. 55. in fine habet ἐν Μαλλοῖς Ὀξυδράκαις, ubi legendum esse ἢ Ὀξυδράκαις recte conjicit Kuhnius.

Φιλίππου τὴν πᾶσαν ἀρχὴν ἄγουσιν [3]) ἀντισὰς, αὐτὸς μάλισα ἐγενετο εἰς τὰς βασιλειας αἴτιος τὰ ἔθνη
3 νεμηθῆναι. αὐτὸς δὲ ες Αἴγυπτον διαβὰς, Κλεομένην τε [4]) ἀπέκτεινεν, ὃν σατραπεύειν Αἰγύπτου κατέσησεν Ἀλεξάνδρος, Περδίκκα νομιζων εὔνουν καὶ διὰ τοῦτο οὐ πιστον ἑαυτῷ, καὶ Μακεδόνων τοὺς ταχθέντας τὸν Ἀλεξάνδρου [5]) νεκρὸν ἐς Αἰγὰς κομίζειν ἀνέπεισεν αὐτῷ παραδοῦναι· καὶ τὸν μὲν νόμῳ τῶν Μακεδόνων ἐθαπτεν ἐν Μέμφει, οἷα δὲ επισάμενος πολεμήσοντα Περδίκκαν, Αἴγυπτον εἶχεν ἐν φυλακῇ. Περδίκκας δὲ ἐς μὲν τὸ εὐπρεπὲς τῆς στρατιᾶς ἐπήγετο [6]) Ἀριδαῖον τὸν Φιλίππου, καὶ παῖδα Ἀλεξανδρον ἐκ Ῥωξάνης τῆς Ὀξυάρτου γεγονότα καὶ Ἀλεξάνδρου, τῷ δὲ ἔργῳ Πτολεμαῖον ἐπεβούλευεν ἀφελέσθαι τὴν ἐν Αἰγύπτῳ βασιλείαν. ἐξωσθεὶς δὲ Αἰγύπτου, καὶ τὰ κατὰ πόλεμον [7]) ἔτι οὐχ ὁμοίως θαυμαζόμενος, διαβεβλημένος δὲ καὶ ἄλλως ἐς τοὺς Μακεδόνας,
4 ἀπεθανεν ὑπὸ τῶν σωματοφυλάκων. Πτολεμαιον δὲ αὐτικα ἐς τα πράγματα ὁ Περδικκου θάνατος ἐπέσησε.

3) ἀρχὴν ἄγουσιν] Uterque Cod. ἄγουσιν ἀρχήν.

4) Κλεομένην τε] Ex Cod. Mosc. pro Κλεομένη τε, sicuti L. II. C. 9. et apud Plutarchum.

5) τὸν Ἀλεξάνδρου] Sic scripsi ex Cod. Vind. et Mosc. pro Ἀλεξανδρον, uti et illud est C. 7. init. De re ipsa vid. Aelian. V. H. XII. 64. et ibi Perizon. Strab. L. XVII. p. 1144.

6) τῆς στρατιᾶς ἐπήγετο] Sylb. recte corrigit στρατείας. *Ut speciosam expeditioni causam praetenderet.* Saepissime vero in Pausania στρατιὰ et στρατία confusa sunt, uti etiam nomina propria in ις et ιας desinentia; cujus pravae literarum permutationis plura in sequentibus occurrent exempla. Pro ἐπήγετο Cod. V. et Veneta habent ἐπείχετο.

7) τὰ κατὰ πόλεμον] C. Mosc. τὰ ἐς πόλ.

σησε· καὶ τοῦτο μὲν Σύρους καὶ Φοινίκην [8]) εἶλε, τοῦτο δὲ ἐκπεσόντα ὑπὸ Ἀντιγόνου καὶ φεύγοντα ὑπεδέξατο Σέλευκον τὸν Ἀντιόχου, καὶ αὐτὸς παρεσκευάζετο ὡς ἀμυνούμενος Ἀντίγονον· καὶ Κάσσανδρον τὸν Ἀντιπάτρου καὶ Λυσίμαχον βασιλεύοντα ἐν Θράκῃ μετασχεῖν ἔπεισε τοῦ πολέμου, φυγὴν λέγων τὴν Σελεύκου [9]), καὶ τὸν Ἀντίγονον φοβερὸν σφισιν εἶναι πᾶσιν αὐξηθέντα. Ἀντίγονος δὲ τέως μὲν ἦν ἐν παρα- 5
σκευῇ πολέμου, καὶ τὸν κίνδυνον οὐ παντάπασιν ἐθάρρει· ἐπεὶ δὲ ἐς Λιβύην ἐπύθετο στρατεύειν Πτολεμαῖον, ἀφεστηκότων Κυρηναίων, αὐτίκα Σύρους καὶ Φοίνικας εἶλεν ἐξ ἐπιδρομῆς· παραδοὺς δὲ Δημητρίῳ τῷ παιδὶ, ἡλικίαν μὲν νέῳ, φρονεῖν δὲ ἤδη δοκοῦντι, καταβαίνει ἐπὶ τὸν Ἑλλήσποντον· πρὶν δὲ ἢ καταβῆναι πάλιν ἦγεν ὀπίσω τὴν στρατιὰν, Δημήτριον ἀκούων ὑπὸ Πτολεμαίου μάχῃ κεκρατῆσθαι. Δημήτριος δὲ οὔτε παντάπασιν ἐξεισήκει [10]) Πτολεμαίῳ τῆς χώρας, καί τινας τῶν Αἰγυπτίων λοχήσας διέφθειρεν οὐ πολλούς. τότε δὲ ἥκοντα Ἀντίγονον οὐχ ὑπομείνας Πτολε- 6
μαῖος, ἀνεχώρησεν εἰς Αἴγυπτον. διελθόντος δὲ τοῦ χειμῶνος, Δημήτριος πλεύσας ἐς Κύπρον, Μενέλαον σατράπην Πτολεμαίου ναυμαχίᾳ, καὶ αὖθις αὐτὸν Πτολεμαῖον ἐπιβαβάντα ἐνίκησεν. Φυγόντα δὲ αὐτὸν ἐς Αἴγυπτον, Ἀντίγονός τε κατὰ γῆν, καὶ ναυσὶν ἅμα ἐπολιόρκει καὶ Δημήτριος. Πτολεμαῖος δὲ ἐς πᾶν ἀφικόμενος τοῦ κινδύνου [11]) διέσωσεν ὅμως τὴν ἀρχὴν, στρατιᾷ τε ἀντικαθήμενος ἐπὶ Πηλουσίῳ, καὶ

8) καὶ Φοινίκην] Cod. Vind. καὶ Φοίνικας.

9) τὴν Σελεύκου] Cod. Vind. τὴν τοῦ Σ.

10) ἐξεισήκει] Uterque Cod. ἐξεσήκει.

11) τοῦ κινδύνου] In utroque Cod. abest τοῦ.

τριήρεσιν ἀμυνόμενος ἅμα ἐκ τοῦ ποταμοῦ. Ἀντίγονος δὲ Αἴγυπτον μὲν αἱρήσειν ἐκ τῶν παρόντων οὐδεμίαν ἔτι εἶχεν ἐλπίδα, Δημήτριον δὲ ἐπὶ Ροδίους στρατιᾷ πολλῇ καὶ ναυσὶν ἔστειλεν, ὡς, εἴ οἱ προσγενοιτο [12]) ἡ νῆσος, ὁρμητηρίῳ χρήσεσθαι πρὸς τοὺς Αἰγυπτίους ἐλπίζων. ἀλλὰ αὐτοί τε οἱ Ῥόδιοι τολμήματα καὶ ἐπιτεχνήσεις παρεσχοντο εἰς τοὺς πολιορκοῦντας, καὶ Πτολεμαῖός σφισιν, ἐς ὅσον δυνάμεως ἦκε [13]), συνήρατο
7 ἐς τὸν πόλεμον. Ἀντίγονος δὲ Ῥόδου τε ἀμαρτὼν καὶ Αἰγύπτου πρότερον, οὐ πολλῷ τούτων ὕστερον ἀντιτάξασθαι Λυσιμάχῳ τολμήσας καὶ Κασσάνδρῳ τε καὶ τῇ Σελεύκου στρατιᾷ, τῆς δυνάμεως ἀπώλεσε τὸ πολύ· καὶ αὐτὸς ἀπέθανε ταλαιπωρήσας μάλιστα τῷ μήκει τοῦ πρὸς Εὐμενῆ πολέμου. τῶν δὲ βασιλέων τῶν καθελόντων Ἀντίγονον, ἀνοσιώτατον κρίνω γενέσθαι Κάσσανδρον, ὃς δι' Ἀντιγόνου τὴν Μακεδόνων ἀρχὴν διασωσάμενος, πολεμήσων ἦλθεν ἐπ' ἄνδρα
8 εὐεργέτην. Ἀποθανόντος δὲ Ἀντιγόνου, Πτολεμαῖος Σύρους τε αὖθις καὶ Κύπρον εἶλε, κατήγαγε δὲ καὶ Πύρρον ἐς τὴν Θεσπρωτίδα ἤπειρον. Κυρήνης δὲ ἀποστάσης, Μάγας Βερενίκης υἱὸς Πτολεμαίῳ τότε συνοικούσης, ἔτει πέμπτῳ μετὰ τὴν ἀπόστασιν εἶλε Κυρήνην. Εἰ δὲ ὁ Πτολεμαῖος οὗτος ἀληθεῖ λόγῳ Φιλίππου τοῦ Ἀμύντου παῖς ἦν, ἴσως τὸ ἐπιμανὲς ἐς τὰς γυναῖκας κατὰ τὸν πατέρα κεκτημένος· ὃς Εὐρυδίκῃ τῇ Ἀντιπάτρου συνοικῶν, ὄντων οἱ παίδων, Βερενίκης εἰς ἔρωτα ἦλθεν, ἣν Ἀντίπατρος Εὐρυδίκη συνέπεμψεν ἐς Αἴγυπτον. ταύτης τῆς γυναικὸς ἐρασθεὶς, παῖδας ἐξ αὐτῆς ἐποιήσατο, καὶ, ὡς ἦν οἱ πλησίον ἡ τελευτὴ,

Πτολε-

12) προσγένοιτο] Sic uterque Cod. Vulg. προσγένηται.

13) ἐς ὅσον δυνάμεως ἦκε] *quantum in ipso virium fuit.*

Πτολεμαῖον ἀπέλιπεν Αἰγύπτου βασιλεύειν, (ἀφ' οὗ καὶ Ἀθηναίοις ἐστὶν ἡ Φυλὴ) γεγονότα ἐκ Βερενίκης, ἀλλ' οὐκ ἐκ τῆς Ἀντιπάτρου θυγατρός.

CAPUT VII.

De Ptolemaeo Philadelpho et Maga.

Οὗτος ὁ Πτολεμαῖος Ἀρσινόης ἀδελφῆς ἀμφοτέρωθεν [1]) ἐρασθεὶς ἔγημεν αὐτὴν, Μακεδόσιν οὐδαμῶς ποιῶν νομιζόμενα, Αἰγυπτίοις μέντοι, ὧν ἦρχε· δεύτερον δὲ ἀδελφὸν ἀπέκτεινεν Ἀργαῖον ἐπιβουλεύοντα, ὡς λέγεται. καὶ τὸν Ἀλεξάνδρου νεκρὸν οὗτος ὁ καταγαγὼν ἦν ἐκ Μέμφιδος. ἀπέκτεινε δὲ καὶ ἄλλον ἀδελφὸν γεγονότα ἐξ Εὐρυδίκης, Κυπρίους ἀφισάντα αἰσθόμενος. Μάγας δὲ ἀδελφὸς ὁμομήτριος Πτολεμαίου παρὰ Βερενίκης τῆς μητρὸς ἀξιωθεὶς ἐπιτροπεύειν Κυρήνην, (ἐγεγόνει δὲ ἐκ Φιλίππου τῇ Βερενίκῃ, Μακεδόνος μὲν, ἄλλως δὲ ἀγνώστου καὶ ἑνὸς τοῦ δήμου) τότε δὴ οὗτος ὁ Μάγας, ἀποσήσας Πτολεμαίου Κυρηναίους, ἤγαγεν [2]) ἐπ' Αἴγυπτον. καὶ Πτολεμαῖος 2
μὲν τὴν ἐσβολὴν φραξάμενος, ἐπέμεινεν ἐπιόντας Κυρηναίους· Μάγα δὲ ἀπαγγέλλεται καθ' ὁδὸν ἀφεστηκέναι Μαρμαρίδας· (εἰσὶ δὲ Λιβύων οἱ Μαρμαρίδαι τῶν νομάδων) καὶ τότε μὲν ἐς Κυρήνην ἀπηλλάσσετο [3])· Πτολεμαῖον δὲ ὡρμημένον διώκειν αἰτία τοιάδε ἐπέσχεν·

1) ἀδελφῆς ἀμφοτέρωθεν] *sororis ex utroque parente*, h. e. *germanae*. Sic recte Sylb. interpretatur.

2) Κυρηναίους, ἤγαγεν] Cod. Vind. habet Κυρήνην ἤλαυνεν, et Cod. Mosc. Κυρηναίους ἤλαυνεν.

3) ἀπηλλάσσετο] hoc reposui ex Cod. Mosc. pro vulgata ἀπηλλάσετο. Amas. ἀπηλάσατο legisse videtur, vertens: *agmen retroagere conatus est.*

ἡνίκα παρεσκευάζετο ἐπιόντα ἀμύνεσθαι Μάγαν, ξένους ἐπηγάγετο καὶ ἄλλους καὶ Γαλάτας ἐς τετρακισχιλίους· τούτους λαβὼν ἐπιβουλεύοντας κατασχεῖν Αἴγυπτον, ἀνήγαγε σφᾶς ἐς νῆσον ἐρήμην διὰ τοῦ ποταμοῦ· καὶ οἱ μὲν ἐνταῦθα ἀπώλοντο ὑπό τε ἀλ-
3 λήλων, καὶ τοῦ λιμοῦ. Μάγας δὲ ἤδη γυναῖκα ἔχων Ἀπάμην Ἀντίοχου τοῦ Σελεύκου θυγατέρα, ἔπεισεν Ἀντίοχον παραθάντα, ἃς οἱ ὁ πατὴρ Σελευκος [4]) ἐποιήσατο συνθήκας πρὸς Πτολεμαῖον, ἐλαύνειν ἐπ' Αἴγυπτον. ὡρμημένου δὲ Ἀντιόχου στρατεύειν, Πτολεμαῖος διέπεμψεν ἐς ἅπαντας ὧν ἦρχεν Ἀντίοχος, τοῖς μὲν ἀσθενεστέροις λησαῖς κατατρέχειν τὴν γῆν, οἳ δὲ ἦσαν δυνατώτεροι στρατείᾳ κατεῖργεν [5])· ὥς τε Ἀντιόχῳ μήποτε ἐγγενέσθαι στρατεύειν ἐπ' Αἴγυπτον. οὗτος ὁ Πτολεμαῖος, ὡς καὶ πρότερον εἴρηταί μοι [6]), ναυτικὸν ἔστειλεν ἐς τὴν Ἀθηναίων συμμαχίαν ἐπ' Ἀντίγονον καὶ Μακεδόνας· ἀλλὰ γὰρ ἀπ' αὐτοῦ οὐδὲν μεγα ἐγένετο ἐς σωτηρίαν Ἀθηναίοις. Οἱ δέ οἱ παῖδες ἐγενοντο ἐξ Ἀρσινόης οὐ τῆς ἀδελφῆς, Λυσιμάχου δὲ θυγατρός· τὴν δέ οἱ συνοικήσασαν [7]) ἀδελφὴν κατελα-

4) ἃς οἱ ὁ πατὴρ Σελ.] Cod. Vind. ἃς ὁ πατὴρ ὁ Σέλευκος, Mosc. ἃς ὁ πατὴρ οἱ Σ.

5) διέπεμψεν — — στρατείᾳ κατεῖργεν] Locus paullo difficilior explicatu; quare Sylburgius duarum conjecturarum optionem facit, unius, ληστείαις et κατεῖργεν, alterius, κατατρέχειν et κατείργων. Sed forte nil nisi ληταῖς in ληστὰς mutandum et ex immutata oratione, quam Pausan. amat, sic interpretandum: *contra omnes Antiochi imperio subjectos copias misit; ad imbecilliores quidem latrones, qui incursionibus eorum terram vastarent; validiores autem acie oppressit.* In Cod. Vind. deest ληταῖς.

6) ὡς καὶ πρ. εἴρ. μοι] Uterque Cod. καὶ πρ. εἴρ. ὡς.

7) συνοικήσασαν] Cod. Vind. συνοικοῦσαν.

κατέλαβεν ἔτι πρότερον ἀποθανεῖν ἄπαιδα· καὶ νομός ἐστι ἀπ' αὐτῆς Ἀρσινοΐτης Αἰγυπτίοις [8]).

CAPUT VIII.

De Attalo — variis signis — Demosthene — templis et signis deorum ac hominum — theatro Odeo dicto.

Ἀπαιτεῖ δὲ ὁ λόγος καὶ τὰ ἐς Ἄτταλον δηλῶσαι [1]) ἔχοντα, ὅτι καὶ οὗτος τῶν ἐπωνύμων ἐστὶ Ἀθηναίοις. Ἀνὴρ Μακεδών, Δόκιμος ὄνομα, στρατηγὸς Ἀντιγόνου, Λυσιμάχῳ παραδοὺς αὑτὸν ὕστερον καὶ τὰ χρήματα, Φιλέταιρον Παφλαγόνα εἶχεν εὐνοῦχον. Ὅσα μὲν δὴ Φιλεταίρῳ πεπραγμένα ἐς τὴν ἀπόστασιν ἐστὶ τὴν ἀπὸ Λυσιμάχου, καὶ ὡς Σέλευκον ἐπηγάγετο, ἔσται μοι τῶν ἐς Λυσίμαχον παρενθήκη [2]). Ὁ δὲ Ἄτταλος Ἀττάλου μὲν παῖς ἦν, ἀδελφοῦ δὲ Φιλεταίρῳ, τὴν ἀρχὴν Εὐμενοῦς παραδόντος ἔσχεν ἀνεψιοῦ [3]). 2

Μέγι-

8) νομός — Ἀρσινοΐτης Αἰγ.] Cod. Vind. habet Ἀρσινόης τοῖς Αἰγ. Cod Mosc. Ἀρσινοΐτης Αἰγύπτιος. De Aegypti praefecturis, quae νομοὶ dicebantur, earumque nominibus vid. Plin. H. N. L. V. C. 9.

1) δηλῶσαι] in utroque Cod. post λόγος est et Vindob. pro ὅτι habet ἐπεί.

2) τῶν ἐς Λυσίμαχον παρενθήκη] Vid. L. I. C. 10. prope fin. coll. Strab. L. XIII. p. 925.

3) ἀδελφοῦ δὲ Φιλεταίρῳ, τὴν ἀρχὴν — ἀνεψιοῦ] Cod. Vind. ἀδελφῷ Φιλεταίρῳ δὲ, et Mosc. ἀδελφοῦ Φιλεταίρῳ δέ. Haec ex Strabone explicanda, qui Lib. XIII. p. 925. refert, regnum Pergami a Philetaero ad Eumenem fratris fil., et ab hoc ad Attalum alterius fratris filium, perveniſſe. Sed durior hic eſt ſtructurae orationis ratio Quare viri docti varia conjecerunt. Forte ſcribendum: ἀδελφοῦ Φιλεταίρου, τὴν δὲ ἀρχὴν etc. *Attalus filius Attali fuit, fratris Philetaeri, regnum autem Eumene conſobrino tradente obtinuit.*

Μέγιστον δὲ ἐστὶν οἱ τῶν ἔργων· Γαλάτας γὰρ ἐς τὴν γῆν, ἣν ἔτι καὶ νῦν ἔχουσιν, ἀναφυγεῖν ἠνάγκασεν ἀπὸ θαλάσσης.

3 Μετὰ δὲ τὰς εἰκόνας τῶν ἐπωνύμων ἐστὶν ἀγάλματα θεῶν, Ἀμφιάραος, καὶ Εἰρήνη φέρουσα Πλούτωνα παῖδα [4]). ἐνταῦθα Λυκοῦργός τε κεῖται χαλκοῦς ὁ Λυκόφρονος, καὶ Καλλίας, ὃς πρὸς Ἀρταξέρξην τὸν Ξέρξου τοῖς Ἕλλησιν, ὡς Ἀθηναίων οἱ πολλοὶ λεγουσιν, ἔπραξε τὴν εἰρήνην· ἔστι δὲ καὶ Δημο-
4 σθένης, ὃν ἐς Καλαυρίαν [5]) Ἀθηναῖοι τὴν πρὸ Τροιζῆνος νῆσον ἠνάγκασαν ἀποχωρῆσαι, δεξάμενοι δὲ ὕστερον, διώκουσιν αὖθις μετὰ τὴν ἐν Λαμίᾳ πληγήν. Δημοσθένης δὲ ὡς τὸ δεύτερον ἔφυγε, περαιοῦται καὶ τότε ἐς τὴν Καλαυρίαν, ἔνθα δὴ πιὼν φάρμακον ἐτελεύτησε· φυγάδα τε Ἕλληνα μόνον τοῦτον Ἀντιπάτρῳ καὶ Μακεδόσιν οὐκ ἀνήγαγεν Ἀρχίας. ὁ δὲ Ἀρχίας οὗτος Θούριος ὢν ἔργον ἤρατο ἀνόσιον· ὅσοι Μακεδόσιν ἔπραξαν ἐναντία, πρὶν ἢ τοῖς Ἕλλησι τὸ πταῖσμα ἐν Θετταλίᾳ γενέσθαι, τούτους ἦγεν Ἀρχίας Ἀντιπάτρῳ δώσοντας δίκην. Δημοσθένει μὲν ἡ πρὸς

4) Εἰρήνη φέρουσα Πλούτωνα παῖδα] Hic jam illud animum in mendi latentis ſuſpicionem adducere poſſit, quod, ullam Paci cum Plutone intercedere neceſſitudinem, nec ex veterum mythis ſciamus, nec cogitando credibiliter effingere poſſimus. Quare pro Πλούταια legendum eſſe Πλοῦτον ſuſpicor; quae conjectura alio Pauſaniae loco ſtabilitur L. IX. C. 16., ubi ſimulacri Fortunae Plutum ferentis ſit mentio, et ſtatim ſubjicitur, *Cephiſodorum non minus ingenioſe Athenienſibus feciſſe ſimulacrum Pacis Plutum ferentis.*

5) Καλαυρίαν] L. II. C. 33. et L. X. C. 5. legitur Καλαυρεία et ſic etiam in Stephano Byz. Apud Strabon. eſt Καλαυρία. De Demoſthenis in Calauria obitu vid. Plutarch. Demoſth. C 29. et Lucian. Encom. Demoſthenis.

πρὸς Ἀθηναίους ἄγαν εὔνοια ἐς τοῦτο ἐχώρησεν. εὖ δέ μοι λελέχθαι δοκεῖ, ἄνδρα ἀφειδῶς ἐσπεσόντα ἐς πολιτείαν καὶ πιστὰ ἡγησάμενον τὰ τοῦ δήμου, μήποτε καλῶς τελευτῆσαι. Τῆς δὲ τοῦ Δημοσθένους εἰκόνος πλησίον Ἄρεώς ἐστιν ἱερὸν, ἔνθα ἀγάλματα δύο μὲν Ἀφροδίτης κεῖται, τὸ δὲ τοῦ Ἄρεως ἐποίησεν Ἀλκαμένης· τὴν δὲ Ἀθηνᾶν ἀνὴρ Πάριος, ὄνομα δὲ αὐτῷ Λοκρός. ἐνταῦθα καὶ Ἐνυοῦς [6]) ἄγαλμά ἐστιν, ἐποίησαν δὲ οἱ παῖδες οἱ Πραξιτέλους. περὶ δὲ τὸν ναὸν ἑστᾶσιν Ἡρακλῆς καὶ Θησεὺς καὶ Ἀπόλλων ἀναδούμενος ταινίᾳ τὴν κόμην [7]). ἀνδριάντες δὲ Καλάδης, Ἀθηναίοις, ὡς λέγεται, νόμους γράψας, καὶ Πίνδαρος, ἄλλά τε εὑράμενος παρὰ Ἀθηναίων καὶ τὴν εἰκόνα, ὅτι σφᾶς ἐπήνεσεν ᾄσμα ποιήσας [8]). οὐ πόρρω δὲ ἑστᾶσιν Ἁρμόδιος καὶ Ἀριστογείτων οἱ κτείναντες Ἵππαρχον· αἰτία δὲ ἥτις ἐγένετο, καὶ τὸ ἔργον ὅντινα τρόπον ἔπραξαν, ἑτέροις ἐστὶν εἰρημένον [9]). τῶν δὲ ἀνδριάντων οἱ μέν εἰσι Κριτίου τέχνη, τοὺς δὲ ἀρχαίους ἐποίησεν Ἀντήνωρ. Ξέρξου δὲ, ὡς εἷλεν Ἀθήνας, ἐκλιπόντων τὸ ἄστυ Ἀθηναίων, ἐπαγομένου [10]) καὶ τούτους

6) Ἐνυοῦς] Ἐνυὼ belli dea, de qua vid. Schol. ad Homer. Il. ε. v. 333. et Hesych. h. v.

7) Ἀπόλλων ἀναδούμενος ταινίᾳ τὴν κόμην] De more Graecorum, capita deorum, victorum aliorumque virorum illustrium taeniis revinciendi vid. *Ruhnken.* ad Tim. p. 246. 1. Sic in Pausan. L. V. C. 11. Victoria memoratur taeniam manu tenens, quasi ista Jovis caput ornatura. De taeniis vid. Hesych. h. v.

8) καὶ Πίνδαρος — — ᾄσμα ποιήσας] Hoc non de justo carmine est interpretandum, sed de singulis versibus in laudem Athenarum scriptis, de quibus vid. Schneideri V. C. Pindari fragm. p. 50. IX.

9) ἑτέροις ἐστὶν εἰρημένον] Codex uterque εἰρημένα. Ad rem vid. Thucyd. L. VI. C. 54. sq. et Ael. V. Hist. L. XI. C. 8. ibique Interpret.

10) ἐπαγομένου] sine dubio scribendum ἀπαγομένου.

τούτους ἅτε λάφυρα, κατέπεμψεν ὕστερον Ἀθηναίοις Ἀντίοχος.

6 Τοῦ θεάτρου δὲ, ὃ καλοῦσιν ᾠδεῖον [11]), ἀνδριάντες πρὸ τῆς ἐσόδου [12]) βασιλέων εἰσὶν Αἰγυπτίων. ὀνόματα μὲν δὴ κατὰ τὰ αὐτὰ Πτολεμαῖοί σφισιν, ἄλλη δὲ ἐπίκλησις ἄλλῳ. καὶ γὰρ Φιλομήτορα καλοῦσι καὶ Φιλάδελφον ἕτερον, τὸν δὲ τοῦ Λάγου, σωτῆρα, παραδόντων Ῥοδίων τὸ ὄνομα· τῶν δὲ ἄλλων ὁ μὲν Φιλάδελφός ἐστιν, οὗ καὶ πρότερον μνήμην ἐν τοῖς ἐπωνύμοις ἐποιησάμην [13]), πλησίον δὲ οἱ καὶ Ἀρσινόης τῆς ἀδελφῆς ἐστιν εἰκών.

CAPUT IX.

De Ptolemaeo Philometore et matre Cleopatra — Lysimacho et Thracibus — Hieronymo Cardiano.

Ὁ δὲ Φιλομήτωρ καλούμενος ὄγδοος μέν ἐστιν ἀπόγονος Πτολεμαίου τοῦ Λάγου, τὴν δὲ ἐπίκλησιν ἔσχεν ἐπὶ χλευασμῷ· οὐ γάρ τινα τῶν βασιλέων μισηθέντα ἴσμεν ἐς τοσόνδε ὑπὸ μητρός· ὃν πρεσβύτατον ὄντα τῶν

11) ὃ καλοῦσιν ᾠδεῖον] Suidas: Ὠιδεῖον, Ἀθήνησιν ὥσπερ θέατρον, ὃ πεποίηκεν, ὡς φασὶ, Περικλῆς εἰς τὸ ἐπιδείκνυσθαι τοὺς μουσικούς· διὰ τοῦτο γὰρ καὶ ᾠδεῖον ἐκλήθη ἀπὸ τῆς ᾠδῆς· ἔστι δὲ ἐν αὐτῷ δικαστήριον τοῦ ἄρχοντος· διεμετρεῖτο δὲ καὶ ἄλφιτα ἐκεῖ. Vid. etiam Hesych. h. v. et Meurs. Lect attic. p. 232. Alius odei ab Herode Attico exstructi mentionem facit Paus. Lib VII. C. 20. Etiam aliae Graeciae urbes ejusmodi odea habuere: Corinthus Paus. L. II C. 3., Patrae in Achaja, Paus. L. VII. C. 20.

12) ἐσόδου] Sic rescripsi pro ἐφόδου ex utriusque Codicis lectione, cum *Kuhn.* jam ita conjeciſſet.

13 ὁ μὲν Φιλάδελφός — ἐποιησάμην] paullo ante C 5. In Cod Vind ἐν τοῖς ἐπ. post Φιλ. ἐστιν inveniuntur.

τῶν παίδων ἡ μήτηρ οὐκ εἴα καλεῖν ἐπὶ τὴν ἀρχήν, πρότερον δὲ εἰς Κύπρον ὑπὸ τοῦ πατρὸς πεμφθῆναι πράξασα. τῆς δὲ ἐς τὸν παῖδα τῇ Κλεοπάτρα 2
δυσνοίας λέγουσιν ἄλλας τε αἰτίας, καὶ ὅτι Ἀλέξανδρον τὸν νεώτερον τῶν παίδων κατήκοον ἔσεσθαι μᾶλλον ἤλπιζε· καὶ διὰ τοῦτο ἑλέσθαι βασιλέα Ἀλέξανδρον ἔπειθεν Αἰγυπτίους. ἐναντιουμένου δέ οἱ τοῦ πλήθους, δεύτερα [1]) εἰς τὴν Κύπρον ἔστειλεν Ἀλέξανδρον, στρατηγὸν μὲν τῷ λόγῳ, τῷ δὲ ἔργῳ δι' αὐτοῦ Πτολεμαίῳ θέλουσα εἶναι φοβερωτέρα· τέλος δὲ κατατρώσασα οὓς μάλιστα τῶν εὐνούχων ἐνόμιζεν εὔνους, ἐπήγετο [2]) σφᾶς ἐς τὸ πλῆθος, ὡς αὐτή τε ἐπιβουλευθεῖσα ὑπὸ Πτολεμαίου, καὶ τοὺς εὐνούχους τοιαῦτα ὑπ' ἐκείνου παθόντας. οἱ δὲ Ἀλεξανδρεῖς ὥρμησαν μὲν ὡς ἀποκτενοῦντες τὸν Πτολεμαῖον, ὡς δὲ σφᾶς ἔφθασεν ἐπιβὰς νεώς, Ἀλέξανδρον ἥκοντα ἐκ Κύπρου ποιοῦνται βασιλέα. Κλεοπάτραν δὲ περιῆλθεν ἡ δίκη τῆς Πτολεμαίου φυγῆς ἀποθανοῦσαν ὑπὸ Ἀλεξάνδρου, ὃν αὐτὴ βασιλεύειν ἔπραξεν Αἰγυπτίων. τοῦ δὲ ἔργου φωραθέντος, καὶ Ἀλεξάνδρου φόβῳ τῶν πολιτῶν φεύγοντος, οὕτω Πτολεμαῖος κατῆλθε, καὶ τὸ δεύτερον ἔσχεν Αἴγυπτον, καὶ Θηβαίοις ἐπολέμησεν ἀποστᾶσι. παρασησάμενος [3]) δὲ ἔτει τρίτῳ μετὰ τὴν ἀπόστασιν ἐκάκωσεν, ὡς μηδὲ ὑπόμνημα λειφθῆναι [4]) Θηβαίοις τῆς ποτὲ εὐδαιμονίας προελ-

1) δεύτερα] Cod. Vind. δεύτερον et Mosc. δεύτερα δέ.

2) ἐπήγετο] Sic scripsi pro vulgata ἠπείγετο ex Cod. Vind., cum jam omnes interprétes ita legendum esse vidissent. Cod. Mosc. habet ἠπήγετο.

3) παρασησάμενος] *postquam eos sub potestatem redegerat.* Quo significatu παρασήσασθαι in Thucyd. est L. 1. C. 29. et 98., ubi vide Interpr.

4) λειφθῆναι] Sic emendavi pro vulgato λιφθῆναι, quod nullo

προελθούσης εἰς τοσοῦτον, ὡς ὑπερβαλέσθαι πλούτῳ τοὺς Ἑλλήνων πολυχρημάτους, τό τε ἱερὸν τὸ ἐν Δελφοῖς, καὶ Ὀρχομενίους. Πτολεμαῖον μὲν οὖν ὀλίγῳ τούτων ὕστερον ἐπελαβε μοῖρα ἡ καθήκουσα. Ἀθηναῖοι δὲ ὑπ' αὐτοῦ παθόντες εὖ, πολλά τε καὶ οὐκ ἄξια [5]) ἐξηγήσεως, χαλκοῦν καὶ αὐτὸν καὶ Βερενίκην
4 ἔθηκαν, ἣ μόνη γνησία οἱ τῶν παίδων ἦν. μετὰ δὲ τοὺς Αἰγυπτίους Φιλιππός τε καὶ Ἀλέξανδρος ὁ Φιλίππου κεῖνται. τούτοις μείζονα ὑπῆρχέ πως ἢ ἄλλου πάρεργα εἶναι λόγου. Τοῖς μὲν οὖν ἀπ' Αἰγύπτου τιμῇ τε ἀληθεῖ καὶ εὐεργέταις οὖσι γεγόνασιν αἱ δωρεαὶ, Φιλίππῳ δὲ καὶ Ἀλεξάνδρῳ κολακίας [6]) μᾶλλον ἐς αὐτοὺς τοῦ πλήθους· ἐπεὶ καὶ Λυσίμαχον οὐκ εὐνοίᾳ τοσοῦτον ὡς ἐς τὰ παρόντα χρήσιμον νομίζοντες ἀνέθηκαν.

5 Ὁ δὲ Λυσίμαχος οὗτος γένος τε ἦν Μακεδών, καὶ Ἀλεξάνδρου δορυφόρος· ὃν Ἀλέξανδρός ποτε ὑπ' ὀργῆς λέοντι ἐμοῦ καθείρξας ἐς οἴκημα κεκρατηκότα εὗρε τοῦ θηρίου. τά τε οὖν ἄλλα ἤδη διετέλει θαυμάζων, καὶ Μακεδόνων ὁμοίως τοῖς ἀρίστοις ἦγεν ἐν τιμῇ. τελευτήσαντος δὲ Ἀλεξάνδρου, Θρακῶν ἐβασίλευεν ὁ Λυσίμαχος τῶν προσοίκων Μακεδόσιν, ὅσων ἦρχεν Ἀλέξανδρος καὶ ἔτι πρότερον Φίλιππος·
6 εἶεν δ' ἂν οὗτοι τοῦ Θρᾳκίου μοῖρα οὐ μεγάλη. Θρᾳκῶν

nullo modo locum hic habere poteſt. Verba illa ſaepiſſime a librariis perperam eſſe permutata, docent Lennep. ad Phalar. epiſt. p. 297. 357. et Cronov. ad Arrian. de exped. Alex. L. I. C. 2.

5) οὐκ ἄξια] *Loeſcher.* legendum cenſuit οὐκ ἀνάξια, vertens: *commemoratu digna.*

6) κολακίας] Cod Moſc. κολακίαι. Sine dubio vera lectio fuit κολακίᾳ vel κολακείαις. Structura enim orationis dativum requirit, et κολακία non reperitur.

Θρακῶν δὲ τῶν πάντων οὐδένες πλείους εἰσὶ τῶν ἀνθρώπων, ὅτι μὴ Κελτοὶ, πρὸς ἄλλο ἔθνος ἐν ἀντεξετάζοντι [7]· καὶ διὰ τοῦτο οὐδεὶς πω πρότερον Θρᾷκας Ῥωμαίων κατεστρέψατο ἀθρόους. Ῥωμαίοις δὲ Θράκη τε πᾶσά ἐστιν ὑποχείριος, καὶ Κελτῶν ὅσον μὲν ἀχρεῖον νομίζουσι διά τε ὑπερβάλλον ψύχος καὶ γῆς φαυλότητα, ἑκουσίως παρῶπταί σφισι· τὰ δὲ ἀξιόκτητα ἔχουσι καὶ τούτων. τότε δὲ ὁ Λυσίμαχος πρώτοις τῶν περιοίκων ἐπολέμησεν Ὀδρύσαις, δευτέρα δὲ ἐπὶ Δρομιχαίτην [8]) καὶ Γέτας ἐστράτευσεν. οἷα δὲ ἀνδράσι συμβαλὼν οὐκ ἀπείροις πολεμων, ἀριθμῷ δὲ καὶ πολὺ ὑπερβεβληκόσιν, αὐτὸς μὲν ἐς τὸ ἔσχατον ἐλθὼν κινδύνου διέφυγεν, ὁ δὲ οἱ παῖς Ἀγαθοκλῆς συστρατευόμενος τότε πρῶτον ὑπὸ τῶν Γετῶν ἑάλω. Λυσίμαχος δὲ καὶ ὕστερον προσπταίσας μάχαις, καὶ τὴν ἅλωσιν τοῦ παιδὸς οὐκ ἐν παρέργῳ ποιούμενος, συνέθετο πρὸς Δρομιχαίτην εἰρήνην, τῆς τε ἀρχῆς τῆς αὐτοῦ τὰ πέραν Ἴστρου παρεὶς τῷ Γέτῃ, καὶ θυγατέρα συνοικίσας ἀνάγκῃ τὸ πλέον. οἱ δὲ οὐκ Ἀγαθοκλέα, Λυσίμαχον δὲ αὐτὸν [9]) ἁλῶναι λέγουσιν, ἀνασωθῆναι δὲ, Ἀγαθοκλέους τὰ πρὸς τὸν Γέτην ὑπὲρ αὐτοῦ πράξαντος. ὡς δὲ ἐπανῆλθεν, Ἀγαθοκλεῖ Λυσάνδραν γυναῖκα ἠγάγετο, Πτολεμαίου τε τοῦ Λάγου καὶ Εὐρυδίκης οὖσαν. διέβη δὲ καὶ ναυσὶν ἐπὶ τὴν Ἀσίαν, καὶ τὴν ἀρχὴν τὴν Ἀντιγόνου συγκαθεῖλε. συνώ-

7) ἀντεξετάζοντι] Hunc dativum, qui ab εἰσὶ pendere potest, pro vulgata — ζοντα reposui, utroque Codice eum exhibente.

8) Δρομιχαίτην] Vid. Strab. L. VII. p. 462. 463.

9) Λυσίμαχον δὲ αὐτὸν] Ex iis, qui hoc referunt, Strabo est, qui L. VII. p. 463. Lysimachum a Dromichaeta captum, sed statim dimissum esse narrat.

συνῴκισε δὲ καὶ Ἐφεσίων ἄχρι θαλάσσης τὴν νῦν πόλιν, ἐπαγόμενος ἐς αὐτὴν Λεβεδίους [10]) τε οἰκήτορας καὶ Κολοφωνίους, τὰς δὲ ἐκείνων ἀνελὼν πόλεις· ὡς Φοίνικα ἰάμβων ποιητὴν Κολοφώνιον [11]) θρηνῆσαι τὴν ἅλωσιν. Ἑρμησιάναξ [12]) δὲ ὁ τὰ ἐλεγεῖα γράψας οὐκ ἔτι (ἐμοὶ δοκεῖν) περιῆν· πάντα [13]) γάρ που
9 καὶ αὐτὸς ἂν ἐπὶ ἁλούσῃ Κολοφῶνι ὠδύρατο. Λυσίμαχος δὲ καὶ ἐς πόλεμον πρὸς Πύρρον κατέστη τὸν Αἰακίδου. Φυλάξας δὲ ἐξ Ἠπείρου ἀπιόντα, (οἷα δὴ τὰ πολλὰ ἐκεῖνος ἐπλανᾶτο,) τήν τε ἄλλην ἐλεηλάτησεν ἤπειρον, καὶ ἐπὶ τὰς θήκας ἦλθε τῶν βασι-
10 λέων. τὰ δὲ ἐντεῦθεν ἐμοί ἐστιν οὐ πιστά. Ἱερώνυμος δὲ ἔγραψε Καρδιανὸς [14]), Λυσίμαχον τὰς θήκας τῶν νεκρῶν ἀνελόντα τὰ ὀστᾶ ἐκρίψαι. ὁ δὲ Ἱερώνυμος οὗτος ἔχει μὲν καὶ ἄλλως δόξαν πρὸς ἀπέχθειαν γράψαι τῶν βασιλέων, πλὴν Ἀντιγόνου, τούτῳ δὲ οὐ δικαίως

10) Λεβεδίους] Sic scribendum esse pro Λεβαδίους, a Λέβεδος (quae est urbs Ioniae), jam Sylb. monuit. Manifesto hoc patet ex L. VII. C. 3., ubi eadem prolixius refert. Conf. Strabo L. XIV. p. 952. 953.

11) Φοίνικα — Κολοφώνιον] Eum ἰαμβοποιὸν vocat ejusque versus aliquot laudat Athen. L. VIII. p. 359. et L. X. p. 421.

12) Ἑρμησιάναξ] Poëta Colophonius; incertum vero, num idem, cui Colophonii statuam posuere in Elide. Vid. Paus. L. VI. C. 17. In reliquis enim locis Paus. semper additur ὁ τὰ ἐλεγεῖα γράψας, uti L. VII. C. 17. L. VIII. C. 12. L. IX. C. 25. De ejus aetate et carminibus vid. Ruhnken. Epist. Crit. p. 283.

13) πάντα] *Loescher.* in Cod. Opor. corrigit πάντως, et sic uterque Codex V. et M. habent.

14) Ἱερώνυμος — Καρδιανὸς] Ejusdem mentio fit C. 14. init. Ex Cardia, Thraciae urbe, et rerum Sicularum scriptor fuit: ὁ τὰς τῶν διαδόχων ἱστορίας γεγραφώς, Diodor. Sic. L. XVIII. p. 621. B. ed. Rhod.; ab Eumene et Antigono magni habitus, Diod. L. XIX. p. 688. A. Dionys. Hal. L. I. p. 5. l. 29. ed. Sylb. ejus libellum περὶ τῶν ἐπιγόνων πραγματείαν inscriptum memorat.

δικαίως χαρίζεσθαι· τὰ δὲ ἐπὶ τοῖς τάφοις τῶν Ἠπειρωτῶν, παντάπασίν ἐστι φανερὸς ἐπήρειαν [15]) συνθεὶς, ἄνδρα Μακεδόνα θήκας νεκρῶν ἀνελεῖν. χωρὶς δὲ ἠπίστατο δή που καὶ Λυσίμαχος, οὐ Πύρρου σφᾶς προγόνους μόνον, ἀλλὰ καὶ Ἀλεξάνδρου τοὺς αὐτοὺς τούτους ὄντας· καὶ γὰρ Ἀλέξανδρος Ἠπειρώτης ἦν [16]) καὶ τῶν Αἰακιδῶν τὰ πρὸς μητρός· ἥ τε ὕστερον Πύρρου πρὸς Λυσίμαχον συμμαχία δηλοῖ, καὶ πολεμήσασιν ἀδιάλλακτόν γε οὐδὲν πρὸς ἀλλήλους γενέσθαι σφίσι. τῷ δὲ Ἱερωνύμῳ τάχα μέν που καὶ ἄλλα ἦν ἐς Λυσίμαχον ἐγκλήματα, μέγιστον δὲ, ὅτι τὴν Καρδιανῶν πόλιν ἀνελὼν Λυσιμαχίαν ἀντ' αὐτῆς ὠκισεν ἐπὶ τῷ Ἰσθμῷ τῆς Θρᾳκίας χερρονήσου.

CAPUT X.

De Lysimachi bellis cum Demetrio et Pyrrho gestis — de Lysimachi infelici matrimonio et morte.

Λυσιμάχῳ δὲ, ἐπὶ μὲν Ἀρριδαίου [1]) βασιλεύσαντος καὶ ὕστερον Κασσάνδρου καὶ τῶν παίδων, φιλία διέμεινε πρὸς Μακεδόνας· περιελθούσης δὲ ἐς Δημήτριον τὸν Ἀντιγόνου τῆς ἀρχῆς, ἐνταῦθα ἤδη Λυσίμαχος πολεμήσεσθαι ἤλπιζεν ὑπὸ Δημητρίου, καὶ αὐτὸς ἄρξειν ἡξίου πολέμου, πατρῷον ἐπισάμενος ὂν Δημητρίῳ

15) ἐπήρειαν] Loescher. in Cod. Opor. legit κατ' ἐπήρειαν. Emendarem potius ἐς ἐπήρειαν ex more Pausaniae ἐς, εἰς pro κατὰ usurpantis. Sic statim post ἐς τοὺς παῖδας pro κατὰ τ. π., L. I. C. 25. ἐς πίστιν, L. II. C. 4. ἐς τὴν ὄψιν, L. II. C. 30. εἰς ἐπίδειξιν.

16) Ἠπειρώτης ἦν] Cod. V. Ἠπειρώτης τε ἦν.

1) Ἀρριδαίου] Cod. Vind. cum simplici ρ habet, uti et C. 6. et 11. legitur.

προσπεριβάλλεσθαί[2]) τι ἐθέλειν, καὶ ἅμα ὁρῶν αὐτὸν παρελθόντα ἐς Μακεδονίαν μετάπεμπτον ὑπὸ Ἀλεξάνδρου τοῦ Κασσάνδρου, ὡς δὲ ἀφίκετο, αὐτόν τε Ἀλέξανδρον φονεύσαντα καὶ ἔχοντα ἀντ' ἐκείνου
2 τὴν Μακεδόνων ἀρχήν. τούτων εἵνεκα Δημητρίῳ συμβαλὼν πρὸς Ἀμφιπόλει παρ' ὀλίγον μὲν ἦλθεν ἐκπεσεῖν Θρᾴκης, ἀμύναντος δέ οἱ Πύῤῥου, τήν τε Θρᾴκην κατέσχε καὶ ὕστερον ἐπῆρξε Νεστίων καὶ Μακεδόνων. τὸ δὲ πολὺ Μακεδονίας αὐτὸς Πύῤῥος κατεῖχε, δυνάμει τε ἥκων ἐξ Ἠπείρου καὶ πρὸς Λυσίμαχον ἐν τῷ παρόντι ἔχων ἐπιτηδείως. Δημητρίου δὲ διαβάντος εἰς τὴν Ἀσίαν καὶ Σελεύκῳ πολεμοῦντος, ὅσον μὲν χρόνον ἀντεῖχε τὰ Δημητρίου, διέμεινεν ἡ Πύῤῥου καὶ Λυσιμάχου συμμαχία, γενομένου δὲ ἐπὶ Σελεύκῳ Δημητρίου, Λυσιμάχῳ καὶ Πύῤῥῳ διελύθη ἡ φιλία, καὶ καταστάντων ἐς πόλεμον, Λυσίμαχος Ἀντιγόνῳ τε τῷ Δημητρίου καὶ αὐτῷ Πύῤῥῳ πολεμήσας ἐκράτησε παρὰ πολύ, καὶ Μακεδονίαν ἔσχεν ἀναχωρῆσαι
3 Πύῤῥον βιασάμενος εἰς τὴν Ἤπειρον. Εἰώθασι δὲ ἀνθρώποις φύεσθαι δι' ἔρωτα πολλαὶ συμφοραί. Λυσίμαχος γὰρ ἡλικίᾳ τε ἤδη προήκων, καὶ ἐς τοὺς παῖδας αὐτός τε νομιζόμενος εὐδαίμων, καὶ Ἀγαθοκλεῖ παίδων ὄντων ἐκ Λυσάνδρας, Ἀρσινόην ἔγημεν ἀδελφὴν Λυσάνδρας. ταύτην τὴν Ἀρσινόην φοβουμένην ἐπὶ τοῖς παισὶ, μὴ Λυσιμάχου τελευτήσαντος ἐπ' Ἀγαθοκλεῖ γένωνται, τούτων εἵνεκα Ἀγαθοκλεῖ ἐπιβουλεῦσαι λέγεται. ἤδη δὲ ἔγραψαν καὶ ὡς Ἀγαθοκλέους ἀφίκοιτο ἐς ἔρωτα ἡ Ἀρσινόη· ἀποτυγχάνουτα δὲ ἐπιβουλεῦσαι λέγουσιν Ἀγαθοκλεῖ θάνα-

2) προσπεριβάλλεσθαι] *insuper acquirere*, sibi *parare*, sc. praeter terras jam partas.

θάνατον. λέγουσι δὲ καὶ ὡς Λυσίμαχος αἴσθοιτο ὕστερον τὰ τολμηθέντα ὑπὸ τῆς γυναικὸς, εἶναι δὲ οὐδὲν ἔτι οἱ πλέον ἠρημένῳ Φίλον ἐς τὸ ἔσχατον [3]). ὡς γὰρ δὴ τότε ὁ Λυσίμαχος ἀνελεῖν τὸν Ἀγαθοκλέα 4
Ἀρσινόη παρῆκε, Λυσάνδρα παρὰ Σέλευκον ἐκδιδράσκει, τούς τε παῖδας ἅμα ἀγομένη καὶ τοὺς ἀδελφοὺς τοὺς αὐτῆς, οἷς περιελθὸν τοῦτο ἐς Πτολεμαῖον καταφεύγουσι [4]). τούτοις ἐκδιδράσκουσι παρὰ Σέλευκον καὶ Ἀλέξανδρος ἠκολούθησεν, υἱὸς μὲν Λυσιμάχου, γεγονὼς δὲ ἐξ Ὀδρυσιάδος γυναικός. οὗτοί τε οὖν ἐς Βαβυλῶνα ἀναβεβηκότες ἱκέτευον Σέλευκον, ἐς πόλεμον πρὸς Λυσίμαχον καταστῆναι, καὶ Φιλέταιρος ἅμα, ᾧ τὰ χρήματα ἐπετέτραπτο Λυσιμάχου,

3) εἶναι δὲ οὐδὲν ἔτι οἱ πλέον ἠρημένῳ φίλον ἐς τὸ ἔσχ.] Haec Amasaeum temere et perverse interpretatum esse, jam alii viderunt. Οὐδὲν πλέον ἐσί τινι sequente participio in dativo significat: *nihil alicui prodest*, (*supersit*). Sic L. I. C. 20. καὶ οἱ καμόντι οὐδὲν ἔφασκεν εἶναι πλέον. L. IV. C. 4. Lucian. Encom. Demosth. καὶ τοι πλέον ἂν οὐδὲ βιασαμένοις οὐδὲν ἦν. Quare, si hic omnia sana, sensus esset, *Lysimachum postea atrox uxoris facinus cognosse, et intellexisse, nihil sibi amplius prodesse, quod sibi parasset amicum* (sc. filium) *ad ultima paratum*. At Xylander, Loescher., Sylb. et Kuhn. pro ἠρημένῳ φίλον legendum esse censent ἠρημωμένῳ φίλων, *quum ab amicis desertus esset*. Uterque Codex vulgatam habet.

4) οἷς περιελθὸν τοῦτο ἐς Πτολεμαῖον καταφεύγουσι] Locus sine dubio mendosus et ab interpretibus varie, sed parum feliciter tentatus. Ex L. I. C. 16. et L. X. C. 19. patet, Ptolemaeum Ceraunum Lysandrae fratrem a Lysimacho ad Seleucum confugisse. Περιελθεῖν in Pausan. semper fere accusativo jungitur, vel praepositioni εἰς, ἐς, et significat *pervenire, devenire ad*. Forte igitur levi mutatione scribendum: οἳ, περιελθὸν τοῦτο ἐς Πτολεμαῖον, καταφεύγουσι· *qui, cum hoc* (scil. facinus) *perveniisset* (scil. nuntio) *ad Ptolemaeum, aufugiunt* (sc. cum eo).

τῇ τε Ἀγαθοκλέους τελευτῇ χαλεπῶς φέρων [5]) καὶ τὰ παρὰ τῆς Ἀρσινόης ὕποπτα ἡγούμενος, καταλαμβάνει Πέργαμον τὴν ὑπὲρ Καΰκου [6]· πέμψας δὲ κήρυκα, τά τε χρήματα καὶ αὐτὸν ἐδίδου Σελεύκῳ. Λυσίμαχος δὲ ταῦτα πάντα πυνθανόμενος, ἔφθη διαβὰς ἐς τὴν Ἀσίαν, καὶ ἄρξας αὐτὸς πολέμου συμβαλών τε Σελεύκῳ, παρὰ πολύ τε ἐκρατήθη καὶ αὐτὸς ἀπέθανεν. Ἀλέξανδρος δὲ, ὃς ἐκ τῆς γυναικὸς Ὀδρυσίδος [7]) ἐγεγόνει οἱ, πολλὰ Λυσάνδραν παραιτησάμενος ἀναιρεῖταί τε [8]), καὶ ὕστερον τούτων ἐς Χερρόννησον κομίσας ἔθαψεν, ἔνθα ἔτι καὶ νῦν ἐστίν οἱ φανερὸς ὁ τάφος, Καρδίας τε μεταξὺ κώμης καὶ Πακτύης. τὰ μὲν οὖν Λυσιμάχου τοιαῦτα ἐγένετο.

CAPUT XI.

De Pyrrhi genere — Epirotarum regno — Pyrrhi expeditionibus.

Ἀθηναίοις δὲ εἰκὼν ἐστι καὶ Πύρρου. οὗτος ὁ Πύρρος Ἀλεξάνδρῳ προσῆκεν οὐδέν, εἰ μὴ ὅσα κατὰ γένος· Αἰακίδου γὰρ τοῦ Ἀρύββου [1]) Πύρρος ἦν, Ὀλυμπιάδος

5) τῇ τε Ἀγ. τελευτῇ χαλεπῶς φέρων] Prorsus insolenter χαλεπῶς φέρειν hic dativo junctum. Quare forte corrigendum τήν τε Ἀγ. τελευτήν.

6) Καΰκου] Cod. Mosc. Καΐκου, uti apud Strab. et alios.

7) Ὀδρυσίδος] Paullo ante fuit Ὀδρυσιάδος, quam duplicem elocutionem etiam Steph. Byz. agnoscit v. Ὄδρυσαι.

8) ἀναιρεῖταί τε] sc. τοῦ Λυσιμάχου τὸν νεκρόν. De mortuorum sublatione ad sepulturam ἀναιρεῖσθαι et ἀναίρεσις nota sunt vocabula. Sic L. I. C. 39., L. IV. C. 8. in fine, L. VII. C. 2.

1) Ἀρύββου] Constans est haec scriptura in Cod. Vind.; in sequentibus Cod. Mosc. dat Ἀρρύβου; paullo post est Ἀρύμβου; apud alios Ἀρύβας; quae varietas ex confusione literarum μ et β orta est, de qua vid. Gronov. ad Arrian. de exp. Alex. L. I. C. 20. et 24.

δος δὲ Ἀλέξανδρος τῆς Νεοπτολέμου· Νεοπτολέμῳ δὲ καὶ Ἀρύββα πατὴρ ἦν Ἀλκέτας ὁ Θαρύπου [2]· ἀπὸ δὲ Θαρύπου ἐς Πύρρον τὸν Ἀχιλλέως πέντε ἀνδρῶν καὶ δέκα εἰσὶ γενεαί. πρῶτος γὰρ οὗτος [3]) ἀλούσης Ἰλίου τὴν μὲν ἐς Θεσσαλίαν ὑπερεῖδεν ἀναχώρησιν, ἐς δὲ τὴν Ἤπειρον κατάρας, ἐνταῦθα ἐκ τῶν Ἑλένου χρησμῶν [4]) ᾤκησε. καί οἱ παῖς ἐκ μὲν Ἑρμιόνης ἐγένετο οὐδείς, ἐξ Ἀνδρομάχης δὲ Μολοσσὸς καὶ Πίελος, καὶ νεώτατος ὁ Πέργαμος. ἐγένετο δὲ καὶ Ἑλένῳ Κεστρῖνος· τούτῳ γὰρ Ἀνδρομάχη συνῴκησεν, ἀποθανόντος ἐν Δελφοῖς Πύρρου. Ἑλένου δὲ, ὡς ἐτελεύτα, Μολοσσῷ τῷ Πύρρου παραδόντος τὴν ἀρχὴν, Κεστρῖνος μὲν σὺν τοῖς ἐθέλουσιν Ἠπειρωτῶν τὴν ὑπὲρ Θύαμιν ποταμὸν χώραν ἔσχε, Πέργαμος δὲ διαβὰς ἐς τὴν Ἀσίαν Ἄρειον δυναστεύοντα ἐν τῇ Τευθρανίᾳ κτείνει μονομαχήσαντά οἱ περὶ τῆς ἀρχῆς· καὶ τῇ πόλει τὸ ὄνομα ἔδωκε τὸ νῦν ἀπ' αὐτοῦ, καὶ Ἀνδρομάχης (ἠκολούθει γάρ)· ὧν καὶ νῦν [5]) ἐστιν ἡρῷον ἐν τῇ πόλει. Πίελος δὲ αὐτοῦ κατέμεινεν ἐν Ἠπείρῳ· καὶ ἐς πρόγονον τοῦτον ἀνέβαινε Πύρρος τε ὁ Αἰακίδου καὶ οἱ πατέρες, ἀλλ' οὐκ ἐς Μολοσσόν. ἦν δὲ ἄχρι μὲν Ἀλκέτου καὶ Θαρύπου [6]) ἐφ' ἑνὶ βασι- 3

2) Θαρύπου] Plutarch. in Pyrrho C. 1. habet Θαλῆύταν.

3) πρῶτος γὰρ οὗτος] Cod. Vindob. πρῶτος γὰρ δή.

4) ἐκ τῶν Ἑλένου χρησμῶν] Eadem de Heleno et Pyrrho narrantur L. II. C. 23.

5) καὶ Ἀνδρομάχης (ἠκολούθει γάρ)· ὧν καὶ νῦν etc.] Hic ὧν suspectum esse videtur. *Sylb.* conjicit (ἠκολούθει γάς οἱ) καὶ ν. etc. *Kuhn.* ὧν in οὗν mutandum censet. Paullo audacius corrigit *Jacobs* Animadvers. in Euripid. p. 45. (ἠκολούθει γὰρ υἱῷ) κλεινόν ἐστιν ἥρ. etc.

6) Ἀλκέτου καὶ Θαρύπου] Sylb. pro καὶ legere mavult τοῦ, vel Θαρύπου καὶ Ἀλκέτου scribendum putat. Tharypum enim Alcetae patrem fuisse, antea retulerat Paus.

λεῖ καὶ τὰ Ἠπειρωτῶν· οἱ δὲ Ἀλκέτου παῖδες, ὡς σφίσι κασιάσασι μετέδοξεν ἐπίσης ἄρχειν, αὐτοί τε πιστῶς ἔχοντες διέμειναν ἐς ἀλλήλους, καὶ ὕστερον Ἀλεξάνδρου τοῦ Νεοπτολέμου τελευτήσαντος ἐν Λευκανοῖς, Ὀλυμπιάδος δὲ διὰ τὸν Ἀντιπάτρου φόβον ἐπανελθούσης ἐς Ἤπειρον, Αἰακίδης ὁ Ἀρύββου τά τε ἄλλα διετέλει κατήκοος ὢν Ὀλυμπιάδι, καὶ συνεστράτευσεν πολεμήσων Ἀριδαίῳ καὶ Μακεδόσιν, οὐκ
4 ἐθελόντων ἕπεσθαι τῶν Ἠπειρωτῶν. Ὀλυμπιάδος δὲ, ὡς ἐπεκράτησεν, ἀνόσια μὲν ἐργασαμένης καὶ ἐς τὸν Ἀριδαίου θάνατον, πολλῷ δὲ ἔτι ἀνοσιώτερα ἐς ἄνδρας Μακεδόνας, καὶ διὰ ταῦτα οὐκ ἀνάξια ὕστερον ὑπὸ Κασσάνδρου παθεῖν νομισθείσης, Αἰακίδην οὖν κατ' ἀρχὰς μὲν οὐδ' αὐτοὶ διὰ τὸ Ὀλυμπιάδος ἔχθος ἐδέχοντο Ἠπειρῶται· εὑρομένου δὲ ἀνὰ χρόνον παρὰ τούτων συγγνώμην, δεύτερα[7]) ἠναντιοῦτο Κάσσανδρος, μὴ κατελθεῖν ἐς Ἤπειρον. γενομένης δὲ Φιλίππου τε ἀδελφοῦ Κασσάνδρου καὶ Αἰακίδου μάχης πρὸς Οἰνιάδαις, Αἰακίδην μὲν τρωθέντα κατ-
5 έλαβε μετ' οὐ πολὺ τὸ χρεών. Ἠπειρῶται δὲ Ἀλκέταν ἐπὶ βασιλείᾳ κατεδέξαντο, Ἀρύμβου μὲν παῖδα καὶ ἀδελφὸν Αἰακίδου πρεσβύτερον, ἀκρατῆ δὲ ἄλλως θυμοῦ, καὶ δι' αὐτὸ ἐξελασθέντα ὑπὸ τοῦ πατρός. καὶ τότε ἥκων ἐξεμαίνετο εὐθὺς ἐς τοὺς Ἠπειρώτας, ἐς ὃ[8]) νύκτωρ αὐτόν τε καὶ τοὺς παῖδας ἐπανασάντες ἔκτειναν. Ἀποκτείναντες δὲ τοῦτον, Πύρρον τὸν Αἰακίδου καταγουσιν· ἥκοντι δὲ εὐθὺς ἐπεστράτευε Κάσσανδρος, νέῳ τε ἡλικίᾳ ὄντι καὶ τὴν ἀρχὴν οὐ κατεσκευασμένῳ βεβαίως. Πύρρος δὲ, ἐπιόντων Μακεδόνων,

7) δεύτερα] Cod. Vindob. δεύτερον. 8) ἐς ὃ] Cod. Mosc. ἐν ᾧ.

κεδόνων, ἐς Αἴγυπτον παρὰ Πτολεμαῖον ἀναβαίνει τὸν Λάγου· καὶ οἱ Πτολεμαῖος γυναῖκα δέδωκεν ἀδελφὴν ὁμομητρίαν τῶν αὐτοῦ παίδων [9]), καὶ σόλῳ κατήγαγεν Αἰγυπτίων. Πύῤῥος δὲ βασιλεύσας πρώτοις ἐπέθετο Ἑλλήνων Κερκυραίοις, κειμένην τε ὁρῶν τὴν νῆσον πρὸ τῆς αὐτοῦ χώρας, καὶ ἄλλοις ὁρμητήριον ἐφ' αὐτὸν οὐκ ἐθέλων εἶναι. μετὰ δὲ ἁλοῦσαν Κέρκυραν ὅσα μὲν Λυσιμάχῳ πολεμήσας ἔπαθε, καὶ ὡς Δημήτριον ἐκβαλὼν Μακεδονίας ἦρξεν, ἐς ὃ αὖθις ἐξέπεσεν ὑπὸ Λυσιμάχου, τάδε μὲν τοῦ Πύῤῥου μέγιστα ἐς ἐκεῖνον τὸν καιρὸν δεδήλωται ἤδη μοι τὰ ἐς Λυσίμαχον ἔχοντα [10]). Ῥωμαίοις δὲ οὐδένα Πύῤῥου πρότερον πολεμήσαντα ἴσμεν Ἕλληνα. Διομήδει μὲν γὰρ καὶ Ἀργείων τοῖς σὺν αὐτῷ οὐδεμίαν ἔτι γενέσθαι πρὸς Αἰνείαν λέγεται μάχην· Ἀθηναίοις δὲ ἄλλα τε ἐλπίσασι καὶ Ἰταλίαν πᾶσαν καταῤῥέψασθαι, τὸ ἐν Συρακούσαις πταῖσμα ἐμποδὼν ἐγένετο, μὴ καὶ Ῥωμαίων λαβεῖν πεῖραν· Ἀλέξανδρος δὲ ὁ Νεοπτολέμου, γένους τε ὢν Πύῤῥῳ τοῦ αὐτοῦ καὶ ἡλικίᾳ πρεσβύτερος, ἀποθανὼν ἐν Λευκανοῖς ἔφθη, πρὶν ἐς χεῖρας ἐλθεῖν Ῥωμαίοις. 6 7

9) ἀδελφὴν ὁμομητρίαν τ. α. π.] Ex Plutarchi Pyrrh. C. 4. in fine illam Antigonam fuisse scimus, Berenices filiam ex Philippo, cui ante Ptolemaeum nupserat.

10) δεδήλωται ἤδη μοι τὰ etc.] Paullo ante C. X. τὰ — ἔχοντα pro κατὰ (ἐς) τὰ — ἔχοντα, uti saepius in Pausania. Cod. Mosc. pro δεδήλωται habet δεδήλωκεν.

CAPUT XII.

De Pyrrhi bello contra Romanos — de elephantis et ebore — de Pyrrhi bello contra Carthaginienſes.

Οὕτω Πύῤῥος ἐστὶν ὁ πρῶτος ἐκ τῆς Ἑλλάδος τῆς πέραν Ἰονίου διαβὰς ἐπὶ Ῥωμαίους. διέβη δὲ καὶ οὗτος
2 ἐπαγομένων Ταραντίνων. τούτοις γὰρ πρότερον ἔτι πρὸς Ῥωμαίους συνεισήκει πόλεμος· ἀδύνατοι δὲ κατὰ σφᾶς ὄντες ἀντισχεῖν, προϋπαρχούσης μὲν ἐς αὐτὸν εὐεργεσίας, ὅτι οἱ πολεμοῦντι τὸν πρὸς Κέρκυραν πόλεμον ναυσὶ συνήραντο, μάλισα δὲ οἱ πρέσβεις τῶν Ταραντίνων ἀνέπεισαν τὸν Πύῤῥον, τήν τε Ἰταλίαν διδάσκοντες, ὡς εὐδαιμονίας εἵνεκα ἀντὶ πάσης εἴη τῆς Ἑλλάδος, καὶ ὡς οὐχ ὅσιον αὐτῷ παραπέμψαι σφᾶς φίλους τε καὶ ἱκέτας ἐν τῷ παρόντι ἥκοντας. ταῦτα λεγόντων τῶν πρέσβεων, μνήμη τὸν Πύῤῥον τῆς ἁλώσεως ἐσῆλθε τῆς Ἰλίου, καί οἱ κατὰ ταυτὰ ἤλπιζε χωρήσειν πολεμοῦντι· στρατεύσειν γὰρ ἐπὶ Τρώων ἀποίκους Ἀχιλλέως ὢν ἀπόγονος. ὡς δέ οἱ ταῦτα ἤρεσκε (διέμελλε γὰρ ἐπ' οὐδενὶ ὧν ἔλοιτο), αὐτίκα ναῦς τε ἐπλήρου μακρὰς, καὶ πλοῖα στρογγύλα
3 εὐτρέπιζεν, ἵππους καὶ ἄνδρας ὁπλίτας ἄγειν. Ἔστι δὲ ἀνδράσι βιβλία οὐκ ἐπιφανέσιν ἐς συγγραφὴν, ἔχοντα ἐπίγραμμα, ἔργων ὑπομνήματα [1]) εἶναι· ταῦτα ἐπιλεγομένῳ μοι μάλισα ἐπῆλθε θαυμάσαι Πύῤῥου τόλμαν τε, ἣν μαχόμενος αὐτός τε παρείχετο, καὶ τὴν ἐπὶ τοῖς ἀεὶ μέλλουσιν ἀγῶσι πρόνοιαν· ὃς καὶ τότε περαιούμενος ναυσὶν ἐς Ἰταλίαν Ῥωμαίους ἐλε-

λήθει,

1) ἔργων ὑπομνήματα] Loescher. in Cod. Opor. legit τῶν Πύῤῥου ἔργων ὑπομνήματα; in Plutarchi Pyrrho etiam memorantur Πυῤῥου βασιλικὰ ὑπομνήματα.

λήθει, καὶ ἤκων οὐκ εὐθὺς ἦν σφίσι φανερός· γιγνομένης δὲ Ῥωμαίων πρὸς Ταραντίνους συμβολῆς, τότε δὴ πρῶτον ἐπιφαίνεται σὺν τῷ στρατῷ, καὶ παρ' ἐλπίδα σφίσι προσπεσὼν, ὡς τὸ εἰκὸς, ἐτάραξεν. ἄτε δὲ ἄριστα ἐπισάμενος, ὡς οὐκ ἀξιόμαχος εἴη πρὸς Ῥωμαίους, παρεσκευάζετο ὡς τοὺς ἐλέφαντας ἐπαφήσων σφίσιν. Ἐλέφαντας δὲ πρῶτος μὲν τῶν ἐκ τῆς Εὐρώπης Ἀλέ- 4
ξανδρος ἐκτήσατο, Πῶρον καὶ τὴν δύναμιν καθελὼν τὴν τῶν Ἰνδῶν [2]· ἀποθανόντος δὲ Ἀλεξάνδρου, καὶ ἄλλοι τῶν βασιλέων, καὶ πλείους ἔσχεν Ἀντίγονος· Πύρρῳ δὲ ἐκ τῆς μάχης ἐγεγόνει τῆς πρὸς Δημήτριον τὰ θηρία αἰχμάλωτα. τότε δὲ ἐπιφανέντων αὐτῶν, δεῖμα ἔλαβε Ῥωμαίους, ἄλλως τε καὶ [3]) οὐ ζῶα εἶναι νομίσαντας. Ἐλέφαντα γὰρ, ὅσος μὲν ἐς ἔργα [4]) καὶ ἀνδρῶν χεῖρας, εἰσὶν ἐκ παλαιοῦ δῆλοι πάντες εἰδότες· αὐτὰ δὲ τὰ θηρία, πρὶν ἢ διαβῆναι Μακεδόνας ἐπὶ τὴν Ἀσίαν, οὐδὲ ἑωράκεσαν ἀρχὴν πλὴν Ἰνδῶν τε αὐτῶν, καὶ Λιβύων, καὶ ὅσοι πλησιόχωροι τούτοις. Δηλοῖ δὲ καὶ Ὅμηρος, ὃς βασιλεῦσι κλίνας μὲν καὶ οἰκίας τοῖς εὐδαιμονεστέροις αὐτῶν ἐλέφαντι ἐποίησε κεκοσμημένας [5]), θηρίου δὲ ἐλέφαντος μνήμην οὐδεμίαν ἐποιήσατο· Θεασάμενος δὲ καὶ πεπυσμένος, ἐμνημόνευσεν ἂν πολύ γε πρότερον (ἐμοὶ δοκεῖν) ἢ Πυγμαίων τε ἀνδρῶν καὶ γερανῶν μάχης [6]). Πύρρον δὲ ἐς Σικε- 5
λίαν ἀπήγαγε πρεσβεία Συρακουσίων. Καρχηδόνιοι γὰρ

2) τῶν Ἰνδῶν] τῶν abest in utroque Codice.

3) ἄλλως τε καὶ] Cod. Vind. et Mosc. habent ἄλλο τι καί.

4) ὅσος μὲν ἐς ἔργα etc.] Cod. Vind. ὅσα μ. Forte ex Pausaniae scribendi ratione legendum sit: ὅσον μὲν ἐς ἔ.

5) Ὅμηρος — κεκοσμημένας] Vid. Odyss. T. v. 55. 56. et 563 — 565.

6) Πυγμαίων — μάχης] Vid. Il. Γ. v. 3. sq.

γὰρ διαβάντες τὰς Ἑλληνίδας τῶν πόλεων ἐποίουν ἀναστάτους, ἡ δὲ ἦν λοιπὴ, Συρακούσαις πολιορκοῦντες προσεκάθηντο. ἀ τῶν πρέσβεων Πύρρος ἀκούων, Τάραντα μὲν εἶα καὶ τοὺς τὴν ἀκτὴν ἔχοντας Ἰταλιωτῶν, ἐς δὲ τὴν Σικελίαν διαβὰς Καρχηδονίους ἠνάγκασεν ἀπαναστῆναι Συρακουσῶν· Φρονήσας δὲ ἐφ' αὑτῷ [7]), Καρχηδονίων, οἳ θαλάσσης τῶν τότε βαρβάτων μάλιστα εἶχον ἐμπείρως, Τύριοι Φοίνικες τὸ ἀρχαῖον ὄντες, τούτων ἐναντία ἐπήρθη ναυμαχῆσαι τοῖς Ἠπειρώταις χρώμενος, οἳ μηδὲ, ἁλούσης Ἰλιοὺ, θάλασσαν οἱ πολλοὶ, μηδὲ ἁλσὶν ἠπίσαντό πω [8]) χρῆσθαι. Μαρτυρεῖ δέ μοι καὶ Ὁμήρου ἔπος ἐν Ὀδυσσείᾳ [9]).

Οἳ οὐκ ἴσασι θάλασσαν
Ἀνέρες, οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσι.

CAPUT XIII.

De Pyrrhi expeditione contra Antigonum, et duce Cleonymo contra Spartanos — de Pyrrhi morte.

Τότε δὲ ὁ Πύρρος, ὡς ἡττήθη, ταῖς ναυσὶν [1]) ἐς Τάραντα ἀνήγετο ταῖς λοιπαῖς. ἐνταῦθα προσέπταισε μεγάλως, καὶ τὴν ἀναχώρησιν (οὐ γὰρ ἀμαχεὶ Ῥωμαίους ἠπίσατο ἀφήσοντας) πορίζεται τρόπον τοῦτον. ὡς ἐπανήκων ἐκ Σικελίας ἡττήθη, πρῶτον διέπεμπε [2]) γράμματα ἔς τε τὴν Ἀσίαν καὶ πρὸς Ἀντίγονον, τοὺς μὲν στρατιὰν τῶν βασιλέων, τοὺς δὲ χρήματα, Ἀντίγονον

7) φρονήσας δὲ ἐφ' αὑτῷ] sc. μέγα, altum (apud se) spirans. Sic Paul. L. I. C. 20. ἐφ' ᾧ λέγεται φρονῆσαι μέγα. Ael. V. H. II. 19. μέγα ἐφ' ἑαυτῷ φρονῶν.

8) πω] Cod. Vind. πως.

9) Ὀδυσσείᾳ] λ. v. 122.

1) ταῖς ναυσὶν] ταῖς in Cod. Vind. abest.

2) διέπεμπε] Cod. Vindob. διέπεμψε.

γονον δὲ καὶ ἀμφότερα αἰτῶν. Ἀφικομένων δὲ τῶν ἀγγέλων, ὡς οὖν γράμματα ἀπεδόθη, συναγαγὼν τοὺς ἐν τέλει τῶν τε ἐξ Ἠπείρου καὶ τῶν Ταραντίνων, ὧν μὲν εἶχε τὰ βιβλία ἀνεγίνωσκεν οὐδὲν, ὁ δὲ ἥξειν συμμαχίαν ἔλεγε. ταχὺ δὲ καὶ ἐς τοὺς Ῥωμαίους ἦλθε φήμη, Μακεδόνας καὶ ἄλλα ἔθνη περαιοῦσθαι τῶν Ἀσιανῶν ἐς τὴν Πύρρου βοήθειαν. Ῥωμαῖοι μὲν δὴ ταῦτα ἀκούοντες ἡσύχαζον· Πύρρος δὲ τὴν ἐπιοῦσαν περαιοῦται νύκτα πρὸς τὰ ἄκρα τῶν ὀρῶν, ἃ Κεραύνια ὀνομάζουσι. μετὰ δὲ τὴν ἐν Ἰταλίᾳ πληγὴν 2
ἀναπαύσας τὴν δύναμιν, προεῖπεν Ἀντιγόνῳ πόλεμον, ἄλλα τε ποιούμενος ἐγκλήματα καὶ μάλιστα τῆς ἐς Ἰταλίαν βοηθείας διαμαρτίαν. κρατήσας δὲ τήν τε ἰδίαν παρασκευὴν Ἀντιγόνου καὶ τὸ παρ' αὐτῷ Γαλατῶν ξενικὸν, ἐδίωξεν ἐς τὰς ἐπὶ θαλάσσῃ πόλεις· αὐτὸς δὲ Μακεδονίας τε τῆς ἄνω καὶ Θεσσαλῶν ἐπεκράτησε. δηλοῖ δὲ μάλιστα τὸ μέγεθος τῆς μάχης καὶ τὴν Πύρρου νίκην, ὡς παραπολὺ γένοιτο, τὰ ἀνατεθέντα ὅπλα τῶν Κελτικῶν ἔς τε τὸ [3]) τῆς Ἀθηνᾶς ἱερὸν τῆς Ἰτωνίας [4]) Φερῶν μεταξὺ καὶ Λαρίσσης, καὶ τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτοῖς·

Τοὺς θυρεοὺς ὁ Μολοσσὸς Ἰτωνίδι δῶρον Ἀθάνᾳ
Πύρρος ἀπὸ θρασέων ἐκρέμασε Γαλατᾶν,
Πάντα τὸν Ἀντιγόνου καθελὼν στρατόν· οὐ μέγα θαῦμα·
Αἰχμηταὶ καὶ νῦν, καὶ πάρος Αἰακίδαι.

Τούτους

3) ἔς τε τὸ] τε delendum esse videtur.

4) τῆς Ἀθηνᾶς — τῆς Ἰτωνίας] Plutarch. in Pyrrho C. 26. idem narrat, eademque habet scutis inscripta. Ibi vero Ἰτωνίδος legitur, et in inscriptione ἐκρέμασεν. Minervae Itoniae templi in Boeotia mentio fit L. III. C. 9. in fine et L. IX. C. 24. init., ubi cognominis origo redditur.

Τούτους μὲν δὴ ἐνταῦθα [5]), τῷ δὲ ἐν Δωδώνῃ Διὶ Μακεδόνων ἀνέθηκεν αὐτῶν τὰς ἀσπίδας. ἐπιγέγραπται δὲ καὶ ταύταις·

Αἵδε ποτ' Ἀσίδα γαῖαν ἐπόρθησαν πολύχρυσον,
Αἵδε καὶ Ἑλλάδι τὰν δουλοσύναν ἔπορον.
Νῦν δὲ Διὸς ναῷ ποτὶ κίονας ὀρφανὰ κεῖται,
Τᾶς μεγαλαυχήτου σκῦλα Μακεδονίας [6]).

3 Πύρρῳ δὲ Μακεδόνας ἐς ἅπαν μὴ καταστρέψασθαι παρ' ὀλίγον ὅμως ἥκοντι, ἐγένετο Κλεώνυμος αἴτιος, ἑτοιμοτέρῳ καὶ ἄλλως ὄντι ἑλέσθαι τὸ ἐν χερσίν [7]). Κλεώνυμος δὲ οὗτος, ὁ τὸν Πύρρον ἀπολιπόντα τὰ Μακεδόνων πείσας ἐς Πελοπόννησον ἐλθεῖν, Λακεδαιμόνιος ὤν, Λακεδαιμονίοις στρατὸν ἐς τὴν χώραν πολεμιον ἐπήγαγε [8]), οἱ αἰτίαν, ἣν ἐγὼ τοῦ γένους ὕστερον τοῦ Κλεωνύμου δηλώσω [9]). Παυσανίου τοῦ περὶ Πλάταιαν τοῖς Ἕλλησιν ἡγησαμένου, Πλειστοάναξ υἱὸς ἐγένετο· τοῦ δὲ Παυσανίας· τοῦ δὲ Κλεόμβροτος, ὃς ἐναντία Ἐπαμινώνδᾳ καὶ Θηβαίοις μαχόμενος ἀπέθανεν ἐν Λεύκτροις· Κλεομβρότου δὲ Ἀγησίπολις ἦν καὶ Κλεομένης· Ἀγησιπόλιδος δὲ ἄπαιδος τελευτήσαντος, Κλεομένης τὴν βασιλείαν ἔσχεν. Κλεομένει δὲ παῖδες γίνονται, πρεσβύτατος μὲν Ἀκρότατος, νεώτατος [10]) δὲ Κλεώνυμος. Ἀκρότατον μὲν οὖν πρότερον κατέλαβεν ἡ τελευτή· Κλεομένους

5) τούτους μὲν δὴ ἐνταῦθα] sc. δυρεοὺς ἀνέθηκε.

6) μεγαλαυχήτου — M.] Cod. Vind. μεγαλαυχήτας. Pro Μακεδονίας alii Μακηδονίας scribunt metri causa, uti L. VII. C. 8. in fine est Μακηδόνες.

7) τὸ ἐν χερσὶν] Cod. Mosc. τὰ ἐν χ.

8) ἐπήγαγε] Cod. uterque ἐπῆγεν.

9) ὕστερον — δηλώσω] Vid. L. III. C. 6. init., ubi Cleonymi odii in patriam eandem rationem reddit.

10) νεώτατος] Cod. Mosc. νεώτερος.

μένους δὲ ἀποθανόντος ὕστερον, ἐς ἀμφισβήτησιν κατέσησαν περὶ τῆς ἀρχῆς Ἀρεὺς ὁ Ἀκροτάτου καὶ Κλεώνυμος· ὅτῳ [11]) δὴ τρόπῳ μετελθὼν ἐπάγει Πύῤῥον εἰς τὴν χώραν. Λακεδαιμονίοις δὲ πρὸ μὲν 4
τῆς ἐν Λεύκτροις οὐδὲν ἐγεγόνει πταῖσμα, ὥστε οὐδὲ συνεχώρησαν ἀγῶνί πω κεκρατῆσθαι πεζῷ. Λεωνίδᾳ μὲν γὰρ νικῶντι οὐκ ἔφασαν τοὺς ἑπομένους ἐς τελέαν ἐξαρκέσαι φθορὰν τῶν Μήδων· τὸ δὲ Ἀθηναίων καὶ Δημοσθένους ἔργον πρὸς τῇ νήσῳ Σφακτηρίᾳ κλοπὴν εἶναι πολέμου καὶ οὐ νίκην. πρώτης δὲ γενομένης σφίσι συμφορᾶς ἐν Βοιωτοῖς, ὕστερον Ἀντιπάτρῳ καὶ Μακεδόσι μεγάλως προσέπταισαν· τρίτος δὲ [12]) ὁ Δημητρίου πόλεμος κακὸν ἀνέλπιστον ἦλθεν ἐς τὴν γῆν. Πύῤῥου δὲ ἐσβαλόντος, τέταρτον δὴ τότε στρατὸν 5
ὁρῶντες πολέμιον αὐτοί τε παρετάσσοντο, καὶ Ἀργείων ἥκοντες καὶ Μεσσηνίων σύμμαχοι. Πύῤῥος δὲ ὡς ἐπεκράτησεν, ὀλίγου μὲν ἦλθεν ἑλεῖν αὐτοβοεὶ τὴν πόλιν, δηώσας δὲ τὴν γῆν καὶ λείαν ἐλάσας μικρὸν ἠσύχαζεν. οἱ δὲ ἐς πολιορκίαν εὐτρεπίζοντο, πρότερον ἔτι τῆς Σπάρτης ἐπὶ τοῦ πολέμου τοῦ πρὸς Δημήτριον τάφροις τε βαθείαις καὶ σταυροῖς τετειχισμένης ἰσχυροῖς, τὰ δὲ ἐπιμαχώτατα καὶ οἰκοδομήμασιν. ὑπὸ δὲ τοῦτον τὸν χρόνον καὶ τὴν τοῦ πολέμου τοῦ 6
Λακωνικοῦ τριβὴν [13]) Ἀντίγονος τὰς πόλεις τῶν Μακεδόνων ἀνασωσάμενος ἠπείγετο ἐς Πελοπόννησον, οἷα ἐπισάμενος Πύῤῥον, ἢν Λακεδαίμονα καταστρέψηται καὶ Πελοποννήσου τὰ πολλὰ [14]), οὐκ ἐς Ἤπειρον, ἀλλ'

11) ὅτῳ] Loesch. ante ὅτῳ fine necessitate οὗτος inserendum censet.

12) τρίτος δὲ] Cod. Vind. τρίτον δέ.

13) τοῦ πολέμου — τριβὴν] Loesch. bene vertit: *dum bellum Laconicum trahitur.*

14) Πελοποννήσου τὰ πολλὰ] τὰ inserui ex Cod. Vind.

ἀλλ' ἐπί τε Μακεδονίαν αὖθις καὶ τὸν ἐκεῖ πόλεμον ἥξοντα. Μέλλοντος δὲ Ἀντιγόνου τὸν στρατὸν ἐξ Ἄργους ἐς τὴν Λακωνικὴν ἄγειν, αὐτὸς ἐς τὸ Ἄργος ἐληλύθει Πύρρος· κρατῶν δὲ καὶ τότε, συνεσπίπτει τοῖς φεύγουσιν ἐς τὴν πόλιν, καί οἱ διαλύεται κατὰ τὸ
7 εἰκὸς ἡ τάξις. μαχομένων δὲ πρὸς ἱεροῖς ἤδη καὶ οἰκίαις καὶ κατὰ τοὺς στενωποὺς καὶ κατ' ἄλλο ἄλλων τῆς πόλεως, ἐνταῦθα ὁ Πύρρος ἐμονώθη, καὶ τιτρώσκεται τὴν κεφαλήν· κεράμῳ δὲ βληθέντα ὑπὸ γυναικὸς τεθνάναι φασὶ Πύρρον [15]). Ἀργεῖοι δὲ οὐ γυναῖκα τὴν ἀποκτείνασαν, Δήμητρα δέ φασιν εἶναι γυναικὶ εἰκασμένην. ταῦτα ἐς τὴν Πύρρου τελευτὴν αὐτοὶ λέγουσιν Ἀργεῖοι, καὶ ὁ τῶν ἐπιχωρίων ἐξηγητὴς [16]) Λεύκεας ἐν ἔπεσιν εἴρηκεν. καὶ σφίσιν ἐστὶ, τοῦ θεοῦ χρήσαντος, ἐνθα ὁ Πύρρος ἐτελεύτησεν, ἱερὸν Δήμητρος. ἐν δὲ αὐτῷ καὶ ὁ Πύρρος τέθαπται [17]).

15) ἐνταῦθα — Πύρρον] Utrumque etiam refert Plutarch. in Pyrrh. C. 34.

16) ὁ τῶν ἐπιχωρίων ἐξηγητὴς] De his ἐξηγηταῖς, *qui res sacras aliaque visenda et memorabilia hospitibus monstrabant et explicabant*, vid. Ruhnken. ad Tim. p. 109—113., qui copiose et docte de iis agit.

17) ἐν δὲ αὐτῷ — τέθαπται] Cineres et ossa Pyrrhi in hoc templo condita fuisse, refert etiam L. II. C 21., ubi et aliud Pyrrhi monumentum memoratur.

CAPUT

CAPUT XIV.

De simili vitae Aeacidarum exitu — de memorandis artis operibus in Odeo — Triptolemo — Epimenide et Thalete — Aeschyli Epitaphio — Minerva — cultu Veneris Coelestis.

1) Θαῦμα δὲ ποιοῦμαι τῶν καλουμένων Αἰακιδῶν αὐτοῖς κατὰ τὰ αὐτὰ ἐκ τοῦ θεοῦ συμβῆναι τὴν τελευτήν· εἴγε Ἀχιλλέα μὲν Ὅμηρος ὑπὸ Ἀλεξάνδρου φησὶ τοῦ Πριάμου καὶ Ἀπόλλωνος ἀπολέσθαι [2]). Πύρρον δὲ τὸν Ἀχιλλέως ἡ Πυθία προσέταξεν ἀποκτεῖναι Δελφοῖς [3]). τῷ δὲ Αἰακίδου συνέβη τὰ ἐς τὴν τελευτήν, οἷα Ἀργεῖοί τε λέγουσι καὶ Λευκέας ἐποίησε. Διάφορα δὲ ὅμως ἐστὶ καὶ ταῦτα, ὡς Ἱερώνυμος ὁ Καρδιανὸς ἔγραψεν. ἀνδρὶ γὰρ βασιλεῖ συνόντα [4]) ἀνάγκη πᾶσα ἐς χάριν συγγράφειν. εἰ δὲ καὶ Φίλιστος [5]) αἰτίαν δικαίαν εἴληφεν, ἐπελπίζων

1) Θαῦμα δὲ etc.] Hic perperam novum caput inscribitur, quod potius paulo post verbis: Ἐς δὲ τὸ Ἀθήνησιν etc. inchoandum esse, nulli non legentium liquere arbitror.

2) Ὅμηρος — — ἀπολέσθαι] Vid. Il. X. v. 359. Conf. Odyss. Ω. v. 15. sq.

3) Πύρρον — ἀποκτεῖναι Δελφοῖς] Vid. L. IV. C. 17. et L. X. C. 24.

4) ἀνδρὶ — συνόντα] Legendum videri possit ἄνδρα, vel συνόντι.

5) Φίλιστος] Archomenidis filius secundum Pausaniam L. V. C. 23 in fine; secundum Suidam Ἀρχωνίδου filius. Ejus scripta enumerat Suidas h. v. et de ejus Historiarum contentis et temporibus plura habet Diodor. L. XIII. p. 222. C. Dionys. Halic. epist. ad Pomp. p. 131. T. II. ed. Sylb. duas ejus Histor. partes fuisse dicit, unam de Sicilia, alteram de Dionysio. Conf. Diodor. L. XVI. p. 415. B. et 419. C. D. Excitatur etiam a Polluce, ubi vid. Int. ad X. 42., a Cicerone de Orat. L. II., in Bruto, de Divinat. I., et a Cornel. Nep. X. 3.

ζων τὴν ἐν Συρακούσαις κάθοδον, ἀποκρύψασθαι τῶν Διονυσίου τὰ ἀνοσιώτατα, ἢ που πολλή γε Ἱερωνύμῳ συγγνώμη τὰ ἐς ἡδονὴν Ἀντιγόνου γράφειν. ἡ μὲν Ἠπειρωτῶν ἀκμὴ [6]) κατέσρεψεν ἐς τοῦτο.

Ἐς δὲ τὸ Ἀθήνησιν εἰσελθοῦσιν ᾠδεῖον, ἄλλα τε καὶ Διόνυσος κεῖται θέας ἄξιος· πλησίον δέ ἐστι κρήνη, καλοῦσι δὲ αὐτὴν Ἐννεάκρουνον, οὕτω κοσμηθεῖσαν ὑπὸ Πεισιστράτου. Ῥέεται μὲν καὶ [7]) διὰ πάσης τῆς πόλεώς ἐστι, πηγὴ δὲ αὕτη μόνη. ναοὶ δὲ ὑπὲρ τὴν κρήνην, ὁ μὲν Δήμητρος πεποίηται καὶ Κόρης,
2 ἐν δὲ τῷ Τριπτολέμου κείμενόν ἐστιν ἄγαλμα. τὰ δὲ ἐς αὐτὸν ὁποῖα λέγεται γράψω, παρεὶς ὅσον ἐς Δηϊόπην [8]) ἔχει τοῦ λόγου. Ἑλλήνων οἱ μάλιστα [9]) ἀμφισβητοῦντες Ἀθηναίοις ἐς ἀρχαιότητα καὶ δῶρα, ἃ παρὰ θεῶν φασὶν ἔχειν [10]), εἰσὶν Ἀργεῖοι, καθάπερ βαρβάρων Φρυξὶν Αἰγύπτιοι. λέγεται οὖν [11]), ὡς Δήμητρα ἐς Ἄργος ἐλθοῦσαν Πελασγὸς δέξαιτο οἴκῳ, καὶ ὡς Χρυσανθὶς τὴν ἁρπαγὴν ἐπισαμένη τῆς κόρης διηγή-

6) ἀκμὴ] Cod. Mosc. ἀλκή.

7) μὲν καὶ] Uterque Cod. μὲν γὰρ καί.

8) Δηϊόπην] Mythus, quem Pausanias hic tangit, in veterum scriptis non reperitur, et de Deiope praeter nomen nil memorare possemus, nisi Schol. ad Sophocl. Oedip. Colon. v. 1108. Deiopen filiam Triptolemi et Eumolpi matrem fuisse referrent his verbis: Εὔμολπον τὸν Δηϊόπης τῆς Τριπτολέμου. Cod. Vindob. habet Διόπην.

9) Ἑλλήνων οἱ μάλιστα] Cod. uterque Ἑλλήνων, οἶμαι, μάλιστα.

10) καὶ δῶρα, ἃ παρὰ etc.] Sic pro vulgata δῶρα παρὰ etc. corrigere haud dubitavi. Literas enim bis ponendas saepius a librariis semel tantum esse scriptas, satis est notum. Vid. Valkenar. Diatrib. in Eurip. fr. p. 277. et Schrader. ad Mus. p. 99.

11) λέγεται οὖν etc.] De Triptolemi natalium diversitate vid. Heyne V. C. ad Apoll. p. 65.

διηγήσαιτο· ὕστερον δὲ Τρόχιλον ἱεροφάντην, Φυγόντα ἐξ Ἄργους κατὰ ἔχθος Ἀγήνορος, ἐλθεῖν φασι ἐς τὴν Ἀττικήν, καὶ γυναῖκά τε ἐξ Ἐλευσῖνος γῆμαι, καὶ γενέσθαι οἱ παῖδας Εὐβουλέα καὶ Τριπτόλεμον. ὅδε μὲν Ἀργείων ἐστὶ λόγος. Ἀθηναῖοι δὲ, καὶ ὅσοι παρὰ τούτοις, ἴσασι Τριπτόλεμον τὸν Κελεοῦ πρῶτον σπεῖραι καρπὸν ἥμερον. ἔπη δὲ ἄδεται Μουσαίου [12]) μὲν, (εἰ δὴ Μουσαίου καὶ ταῦτα) Τριπτόλεμον παῖδα Ὠκεανοῦ καὶ Γῆς εἶναι· Ὀρφέως [13]) δὲ (οὐδὲ ταῦτα Ὀρφεως, ἐμοὶ δοκεῖν, ὄντα) Εὐβουλεῖ καὶ Τριπτολέμῳ Δυσαύλην πατέρα εἶναι, μηνύσασι δὲ σφισι περὶ τῆς παιδὸς δοθῆναι παρὰ Δήμητρος, σπεῖραι τοὺς καρπούς· Χοιρίλῳ δὲ Ἀθηναίῳ δρᾶμα ποιήσαντι Ἀλόπην [14]) ἓς εἰρημένα, Κερκύονα εἶναι καὶ Τριπτόλεμον ἀδελφοὺς, τεκεῖν δὲ σφᾶς θυγατέρας [15]) Ἀμφικτύονος, εἶναι δὲ πατέρα Τριπτολέμῳ μὲν Ῥάρον, Κερκύονι δὲ Ποσειδῶνα. πρόσω δὲ ἰέναι με ὡρμημένον τουδε τοῦ λόγου, καὶ ὁπόσα ἐξήγησιν ἔχει [16]) τὰ Ἀθήνησιν ἱερὰ, καλούμενον δὲ Ἐλευσίνιον,

D 2

12) ἔπη — Μουσαίου] Musaeus Antiophemi filius, Paus. L. X. C 5. et 12. in fine; Orphei imitator, L. X. C. 7.; ejus hymnus in Cererem, L. I. C. 22. in fine, et L. IV. C. 1.; ejus χρησμοὶ, L. X C. 9. in fine; ejus carmina Εὐμόλπια, L. X. C. 5.; ejus sepulcrum, L. I. C. 25. in fine.

13) Ὀρφέως] Multa de hoc vate habet Pausan. L. IX. C. 30.; cetera videnda in Indice.

14) Χοιρίλῳ — Ἀλόπην] Inter tres vel quatuor poëtas *Choerilos* etiam hic tragicus fuit. Vid. Menag ad Diog Laërt. I. s. 24 et Voss. de poët. gr De Alope et Cercyone vid. Paus. L. I. C. 39.

15) θυγατέρας] Legendum esse θυγατέρα, jam Sylb. recte adnotavit.

16) ὁπόσα ἐξήγησιν ἔχει] Recte *Kuhn.* conjicit: ὁπόσα ἐς ἐξήγησιν ἔχει. Sic enim loqui amat Pausanias, et voculam ἐς, perperam elisam, his accusativis absolutis reddendam esse, saepius in Pausania adnotabimus.

σίνιον, ἐπέσχεν ὄψις ὀνείρατος· ἃ δὲ ἐς πάντας ὅσιον
3 γράφειν, ἐς ταῦτα ἀποτρέψομαι. πρὸ τοῦ ναοῦ
τοῦδε, ἔνθα καὶ τοῦ Τριπτολέμου τὸ ἄγαλμα, ἔστι
βοῦς χαλκοῦς, οἷα ἐς θυσίαν ἀγόμενος· πεποίηται δὲ
καθήμενος [17]) Ἐπιμενίδης Κνώσιος [18]), ὃν ἐλθόντα ἐς
ἀγρὸν κοιμᾶσθαι λέγουσιν ἐσελθόντα ἐς σπήλαιον·
ὁ δὲ ὕπνος οὐ πρότερον ἀνῆκεν αὐτὸν, πρὶν ἢ οἱ τεσσα-
ρακοστὸν ἔτος γενέσθαι καθεύδοντι· καὶ ὕστερον ἔπη τε
ἐποίει, καὶ πόλεις ἐκάθηρεν ἄλλας τε καὶ τὴν Ἀθη-
ναίων [19]). Θαλῆς [20]) δὲ ὁ Λακεδαιμονίοις τὴν νόσον
παύσας, οὔτε ἄλλως προσήκων, οὔτε πόλεως ἦν Ἐπι-
μενίδῃ τῆς αὐτῆς· ἀλλ' ὁ μὲν Κνώσιος, Θάλητα δὲ
εἶναί φησι Γορτύνιον Πολύμναστος Κολοφώνιος [21]) ἔπη
4 Λακεδαιμονίοις ἐς αὐτὸν ποιήσας. ἔτι δὲ ἀπωτέρω
ναὸς Εὐκλείας [22]), ἀνάθημα καὶ τοῦτο ἀπὸ Μήδων,
οἱ τῆς χώρας Μαραθῶνα ἔσχον [23]). Φρονῆσαι δὲ
Ἀθηναίους ἐπὶ τῇ νίκῃ ταύτῃ μάλισα [24]) εἰκάζω· καὶ

17) κεκοίμηται δὲ καθήμενος] Cod. Vind. post δὲ inserit καί.

18) Κνώσιος] Uterque Cod. Κνώσσιος, et ita paulo post.

19) πόλεις ἐκάθηρεν etc.] Inde Καθαρτὴς dictus. Vid. Diog. Laërt. in Epimen. L. I. ſ. 109. 110. et ibi Menag.

20) Θαλῆς.] De hoc Thalete. Gort vid. Diog. Laërt. L. I. ſ. 38. et ibi Menag. Conf. Ael. V. H. L. XII. C. 50.

21) Πολύμνατος Κολοφώνιος] Hujus Strabo L. XIV. p. 952. ex Pindaro mentionem facere videtur.

22) Εὐκλείας] Templum Ἀρτέμιδος Εὐκλείας memoratur L. IX. C. 17. init. Nihilominus templum *Honori* vel *Gloriae* dedicatum hic intelligere, haud abſurdum videri poſſit, cum ab Athenienſibus Ἐλέου, Φήμης, Λιμοῦ etc. aras exſtructas fuiſſe ex L. I. C. 17. conſtet.

23) Μαραθῶνα ἔσχον] pro κατὰ Μαραθ. ἔσχ., *qui navibus ad Marathonem appulerunt*, uti *Kuhn.* recte interpretatur. Sic C. 32. ταύτῃ (ſc. ἐν Μαραθῶνι) ἔσχον οἱ βάρβαροι. Uterque vero Codex dat Μαραθῶνι pro ἐν Μαρ.

24) μάλιστα] pro μέγιστα et antecedenti verbo φρονῆσαι jungendum.

καὶ δὴ καὶ Αἰσχύλος [25]), ὡς οἱ τοῦ βίου προσεδοκᾶτο ἡ τελευτὴ, τῶν μὲν ἄλλων ἐμνημόνευσεν οὐδενὸς δόξης ἐς τοσοῦτον ἥκων ἐπὶ ποίησιν [26]), καὶ πρὸ Ἀρτεμισίου [27]) καὶ ἐν Σαλαμῖνι ναυμαχήσας· ὁ δὲ τό τε ὄνομα προτεθὲν [28]) καὶ τὴν πόλιν ἔγραψεν, καὶ ὡς τῆς ἀνδρείας μάρτυρας ἔχοι τὸ Μαραθώνιον ἄλσος καὶ Μήδων τοὺς ἐς αὐτὸ ἀποβάντας.

Ὑπὲρ δὲ τὸν Κεραμεικὸν καὶ σοὰν τὴν καλουμένην Βασίλειον ναός ἐστιν Ἡφαίστου· καὶ ὅτι μέν οἱ ἄγαλμα παρέστηκεν Ἀθηνᾶς, οὐδὲν θαῦμα ἐποιούμην τὸν ἐπὶ Ἐριχθονίῳ ἐπισάμενος λόγον [29])· τὸ δὲ ἄγαλμα ὁρῶν τῆς Ἀθηνᾶς γλαυκοὺς ἔχον τοὺς ὀφθαλμοὺς, Λιβύων τὸν μῦθον ὄντα εὕρισκον· τούτοις γάρ ἐστιν εἰρημένον, Ποσειδῶνος καὶ λίμνης Τριτωνίδος θυγατέρα [30]) εἶναι, καὶ διὰ τοῦτα γλαυκοὺς εἶναι 5

25) Αἰσχύλος] Quae hic sequuntur, de epitaphio interpretanda, quod in vita Aeschyli exstat et Gelois tribuitur, ab Athenaeo vero L. XIV. p 627., qui illius posteriorem tantum partem exhibet, ipsi Aeschylo. Istud sic se habet:

Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει
μνῆμα καταφθίμενον πυροφόροιο Γέλας.
Ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι
καὶ βαθυχαιτήεις Μῆδος ἐπισάμενος.

26) ἐπὶ ποίησιν] *Xylander* et *Kuhn.* bene emendant ἐπὶ ποιήσει, uti L. II. C. 20. κοὐ μᾶλλον ἐτιμᾶτο ἔτι ἐπὶ τῇ ποιήσει.

27) πρὸ Ἀρτεμισίου] *Loesch.* mavult πρὸς Ἀρτεμισίῳ, et sic uterque Codex habet.

28) τό τε ὄνομα προτεθὲν] *Sylb.* absolute posita censet pro τοῦ ὀνόματος προτεθέντος. *Loescher.* conjicit προὔθηκεν. Nihil vero mutandum, sed τό τε ὄν. π. potius cum ἔγραψεν jungenda: *nomen ceteris praepositum et patriam inscripsit.*

29) ἐπὶ Ἐριχθονίῳ — λόγον] Vid. L. I. C. 18. init. et Apollodor. L. III. C. 14. 6. ibique not.

30) Ποσειδῶνος — Τριτωνίδος θυγατέρα] Conf. Herodot. Melp. f. 180.

6 ὥσπερ καὶ τῷ Ποσειδῶνι ὀφθαλμούς [31]). πλησίον δὲ ἱερόν ἐστιν Ἀφροδίτης Οὐρανίας. πρώτοις δὲ ἀνθρώπων Ἀσσυρίοις [32]) κατεσχ σέβεσθαι τὴν Οὐρανίαν· μετὰ δὲ Ἀσσυρίους Κυπρίων Παφίοις, καὶ Φοινίκων τοῖς Ἀσκάλωνα ἔχουσιν ἐν τῇ Παλαιστίνῃ· παρὰ δὲ Φοινίκων Κυθήριοι μαθόντες σέβουσιν· Ἀθηναίοις δὲ κατεσήσατο Αἰγεύς, αὐτῷ τε οὐκ εἶναι παῖδας νομίζων (οὐ γάρ πω τότε ἦσαν) καὶ ταῖς ἀδελφαῖς [33]) γενέσθαι τὴν συμφορὰν ἐκ μηνίματος τῆς Οὐρανίας. τὸ δὲ ἐφ' ἡμῶν ἔτι ἄγαλμα λίθου Παρίου καὶ ἔργον Φειδίου. Δῆμος δέ ἐστιν Ἀθηναίοις Ἀθμονέων, οἱ Πορφυρίωνα ἔτι πρότερον Ἀκταίου βασιλεύσαντα τῆς Οὐρανίας φασὶ τὸ παρά σφισιν ἱερὸν ἱδρύσασθαι. λέγουσι δὲ ἀνὰ τοὺς δήμους καὶ ἄλλα οὐδὲν ὁμοίως καὶ οἱ τὴν πόλιν ἔχοντες [34]).

31) γλαυκοὺς — ὀφθαλμούς] Inde γλαυκῶπις dicta, cujus vocis aliud etymon haud absurdum exhibent Schol. ad Apollon Rhod. L. I. v. 1281. Cod. Vind. legit τοὺς ὀφθαλμ.

32) Ἀσσυρίοις] Apud hos *Astarte* dicta, de qua vid. Selden de Diis Syr. C. 11.

33) ταῖς ἀδελφαῖς] Procnen et Philomelam innuere videtur, Pandionis prioris filias; Aegeo vero, posterioris Pandionis filio, nullae sorores fuere. Quare Pandion I. et II. hic videntur esse permutati.

34) οὐδὲν ὁμοίως καὶ οἱ τ. π. ἔχοντες] *prorsus diverse ab iis, qui urbem incolunt.* Sic loqui amat Pausan. pro οὐδὲν ὁμοίως τοῖς τ. π. ἔχουσι. Similiter L. I. C. 22. in fine, οὐδὲν ὁμοίως καὶ ὅσοι λέγουσιν etc.

CAPUT

CAPUT XV.

De porticu Poecile dicta et de picturis in ea.

Ἰοῦσι δὲ πρὸς τὴν στοὰν, ἣν ποικίλην ὀνομάζουσιν ἀπὸ τῶν γραφῶν, ἔστιν Ἑρμῆς χαλκοῦς καλούμενος Ἀγοραῖος, καὶ πύλη πλησίον· ἔπεστι δέ οἱ τρόπαιον Ἀθηναίων ἱππομαχίᾳ κρατησάντων Πλείσαρχον, ὃς τῆς ἵππου Κασσάνδρου καὶ τοῦ ξενικοῦ τὴν ἀρχὴν ἀδελφὸς ὢν ἐπετέτραπτο. αὕτη δὲ ἡ στοὰ πρῶτα 2
μὲν Ἀθηναίους ἔχει τεταγμένους ἐν Οἰνόῃ τῆς Ἀργείας ἐναντία Λακεδαιμονίων· γέγραπται δὲ οὐκ ἐς ἀκμὴν εἰγῶνος οὐδὲ τολμημάτων ἐς ἐπίδειξιν τὸ ἔργον ἤδη προῆκον, ἀλλὰ ἀρχομένη τε ἡ μάχη, καὶ ἐς χεῖρας ἔτι συνιόντες. ἐν δὲ τῷ μέσῳ τῶν τοίχων Ἀθηναῖοι καὶ Θησεὺς Ἀμαζόσι μάχονται. μόναις δὲ ἄρα ταῖς γυναιξὶν οὐκ ἀφῄρει τὰ πταίσματα τὸ εἰς τοὺς κινδύνους ἀφιδὲς, εἴγε Θεμιστύρας τε ἁλούσης ὑπὸ Ἡρακλέους, καὶ ὕστερον φθαρείσης σφίσι τῆς στρατιᾶς, ἣν ἐπ' Ἀθήνας ἔστειλαν, ὅμως ἐς Τροίαν ἦλθον Ἀθηναίοις τε αὐτοῖς μαχούμεναι, καὶ τοῖς πᾶσιν Ἕλλησιν. ἐπὶ 3
δὲ ταῖς Ἀμαζόσιν Ἕλληνές εἰσιν ἡρηκότες Ἴλιον, καὶ οἱ βασιλεῖς ἠθροισμένοι διὰ τὸ Αἴαντος ἐς Κασσάνδραν τόλμημα [1]· καὶ αὐτὸν ἡ γραφὴ τὸν Αἴαντα ἔχει, καὶ γυναῖκας τῶν αἰχμαλώτων ἄλλας τε καὶ Κασσάνδραν. τελευταῖον δὲ τῆς γραφῆς εἰσὶν οἱ μαχη- 4
σάμενοι Μαραθῶνι [2]· Βοιωτῶν δὲ οἱ Πλάταιαν ἔχοντες καὶ ὅσον ἦν Ἀττικὸν, ἴασιν ἐς χεῖρας τοῖς βαρ-

 βάροις·

1) Αἴαντος ἐς Κ. τόλμημα] Vid. Virgil. Aen. I. v. 39—41. et ibi Heyne V. C. Hujus argumenti pictura expressi etiam mentio fit L. V. C. 19., L. X. C. 26.

2) οἱ μαχησάμενοι Μαραθῶνι] Hanc picturam Panaeni arte factam

βάρεις· καὶ ταύτῃ μέν ἐστιν ἴσα παρ' ἀμφοτέρων ἐς τὸ ἔργον, τὸ δὲ ἔσω τῆς μάχης [3]), φεύγοντές εἰσιν οἱ βάρβαροι καὶ ἐς τὸ ἕλος ὠθοῦντες ἀλλήλους· ἔσχατα δὲ τῆς γραφῆς νῆές τε αἱ Φοίνισσαι, καὶ τῶν βαρβάρων τοὺς ἐσπίπτοντας ἐς ταύτας φονεύοντες οἱ Ἕλληνες. ἐνταῦθα καὶ Μαραθὼν γεγραμμένος ἐστὶν ἥρως, ἀφ' οὗ τὸ πεδίον ὠνόμασαι, καὶ Θησεὺς ἀνιόντι ἐκ γῆς εἰκασμένος [4]), Ἀθηνᾶ τε καὶ Ἡρακλῆς. Μαραθωνίοις γὰρ, ὡς αὐτοὶ λέγουσιν, Ἡρακλῆς ἐνομίσθη ἐν πρώτοις [5]). τῶν μαχομένων δὲ δῆλοι μάλισά εἰσιν ἐν τῇ γραφῇ Καλλίμαχός τε, ὃς Ἀθηναίοις πολεμαρχεῖν ἤρξατο [6]), καὶ Μιλτιάδης τῶν στρατηγούντων, ἥρως τε Ἔχετλος καλούμενος, οὗ καὶ ὕστερον ποιή-

factam fuisse, L. V. C. 11. refert.

3) ἐστιν ἴσα — τὸ δὲ ἔσω τῆς μάχης etc.] Cum *Kuhnio* ἴσα etc. de *aequo Marte ab initio pugnae* intelligenda, sicuti ἐξ ἴσου C. 17. — τὸ δὲ ἔσω τ. μ. pro κατὰ τὸ ἔσω, *quod ad interiorem pugnae faciem attinet*. *Loescher.* pro τῆς μάχης perperam legendum censet τῆς γραφῆς.

4) ἀνιόντι ἐκ γῆς εἰκ.] *Amas.* legisse videtur ἀΐσσοντι, vertens *tanquam a litore solvens*. Illa vero interpretanda, *tanquam e terra* (h. e. ex inferis) *redeuntis*. Thesei descensus ad inferos satis est notus, et Hesiodum carmen de hoc argumento composuisse, Paus. L. IX. C. 31. testatur.

5) Ἡρακλῆς ἐνομίσθη ἐν πρ.] *Loescher.* ante ἐνομίσθη inserit θεὸς, et sic uterque Codex ἐνομίσθη θεὸς ἐν πρώτοις. Conf. L. I. C. 32.

6) πολεμαρχεῖν ἤρξατο] Cum ante Callimachum jam polemarchos fuisse certo constet, *Kuhn.* πολ. ἤρξατο pro πολέμαρχος ἦν positum putat, uti Herodot. habet Erat. s. 109. ἦν δὲ τότε πολέμαρχος Καλλιμ., et Valkenar. ad h. l. ὃς πολεμαρχῶν ἤρξατο emendandum et post ἤρξατο supplendum censet μάχεσθαι vel τῆς μάχης. Sed ista rem expediendi conamina inania reddit uterque Codex V. et M., qui dant ἦρτο, et sic verae lectionis vestigia servasse videntur. Scribendum scilicet πολεμαρχεῖν ἤρτο, sicuti L. I. C. 25. τοῦ παντὸς ἄρχειν ἦρτο, ubi uterque Cod. etiam scribit ἤρτο.

ποιήσομαι μνήμην. ἐνταῦθα ἀσπίδες κεῖνται χαλκαῖ, καὶ ταῖς μέν ἐστιν ἐπίγραμμα, ἀπὸ Σκιωναίων καὶ τῶν ἐπικούρων εἶναι· τὰς δὲ ἐπαληλιμμένας [7]) πίσσῃ, μὴ σφᾶς ὅ τε χρόνος λυμήνηται καὶ ὅσα Λακεδαιμονίων [8]) εἶναι λέγεται τῶν ἁλόντων ἐν τῇ Σφακτηρίᾳ νήσῳ. 5

CAPUT XVI.

De signis ante porticum Poecile dictam — Seleuci signo, rebus gestis ac morte.

Ἀνδριάντες δὲ χαλκοῖ κεῖνται πρὸ μὲν τῆς στοᾶς, Σόλων ὁ τοὺς νόμους Ἀθηναίοις γράψας, ὀλίγον δὲ ἀπωτέρω Σέλευκος, ᾧ καὶ πρότερον ἐγένετο ἐς τὴν εὐδαιμονίαν τὴν μέλλουσαν σημεῖα οὐκ ἀφανῆ. Σελεύκῳ γὰρ, ὃς ὡρμᾶτο [1]) ἐκ Μακεδονίας σὺν Ἀλεξάνδρῳ, θύοντι ἐν Πέλλῃ τῷ Διΐ, τὰ ξύλα ἐπὶ τοῦ βωμοῦ κείμενα προὔβη τε αὐτόματα πρὸς τὸ ἄγαλμα καὶ ἄνευ πυρὸς ἥφθη. τελευτήσαντος δὲ Ἀλεξάνδρου, Σέλευκος Ἀντιγόνου ἐς Βαβυλῶνα ἀφικόμενον δείσας καὶ παρὰ Πτολεμαῖον φυγὼν

7) ἐπαληλιμμένας] Cod. Vind. ἐπαληλειμμένας.

8) καὶ ὅσα Λακεδαιμονίων] Hic ὅ τε χρόνος et καὶ ὅσα ad sese invicem referantur necesse est. Quare in ὅσα mendosi aliquid ineſse, haud temere suspiceris. *Kuhn.* καὶ ὅσα ἄλλα Λακ. corrigens vertit: *et quaecunque alia.* Sed Pausanias ὅσα ἄλλα non tam absolute posita usurpare solet. Equidem leviori medela sic emendandum puto: καὶ ἰὸς, Λακ. etc., *ne temporis injuria eos laedat et aerugo etc.* De expeditionibus, e quarum praeda isti clypei dedicati fuere, vid. Thucyd. L. IV. 8 — 15. 120. sq. et Diodor. XII. 61. 62. 72.

1) ὃς ὡρμᾶτο] *Sylburgii* conjecturam ὡς legentis firmat Codex Casaub. Post Ἀλεξάνδρῳ comma posui; θύοντι enim cum Σελεύκῳ, minime vero cum Ἀλεξάνδρῳ, jungendum est.

τὸν Λάγου [2]), κατῆλθεν αὖθις ἐς Βαβυλῶνα· κατελθὼν δὲ ἐκράτησε μὲν τῆς Ἀντιγόνου στρατιᾶς καὶ αὐτὸν ἀπέκτεινεν Ἀντίγονον, εἶλε δὲ ἐπιστρατεύσας [3]) ὕστερον Δημήτριον τὸν Ἀντιγόνου. ὡς δέ οἱ ταῦτα προκεχωρήκει καὶ μετ' ὀλίγον τὰ Λυσιμάχου κατείργαστο, τὴν μὲν ἐν τῇ Ἀσίᾳ πᾶσαν ἀρχὴν παρέδωκεν Ἀντιόχῳ τῷ παιδὶ, αὐτὸς δὲ ἐς Μακεδονίαν ᾐπείγετο. στρατιὰ μὲν οὖν [4]) καὶ Ἑλλήνων καὶ
2 βαρβάρων ἦν παρὰ Σελεύκῳ. Πτολεμαῖος δὲ ἀδελφὸς μὲν Λυσάνδρας καὶ παρὰ Λυσιμάχου παρ' αὐτὸν πεφευγὼς, ἄλλως δὲ τολμῆσαι πρόχειρος καὶ δι' αὐτὸ Κεραυνὸς καλούμενος, οὗτος ὁ Πτολεμαῖος, ὡς προσιὼν ὁ Σελεύκου στρατὸς ἐγένετο κατὰ Λυσιμαχίαν, μαθὼν Σέλευκον κτείνει [5]) διαρπάσαι δὲ ἐπιτρέψας τὰ χρήματα τοῖς βασιλεῦσιν [6]), ἐβασίλευσε Μακεδονίας, ἐς ὃ Γαλάται πρῶτος ὧν ἴσμεν βασιλέων ἀντιτάξασθαι τολμήσας ἀναιρεῖται ὑπὸ τῶν βαρβάρων· τὴν δὲ ἀρχὴν Ἀντίγονος ἀνεσώσατο ὁ Δημη-
3 τρίου. Σέλευκον δὲ βασιλέων ἐν τοῖς μάλιστα πείθομαι καὶ ἄλλως γενέσθαι δίκαιον καὶ πρὸς τὸ θεῖον εὐσεβῆ.

2) τὸν Λάγου] Codex Vind. τοῦ Λάγου.

3) ἐπιστρατεύσας] Cod. Mosc. ἐπιστρατεύσαντα haud absurde exhibet.

4) στρατιὰ μὲν οὖν] In utroque Cod. οὖν abest.

5) μαθὼν Σέλευκον κτείνει] *Kuhn.* bene corrigit λαθὼν, quae emendatio admodum probabilis redditur L. X. C. 19. Πτολεμαῖος — ὃς Σέλευκον ἐδολοφόνησε, et Strab. L. XIII. p. 925.

6) τοῖς βασιλεῦσιν] Hic de mendo suspicari haud temerarium est. Quare *Loesch.* paullo audacius conjecit τοῖς στρατιώταις, et *Kuhn.* τοῖς ἐπιβουλεύουσι. *Palmer.* Exercit. in Auctor. graec p. 365. τῶν βασιλείων, domus regiae, scribendum putavit. Magis mihi arridet, emendare τῶν βασιλέων, regum Macedoniae.

σύσεβῆ. τοῦτο μὲν γὰρ Σέλευκός ἐστιν ὁ Μιλησίοις τὸν χαλκοῦν καταπέμψας Ἀπόλλωνα ἐς Βραγχίδας [7]), ἀνακομισθέντα εἰς Ἐκβάτανα τὰ Μηδικὰ ὑπὸ Ξέρξου· τοῦτο δὲ Σελεύκειαν οἰκίσας ἐπὶ Τίγρητι ποταμῷ καὶ Βαβυλωνίους οὗτος ἐπαγόμενος ἐς αὐτὴν συνοίκους, ὑπελείπετο μὲν τὸ τεῖχος Βαβυλῶνος, ὑπελείπετο δὲ τοῦ Βὴλ τὸ ἱερὸν [8]), καὶ περὶ αὐτὸ τοὺς Χαλδαίους οἰκεῖν [9]).

CAPUT XVII.

De Misericordiae ara in foro — aliis hujusmodi virtutum aris — Theatro Ptolemaei et signis in eo — Thesei templo et picturis in eo — Minoe et Theseo — varia de Thesei morte narratione.

Ἀθηναίοις δὲ ἐν τῇ ἀγορᾷ καὶ ἄλλα ἐστὶν οὐκ ἐς ἅπαντας ἐπίσημα [1]), καὶ Ἐλέου βωμός, ᾧ μάλιστα θεῶν, ἐς ἀνθρώπινον βίον καὶ μεταβολὰς πραγμάτων ὅτι ὠφέλιμος, μόνοι τιμὰς Ἑλλήνων νέμουσιν Ἀθηναῖοι. τούτοις δὲ οὐ τὰ ἐς φιλανθρωπίαν μόνον καθέστη-

7) τὸν χαλκοῦν — Βραγχίδας] Eadem leguntur L. VIII. C. 46. Conf. Strabo L. XIV. p. 941.

8) τοῦ Βὴλ τὸ ἱερὸν] Idem est L. VIII. C. 33. De Belo vid. L. IV. C. 23. in fine, et Herodot. L. I. f. 181 — 183.

9) ὑπελείπετο — τοὺς Χαλδαίους οἰκεῖν] Uterque Codex ὑπελίπετο, uti et infra. Illa vero paullo insolentius dicta pro ὑπελ. τῶν Χαλδαίων οἰκίας. Chaldaei Indorum magis juncti memorantur L. IV. C. 32.

1) οὐκ ἐς ἅπαντας ἐπίσημα] Quomodo *Amasaeus* haec vertere potuerit: *quae praecipuam quandam in Diis colendis diligentiam declarant*, equidem ne conjicere quidem valeo. Sylb. *non omnibus nota*; tum vero γνώριμα esse deberet, ut alias C. 27. Interpretandum: *cum alia non apud omnes insignia, tum etc.*

καθέστηκεν; ἀλλὰ καὶ ἐς θεοὺς [2]) εὐσεβεῖν ἄλλων πλέον. καὶ γὰρ Αἰδοῦς σφίσι βωμός ἐστι, καὶ Φήμης, καὶ Ὁρμῆς [3]). δῆλά τε ἐναργῶς ὅσοις πλέον τι ἑτέρων εὐσεβείας μέτεστιν, ἴσον σφισι παρὸν τύχης
2 χρηστῆς [4]). Ἐν δὲ τῷ γυμνασίῳ τῆς ἀγορᾶς ἀπέχοντι οὐ πολύ, Πτολεμαῖον δὲ ἀπὸ τοῦ κατεσκευασμένου καλουμένῳ, λίθοι τέ εἰσιν Ἑρμαῖ [5]), θέας ἄξιοι, καὶ εἰκὼν Πτολεμαίου χαλκῆ· καὶ ὅ τε Λίβυς Ἰόβας [6]) ἐνταῦθα κεῖται, καὶ Χρύσιππος ὁ Σολεύς [7]). πρὸς δὲ τῷ γυμνασίῳ Θησέως ἐστὶν ἱερόν· γεγραφαὶ δέ εἰσι, πρὸς Ἀμαζόνας Ἀθηναῖοι μαχόμενοι. πεποίηται δὲ σφισιν ὁ πόλεμος οὗτος καὶ τῆς Ἀθηνᾶς ἐπὶ τῇ ἀσπίδι, καὶ τοῦ Ὀλυμπίου Διὸς ἐπὶ τῷ βάθρῳ [8]). γέγραπται δὲ ἐν τῷ τοῦ Θησέως ἱερῷ καὶ ἡ Κενταύρων καὶ ἡ Λαπιθῶν μάχη· Θησεὺς μὲν οὖν ἀπεκτονώς ἐστιν ἤδη Κένταυρον, τοῖς δὲ ἄλλοις ἐξ ἴσου καθέστηκεν ἔτι

2) ἐς θεοὺς] ἐς in utroque Cod. deest.

3) Ὁρμῆς] *Alacritatis* Amas. interpretatur. Potius *impetum et strenuitatem bellicam* intelligendam esse puto.

4) δῆλά τε — — τύχης χρηστῆς] δῆλα pro δῆλον, et ista hunc sensum exhibent: *luculenter patet, iis, quibus plus pietatis in deos est quam aliis, varem etiam adesse secundam fortunam.*

5) λίθοι τέ εἰσιν Ἑρμαῖ] De Hermis, statuis ἀκώλοις, vid L. I. C. 24.; de earum forma quadrangula L. IV. C. 33., L. VIII. C. 32. et 39. Conf. Suidas v. Ἑρμαι, et Winkelm. *Storia delle arti del disegno* T. I. p. 6. 1.

6) ὅ τε Λίβυς Ἰόβας] pro vulgata Ἰόχας rescripsi Ἰόβας, utroque Codice et Amasaei versione hoc exhibentibus.

7) Χρύσιππος ὁ Σολεύς] *Diogen. Laërt* L. VII. s. 182. p. 478. et Cicero de fin. I. Chrysippi statuam in Ceramico fuisse dicunt; quare Menag. ad Diog. l. c. Ceramicum interiorem intelligendum esse putat.

8) τοῦ Ὀλυμπίου — ἐπὶ τῷ βάθρῳ] Vid. L. V. C. 11.

ἔτι ἡ μάχη. τοῦ δὲ τρίτου τῶν τοίχων ἡ γραφὴ μὴ πυθομένοις, ἃ λέγουσιν, οὐ σαφής ἐστιν· τὰ μὲν που διὰ τὸν χρόνον, τὰ δὲ Μίκων οὐ τὸν πάντα ἔγραψε λόγον. Μίνως ἡνίκα Θησέα καὶ τὸν ἄλλον σόλον τῶν 3
παίδων ἦγεν ἐς Κρήτην, ἐρασθεὶς Περιβοίας, ὡς οἱ Θησεὺς μάλιστα ἠναντιοῦτο, καὶ ἄλλα ὑπὸ ὀργῆς ἀπέρριψεν ἐς αὐτὸν, καὶ παῖδα οὐκ ἔφη Ποσειδῶνος εἶναι· ἐπεὶ οὐ δύνασθαι τὴν σφραγῖδα [9]), ἣν αὐτὸς φέρων ἔτυχεν, ἀφέντι ἐς θάλασσαν ἀνασῶσαί οἱ. Μίνως μὲν λέγεται ταῦτα εἰπὼν ἀφεῖναι τὴν σφραγῖδα· Θησέα δὲ σφραγῖδά τε ἐκείνην ἔχοντα καὶ στέφανον χρυσοῦν Ἀμφιτρίτης δῶρον ἀνελθεῖν λέγουσιν ἐκ τῆς θαλάττης. ἐς δὲ τὴν τελευτὴν τὴν Θησέως 4
πολλὰ ἤδη καὶ οὐχ ὁμολογοῦντα εἴρηται· δεδέσθαι γὰρ αὐτὸν λέγουσιν [10]) ἐς τόδε, ἕως ὑφ' Ἡρακλέους ἀναχθείη. πιθανώτατα δὲ, ὧν ἤκουσα, Θησεὺς ἐς Θεσπρωτοὺς ἐμβαλὼν, τοῦ βασιλέως τῶν Θεσπρωτῶν γυναῖκα ἁρπάσων [11]), τὸ πολὺ τῆς στρατιᾶς οὕτως ἀπόλλυσι καὶ αὐτός τε καὶ Πειρίθους (Πειρίθους γὰρ καὶ τὸν γάμον σπεύδων [12]) ἐστράτευεν) ἥλωσαν, καὶ σφᾶς

9) τὴν σφραγῖδα] Hoc ad antiquitatem annulorum signatorum et gemmeorum pertinet, uti et quae L. X. C. 30. de Phoci annulo habet Pausanias.

10) δεδέσθαι — λέγουσιν] Cod. Vind. δεδέσθαι τοι γάρ, Cod M. τε γάρ. De his vid. Apollodor. L. II. C. 5. et Heyne V. C. in not. p. 433. 434.

11) τοῦ βασιλέως τῶν Θεσπρωτῶν γυναῖκα ἁρπ.] Plutarch. in Thes. C. 31. et Ael. Var. H. L. IV. C. 5. illum non Thesprotorum, sed Molossorum (Thesprotis finitimorum) regem Aïdonea fuisse refert; de qua varietate vid. Perizon. ad Ael l. c.

12) Πειρίθους — σπεύδων] Πειρίθῳ vel potius Πειρίθου scribendum esse, ex L. I. C. 41. Πειρίθῳ τὸν λεγόμενον γάμον συμπράξαντα, ex Plutarchi Thes. C. 31. et ex Ael. l. ante c. οὐκ ἑαυτῷ σπουδάζων τον γάμον, cum Kuhnio

5 σφᾶς ὁ Θεσπρωτὸς δήσας εἶχεν ἐν Κιχύρῳ. τῆς δὲ γῆς τῆς Θεσπρωτίδος ἐστὶ μέν που καὶ ἄλλα θέας ἄξια, ἱερόν τε Διὸς ἐν Δωδώνῃ καὶ ἱερὰ τοῦ θεοῦ φηγός. πρὸς δὲ τῇ Κιχύρῳ λίμνη τέ ἐστιν Ἀχερουσία καλουμένη, καὶ ποταμὸς Ἀχέρων· ῥεῖ δὲ καὶ Κωκυτὸς ὕδωρ ἀτερπέστατον. Ὁμηρός τε[13]) μοι δοκεῖ ταῦτα ἑωρακὼς, ἔς τε τὴν ἄλλην ποίησιν ἀποτολμῆσαι τῶν ἐν ᾅδου, καὶ δὴ καὶ τὰ ὀνόματα τοῖς ποταμοῖς ἀπὸ
6 τῶν ἐν Θεσπρωτίδι θέσθαι. τότε δὲ ἐχομένου Θησέως, στρατεύουσιν ἐς Ἀφιδναν οἱ Τυνδάρεω παῖδες, καὶ τήν τε Ἀφιδναν αἱροῦσι καὶ Μενεσθέα ἐπὶ βασιλείᾳ κατήγαγον. Μενεσθεὺς δὲ τῶν μὲν παίδων τῶν Θησέως παρ' Ἐλεφήνορα[14]) ὑπεξελθόντων ἐς Εὔβοιαν εἶχεν οὐδένα λόγον· Θησέα δὲ εἴποτε παρὰ Θεσπρωτῶν ἀνακομισθήσεται, δυσανταγώνιστον ἡγούμενος, διὰ θεραπείας τὰ τοῦ δήμου καθίστατο, ὡς Θησέα ἀνασωθέντα ὕστερον ἀπωσθῆναι. στέλλεται δὴ Θησεὺς παρὰ Δευκαλίωνα[15]) ἐς Κρήτην. ἐξενεχθέντα δὲ αὐτὸν ὑπὸ πνευμάτων ἐς Σκῦρον τὴν νῆσον λαμπρῶς περιεῖπον οἱ Σκύριοι κατὰ γένους δόξαν, καὶ ἄξίωμα ἦν αὐτὸς εἰργασμένος· καί οἱ θάνατον Λυκομήδης διὰ ταῦτα ἐβούλευσεν[16]). ὁ μὲν δὴ Θησέως σηκὸς[17]) Ἀθη-

Kuhnio conjicere possis. Sed et vulgata ferri potest, si vertas Περιθους γ. κ., nam Pirithous etiam etc.

13) Ὁμηρός τε] Vid. Odyss. A.

14) Ἐλεφήνορα] Unus ex procis Helenae fuit, de quo vid. Apollod. L. III. 10. ibique Heyne V. C. p. 726.

15) Δευκαλίωνα] Minois filium, quem interfecisse refert Plutarch. in vita Thes. C. 19.

16) ἐβούλευσεν] Recte *Kuhn.* corrigit ἐπεβούλευσε.; quae verba saepius permutari satis constat. De re ipsa vid. Plutarch. vit. Thes. C. 35.

17) σηκὸς] *Thesei heroum.* Hesych. σηκὸς, οἶκος, τάφος, ναός. Vid Ruhnken. ad Tim. p. 230. et Valkenar., qui copiose de

Ἀθηναίοις ἐγένετο ὕστερον ἢ Μῆδοι Μαραθῶνα ἔσχον, Κίμωνος τοῦ Μιλτιάδου Σκυρίους ποιήσαντος ἀνασάτους, δίκην δὲ τοῦ Θησέως θανάτου [18]) καὶ τὰ ὀστᾶ κομίσαντος ἐς Ἀθήνας.

CAPUT XVIII.

De templo Caſtoris et Pollucis — Aglauro ejusque ſororibus — Prytaneo — templo Serapidis, Lucinae (Εἰλειθυίας) — Adriani imperat. aliorumque ſignis ante templum Jovis Olympii — Iſocrate — templo Jovis Olympii — Adriani operibus Athenis exſtructis.

Τὸ δὲ ἱερὸν τῶν Διοσκούρων ἐστὶν ἀρχαῖον· αὐτοί τε ἑστῶτες καὶ οἱ παῖδες [1]) καθήμενοί σφισιν ἐφ' ἵππων. ἐνταῦθα Πολύγνωτος μὲν ἔχοντα ἐς αὐτοὺς ἔγραψε γάμον τῶν θυγατέρων τῶν Λευκίππου, Μίκων δὲ τοὺς μετὰ Ἰάσονος ἐς Κόλχους πλεύσαντας· καὶ οἱ τῆς γραφῆς ἡ σπουδὴ μάλιστα ἐς Ἄκαστον καὶ τοὺς ἵππους ἔχει τοῦ Ἀκάστου. ὑπὲρ δὲ τῶν Διοσκούρων 2
τὸ ἱερὸν Ἀγλαύρου τέμενός ἐστιν. Ἀγλαύρῳ δὲ καὶ ταῖς ἀδελφαῖς, Ἔρσῃ καὶ Πανδρόσῳ, δοῦναί φασιν Ἀθηνᾶν Ἐριχθόνιον, καταθεῖσαν [2]) ἐς κιβωτὸν, ἀπειποῦσαν

de hac voce agit ad Ammon. p. 153.

18) δίκην δὲ τοῦ Θ. θανάτου] ſc. κομίσαντος, quod ex ſequentibus duplici ſenſu ſumendum: *qui caedis Theſei poenas ſumſit ejusque oſſa Athenas portavit.* Δίκην διδόναι eſt *poenas dare*, et δίκην κομίζεσθαι *poenas auferre*, h. e. *ſumere, repetere.*

1) καὶ οἱ παῖδες] Anaxis et Mnaſinous. Vid. L. II. C. 22. et Heyne V. C. ad Apollodor. p. 731.

2) καταθεῖσαν] Sic ſcripſi pro καθεῖσαν, utroque Codice hoc dante, et ſenſu poſtulante.

ποῦσαν εἰς τὴν παρακαταθήκην μὴ πολυπραγμονεῖν. Πάνδροσον μὲν δὴ λέγουσι πεισθεσθαι· τὰς δὲ δύο (ἀνοῖξαι γὰρ σφᾶς τὴν κιβωτὸν) μαίνεσθαί τε, ὡς εἶδον τὸν Ἐριχθόνιον, καὶ κατὰ τῆς ἀκροπόλεως, ἔνθα ἦν μάλιστα ἀπότομον, αὐτὰς ῥίψαι· κατὰ τοῦτο ἐπαναβάντες Μῆδοι [3]) κατεφόνευσαν Ἀθηναίων τοὺς πλέον τι ἐς τὸν χρησμὸν ἢ Θεμιστοκλῆς εἰδέναι νομίζοντας καὶ τὴν ἀκρόπολιν ξύλοις καὶ σαυροῖς ἀποτειχί-
3 σαντας. πλησίον δὲ Πρυτανεῖόν ἐστιν, ἐν ᾧ νόμοι τε οἱ Σόλωνός εἰσι γεγραμμένοι, καὶ θεῶν Εἰρήνης ἀγάλματα κεῖται καὶ Ἑστίας, ἀνδριάντες δὲ ἄλλοι τε καὶ Αὐτόλυκος ὁ παγκρατιαστής [4]). τὰς γὰρ Μιλτιάδου καὶ Θεμιστοκλέους εἰκόνας ἐς Ῥωμαῖόν τε ἄνδρα καὶ
4 Θρᾷκα μετέγραψαν. ἐντεῦθεν ἰοῦσιν ἐς τὰ κάτω τῆς πόλεως, Σαράπιδός ἐστιν ἱερόν, ὃν Ἀθηναῖοι παρὰ Πτολεμαίου θεὸν ἐσηγάγοντο. Αἰγυπτίοις δὲ ἱερὰ Σαράπιδος, ἐπιφανέστατον μέν ἐστιν Ἀλεξανδρεῦσιν, ἀρχαιότατον δὲ ἐν Μέμφει· ἐς τοῦτο ἐσελθεῖν οὔτε ξένοις ἐστὶν, οὔτε τοῖς ἱερεῦσι, πρὶν ἂν τὸν Ἆπιν
5 θάπτωσι [5]). τοῦ δὲ ἱεροῦ τοῦ Σαράπιδος οὐ πόρρω χωρίον ἐστὶν, ἔνθα Πειρίθουν καὶ Θησέα συνθεμένους ἐς Λακεδαίμονα καὶ ὕστερον ἐς Θεσπρωτοὺς σαλῆναι λέγουσι. πλησίον δὲ ᾠκοδόμητο ναὸς Εἰλειθυίας, ἣν ἐλθοῦσαν ἐξ Ὑπερβορέων [6]) ἐς Δῆλον γενέσθαι βοηθὸν ταῖς Λητοῦς ὠδῖσι· τοὺς δὲ ἄλλους παρ' αὐτῶν φασὶ τῆς Εἰλειθυίας μαθεῖν τὸ ὄνομα· καὶ θύουσί

3) κατὰ τοῦτο — Μῆδοι] De hoc videndus Herodot. Uran. f. 53.

4) Αὐτόλυκος ὁ παγκρατιαστής] Eadem Autolyci statua, ejusque cum Eteonico quodam controversia memoratur L. IX. C. 32.

5) τὸν Ἆπιν θάπτωσι] Vid. Herodot. Thal. f. 28. 29.

6) ἐξ Ὑπερβορέων] De his populis vid. not. ad L. I. C. 31.

θύουσί τε Εἰλειθυίᾳ Δήλιοι καὶ ὕμνον ἄδουσιν Ὠλῆνος [7]). Κρῆτες δὲ τῆς χώρας τῆς Κνωσίας [8]) ἐν Ἀμνισῷ γενέσθαι νομίζουσιν Εἰλείθυιαν καὶ παῖδα Ἥρας εἶναι. μόνοις δὲ Ἀθηναίοις τῆς Εἰλειθυίας κεκάλυπται τὰ ξόανα ἐς ἄκρους τοὺς πόδας. τὰ μὲν δὴ δύο εἶναι Κρητικὰ, καὶ Φλίδρας ἀναθήματα ἔλεγον αἱ γυναῖκες, τὸ δὲ ἀρχαιότατον Ἐρυσίχθονα ἐκ Δήλου κομίσαι.

Πρὶν δὲ ἐς τὸ ἱερὸν ἰέναι τοῦ Διὸς τοῦ Ὀλυμπίου, 6
Ἀδριανὸς ὁ Ῥωμαίων βασιλεὺς τόν τε ναὸν ἀνέθηκε, καὶ τὸ ἄγαλμα θεᾶς ἄξιον οὐ μεγέθει μὲν, (ὅτι μὴ Ῥωμαίοις καὶ Ῥοδίοις εἰσὶν οἱ κολοσσοὶ, τὰ λοιπὰ ἀγάλματα ὁμοίως ἀποδείκνυται) πεποίηται δὲ ἔκ τε ἐλέφαντος καὶ χρυσοῦ, καὶ ἔχει τέχνης εὖ πρὸς τὸ μέγεθος ὁρῶσιν [9]). ἐνταῦθα εἰκόνες Ἀδριανοῦ, δύο μέν

7) Ὠλῆνος] Olena ex Hyperboreis veniſſe et vaticinatum eſſe, refert Pauſan L. X. C. 5.; ante Pamphum et Orpheum vixiſſe ac vetuſtiſſimos hymnos et in his hymnum in Lucinam compoſuiſſe, L. IX. C. 27. In Herodoto Melp. f. 35. illum ex Lycia veniſſe et hymnos Delios feciſſe legimus, ubi vid. Valkenar.

8) τῆς χώρας τῆς Κνωσίας] Uterque Cod. χώρας τῆς Κνωσσίας.

9) Πρὶν δὲ ἐς τὸ ἱερὸν — πρὸς τὸ μέγεθος ὁρῶσιν] Haec perverſa diſtinctione antea impedita recta interpunctione mihi videor expediviſſe: *priusquam ad templum Jovis acceditur, Adrianus Romanorum imperator aedem dedicavit et ſimulacrum* (ſc. Jovis) *ſpectatu dignum, minime quidem ob magnitudinem*, (*Coloſſis enim exceptis, qui Romanis et Rhodiis ſunt, reliqua* (Jovis) *ſimulacra pari magnitudine ſunt*) *ſed quod ex auro et ebore elaboratum et eleganti artificio eſt, ſi magnitudinem* (ſeu *menſuram*) *ſpectes.* Quod ad ſingula verba attinet, primum illud notandum, τὸ ἱερὸν et τὸ ναὸν hic diſtingui, uti ſaepius in Pauſania inprimis L. V. C. 6. τέμενος καὶ ἱερὸν καὶ ναὸν Ἀρτέμιδι ᾠκοδομήσατο. Quod vero diſcrimen intercedat, equidem non magis accurate diſceptare auſim, quam quid interſit inter *templum, fanum, delubrum,*

μέν εἰσι Θασίου λίθου, δύο δὲ Αἰγυπτίου· χαλκαῖ [10]) δὲ ἑστᾶσι πρὸ τῶν κιόνων, ἃς Ἀθηναῖοι καλοῦσιν ἀποίκους πόλεις. ὁ μὲν δὴ πᾶς περίβολος σταδίων μάλιστα τεσσάρων ἐστὶν, ἀνδριάντων δὲ πλήρης· ἀπὸ γὰρ πόλεως ἑκάστης εἰκὼν Ἀδριανοῦ βασιλέως ἀνάκειται, καὶ σφᾶς ὑπερεβάλοντο Ἀθηναῖοι, τὸν κολοσ-
7 σὸν ἀναθέντες ὄπισθε τοῦ ναοῦ θέας ἄξιον. ἔστι δὲ ἀρχαῖα ἐν τῷ περιβόλῳ, Ζεὺς χαλκοῦς, καὶ ναὸς Κρόνου καὶ Ῥέας, καὶ τέμενος τὴν ἐπίκλησιν Ὀλυμπίας. ἐνταῦθα ὅσον ἐς πῆχυν τὸ ἔδαφος διέσηπε, καὶ λέγουσι μετὰ τὴν ἐπομβρίαν τὴν ἐπὶ Δευκαλίωνος συμβᾶσαν ὑπορυῆναι ταύτῃ τὸ ὕδωρ, ἐσβάλλουσί τε ἐς αὐτὸ ἀνὰ πᾶν ἔτος ἄλφιτα
8 πυρῶν μέλιτι μίξαντες. κεῖται δὲ ἐπὶ κίονος Ἰσοκράτους ἀνδριὰς, ὃς ἐς μνήμην τρία ὑπελίπετο, ἐπιμονώτατον μὲν, ὅτι οἱ βιώσαντι ἔτη δυοῖν δέοντα ἑκατὸν οὔποτε κατελύθη μαθητὰς ἔχειν [11]). σωφρονέστατον δὲ,

lubrum, aedem. Naὸς et minus, quam ἱερὸν, et illud potissimum aedificium denotasse videtur, quo simulacrum unius tantum dei continebatur, ita ut illud cum Romanorum *aede* et nostrorum *Capelle* quodammodo congruere haud temere arbitrari possis. Vid. et Thucyd. IV. 90. et ibi Duker. Porro μέγεθος, ut Romanorum *magnitudo*, est *modus* seu *mensura incerta*, ideoque non minus de rebus parvis, quam magnis, usurpatur. Vid. Steph. thesaur. T. II. p 835. 836. Inde Paus. interdum addit μέγα, uti L. II. C. 34. μεγέθει τε μέγα καὶ etc., et L. IX. C. 2. Demum ὅτι μὴ et ὅτι γὰρ μὴ Pausaniae est dictio admodum familiaris, denotans: *nam praeter quod, excepto enim*, uti L. III. C. 8. init., L. III. C. 19., L. VI. C. 19.

10) χαλκαῖ] sc. εἰκόνες Ἀδριανοῦ. Quae Adriani aenea signa non ἄποικοι πόλεις appellata, uti Kuhn. vult, sed posita fuerunt ab urbibus, quas Athenienses ἀποίκους πόλεις vocabant. Plenius enim ita fuisset: χαλκαῖ δὲ ἑστᾶσι — ἐκείνων πόλεων, ἃς Ἀθηναῖοι καλοῦσιν ἀποίκους π.

11) οὔποτε κατελύθη μαθ. ἔχ.] *non desiit discipulos habere.* Καταλύειν et καταλύεσθαι sic de athletis

δὲ, ὅτι πολιτείας ἀπεχόμενος διέμεινε καὶ τὰ κοινὰ [12]) οὐ πολυπραγμονῶν· ἐλευθερώτατον, ὅτι πρὸς τὴν ἀγγελίαν τῆς ἐν Χαιρωνείᾳ μάχης ἀλγήσας ἐτελεύτησεν ἐθελοντής [13]). κεῖνται δὲ καὶ λίθου Φρυγίου Πέρσαι χαλκοῦν τρίποδα ἀνέχοντες, θέας ἄξιοι καὶ αὐτοὶ καὶ ὁ τρίπους. τοῦ δὲ Ὀλυμπίου Διὸς Δευκαλίωνα οἰκοδομῆσαι λέγουσι τὸ ἀρχαῖον ἱερὸν, σημεῖα [14]) ἀποφαίνοντες, ὡς Δευκαλίων Ἀθήνησιν ὤκησε, τάφον τοῦ ναοῦ τοῦ νῦν οὐ πολὺ ἀφεστηκότα. Ἀδριανὸς δὲ 9
κατεσκευάσατο μὲν καὶ ἄλλα Ἀθηναίοις, ναὸν Ἥρας, καὶ Διὸς Πανελληνίου, καὶ θεοῖς τοῖς πᾶσιν ἱερὸν κοινόν· τὰ δὲ ἐπιφανέστατα ἑκατὸν εἴκοσι κίονες Φρυγίου λίθου. πεποίηνται δὲ καὶ ταῖς στοαῖς κατὰ τὰ αὐτὰ οἱ τοῖχοι [15]). καὶ οἰκήματα ἐνταῦθά ἐστιν ὀρόφῳ τε ἐπιχρύσῳ καὶ ἀλαβάστρῳ λίθῳ, πρὸς δὲ ἀγάλμασι κεκοσμημένα καὶ γραφαῖς· κατακεῖται δὲ ἐς αὐτὸ [16]) βιβλία· καὶ γυμνάσιόν ἐστιν ἐπώνυμον Ἀδριανοῦ· κίονες δὲ καὶ ἐνταῦθα ἑκατὸν λιθοτομίας τῆς Λιβύων [17]).

athletis dicitur, qui ἄσκησιν et τέχνην deponunt. Vid. Wesseling. ad Herodot. p. 749.

12) τὰ κοινὰ] Uterque Cod. τὰ πολλά.

13) ἐτελεύτησεν ἐθελοντής] Vid. Plutarch. vit. Isocrat. in fine.

14) σημεῖα] Cod. Vind. σημεῖον, quod vulgatae praeferendum duco.

15) πεποίηνται — οἱ τοῖχοι] Haec aliter interpretari nescio, quam parietes exstructos fuisse porticibus similes, h. e. qui porticus formam exhiberent. Nam κατὰ τὰ αὐτὰ ad Phrygium lapidem referri, paulo durius esse videtur. Sed forte post κ. τ. αὐτὰ interpungendum et οἱ τοῖχοι sequentibus jungendum.

16) ἐς αὐτὸ] Vel pro ἐνταῦθα accipiendum, vel αὐτὰ potius legendum.

17) Λιβύων] Cod. Mosc. Λευκίων.

CAPUT XIX.

De templo Apollinis Delphinii — Venere in Hortis — Cynosarge — Lyceo — de Niso rege — de Ilisso et Eridano fluviis — de Diana Agrotera — de stadio Herodis.

Μετὰ δὲ τὸν ναὸν τοῦ Διὸς τοῦ Ὀλυμπίου πλησίον ἄγαλμά ἐστιν Ἀπόλλωνος Πυθίου· ἔστι δὲ καὶ ἄλλο ἱερὸν Ἀπόλλωνος ἐπίκλησιν Δελφινίου [1]). λέγουσι δὲ, ὡς, ἐξειργασμένου τοῦ ναοῦ πλὴν τῆς ὀροφῆς, ἀγνὼς ἔτι τοῖς πᾶσιν ἀφίκοιτο Θησεὺς ἐς τὴν πόλιν. οἷα δὲ χιτῶνα ἔχοντος αὐτοῦ ποδήρη, καὶ πεπλεγμένης δὲ εὐπρεποῦς [2]) οἱ τῆς κόμης, ὡς ἐγίνετο κατὰ τὸν τοῦ Δελφινίου ναὸν, οἱ τὴν στέγην οἰκοδομοῦντες ἤροντο σὺν χλευασίᾳ, ὅ τι δὴ παρθένος ἐν ὥρᾳ γάμου πλανᾶται μόνη. Θησεὺς δὲ ἄλλο μὲν αὐτοῖς ἐδήλωσεν οὐδὲν, ἀπολύσας δὲ, ὡς λέγεται, τῆς ἁμάξης τοὺς βοῦς, ἣ σφισι παρῆν, τὸν ὄροφον ἀνέρριψεν [3]) ἐς ὑψηλότερον,
2 ἢ τῷ ναῷ τὴν στέγην ἐποιοῦντο. Ἐς δὲ τὸ χωρίον, ὃ Κήπους ὀνομάζουσι, καὶ τῆς Ἀφροδίτης τὸν ναὸν οὐδεὶς λεγόμενός σφισιν ἐς λόγος· οὐ μὴν οὐδὲ ἐς τὴν Ἀφροδίτην, ἢ τοῦ ναοῦ πλησίον ἕστηκε. ταύτης γὰρ σχῆμα

1) Δελφινίου] Varia de hujus nominis origine habent Schol. ad Lycophr. v. 208.

2) δὲ εὐπρεποῦς] Uterque Codex ἐς εὐπρεπὲς, quae sine dubio est vera lectio. *Kuhn.* jam conjecerat εὐπρεπῶς.

3) τὸν ὄροφον ἀνέρριψεν] Interpretes haerent in ὄροφος. Sylb. *trabem laquearis* vel *fastigii*, et Kuhn. *plaustri tegumentum* significari perperam censent. *Loesch.* legere vult τὸν ζυγόν. At, si τὸν ὄροφον sana est lectio, *calamus*, qui Polluci X. s. 170. κάλαμος τεγατὴς dicitur, ac quo ad tecta aedium conficienda usi sunt veteres, hic intelligendus Hos igitur calamos plaustro advectos Theseus in altum projecisse dicitur.

σχῆμα μὲν τετράγωνον κατὰ ταυτὰ καὶ τοῖς Ἑρμαῖς, τὸ δὲ ἐπίγραμμα σημαίνει τὴν Οὐρανίαν Ἀφροδίτην τῶν καλουμένων Μοιρῶν εἶναι πρεσβυτάτην. τὸ δὲ ἄγαλμα τῆς Ἀφροδίτης ἐν τοῖς Κήποις [4]) ἔργον ἐστὶν Ἀλκαμένους, καὶ τῶν Ἀθήνησιν ἐν λόγοις [5]) θέας ἄξιον. Ἔστι δὲ Ἡρακλέους ἱερὸν καλούμενον Κυνόσαργες [6]). καὶ τὰ μὲν ἐς τὴν κύνα εἰδέναι τὴν λευκὴν ἐπιλεξαμένοις ἐστὶ τὸν χρησμόν. βωμοὶ δέ εἰσιν Ἡρακλέους τε καὶ Ἥβης, ἣν Διὸς παῖδα οὖσαν συνοικεῖν Ἡρακλεῖ νομίζουσιν· Ἀλκμήνης τε βωμὸς καὶ Ἰολάου πεποίηται, ὃς τὰ πολλὰ Ἡρακλεῖ συνεπόνησε τῶν ἔργων. Λύκειον [7]) δὲ ἀπὸ μὲν Λυκίου [8]) τοῦ Πανδίονος ἔχει τὸ ὄνομα, Ἀπόλλωνος δὲ ἱερὸν ἐξαρχῆς τε εὐθὺς καὶ καθ' ἡμᾶς ἐνομίζετο, Λύκιός τε ὁ θεὸς ἐνταῦθα ὠνομάσθη πρῶτον. λέγεται δὲ, ὅτι καὶ Τερμισσεῖς [9]), ἐς οὓς ἦλθεν ὁ Λύκιος φεύγων Αἰγέα, καὶ 3 4

4) τῆς Ἀφροδίτης ἐν τοῖς Κήποις] De hac Alcamenis Venere vid. Plin. H N L. XXXVI. C. 5. p. 725. ed. Hard. et Luciani imag. 6. T II. p. 462. 464. ed. Reitzii.

5) ἐν λόγοις] *Kuhn.* ingenioſe emendat ἐν ὀλίγοις.

6) Κυνόσαργες] Quae Suidas habet de hoc gymnaſio et de nominis origine, hic exſcribere non erit ſupervacaneum — ἕν τι τῶν παρ' Ἀθηναίοις γυμνασίων — καὶ ἱερὸν Ἡρακλέους κατ' αἰτίαν τοιαύτην. Διομὸς ὁ Ἀθηναῖος ἔθυεν ἐν τῇ ἑστίᾳ· εἶτα κύων λευκὸς παρὼν ἥρπασε τὸ ἱερεῖον καὶ ἀπελθὼν εἴς τινα τόπον ἀπέθετο· ὁ δὲ περιιδὼν ἦν· ἔχρησε δὲ αὐτῷ ὁ θεὸς, ὅτι εἰς ἐκεῖνον τὸν τόπον, οὗ τὸ ἱερεῖον ἀπέθετο, Ἡρακλέους βωμὸν ὀφείλει ἱδρύσασθαι. Omnia fere veterum loca de illo congeſſit Menag. ad Diog. Laërt. VI. ſ. 13.

7) Λύκειον] Uterque Cod. Λύκιον. Sic et paullo poſt in Pauſ. Λυκίου.

8) Λυκίου] L. IV. C. 1. 2. eſt Λύκος, uti et in Strab. L. XII. p. 858. 983. et Herodot. L. I. ſ. 173. Quare etiam hic Λύκου, et paulo infra Λύκος pro Λύκιος ſcribendum eſt. Vid. Heyne V. C. ad Apollod. p. 869. 870.

9) Τερμισσεῖς] Uterque Cod. Τερμιλλεῖς. Quae lectio firmatur

τούτοις αἴτιός ἐστι, Λυκίους ἀπ' αὐτοῦ καλεῖσθαι.
5 Ἔστι δὲ ὄπισθεν τοῦ Λυκίου [10]) Νίσου μνῆμα, ὃν ἀποθανόντα ὑπὸ Μίνῳ βασιλεύοντα Μεγάρων κομίσαντες Ἀθηναῖοι ταύτῃ θάπτουσιν. ἐς τοῦτον τὸν Νῖσον ἔχει λόγος, τρίχας ἐν τῇ κεφαλῇ οἱ πορφυρᾶς εἶναι, χρῆναι δὲ αὐτὸν ἐπὶ ταύταις ἀποκαρείσαις τελευτᾶν. ὡς δὲ οἱ Κρῆτες ἦλθον ἐς τὴν γῆν, τὰς μὲν ἄλλας ῥᾳδίως εἶχον ἐξ ἐπιδρομῆς τὰς ἐν τῇ Μεγαρίδι πόλεις, ἐς δὲ τὴν Νισαίαν καταφεύγοντα τὸν Νῖσον ἐπολιόρκουν· ἐνταῦθα τοῦ Νίσου λέγεται θυγατέρα ἐρᾶσθῆναι Μίνω, καὶ ὡς ἀπέκειρε τὰς τρίχας τοῦ πατρός.
6 ταῦτα μὲν οὕτω γενέσθαι λέγουσι. Ποταμοὶ δὲ Ἀθηναίοις ῥέουσιν Ἐλισσός τε, καὶ Ἠριδανῷ [11]) τῷ Κελτικῷ κατὰ τὰ αὐτὰ ὄνομα ἔχων, ἐκδιδοὺς ἐς τὸν Ἐλισσόν. ὁ δὲ Ἐλισσός ἐστιν οὗτος, ἔνθα παίζουσαν Ὠρείθυιαν ὑπὸ ἀνέμου Βορέου φασὶν ἁρπασθῆναι, καὶ συνοικεῖν Ὠρειθυίᾳ Βορέαν, καί σφισι διὰ τὸ κῆδος ἀμύναντα τῶν τριηρῶν τῶν βαρβαρικῶν ἀπολέσαι τὰς πολλάς [12]). ἐθέλουσι δὲ Ἀθηναῖοι καὶ ἄλλων θεῶν ἱερὸν εἶναι τὸν Ἐλισσόν· καὶ Μουσῶν βωμὸς ἐπ' αὐτῷ ἐστιν Ἐλισσιάδων. δείκνυται δὲ καὶ, ἔνθα Πελοποννήσιοι Κόδρον τὸν Μελάνθου
γ βασιλεύοντα Ἀθηναίων κτείνουσι. Διαβᾶσι δὲ τὸν Ἐλισσόν, χωρίον Ἄγραι καλούμενον καὶ ναὸς Ἀγρο-

tur Herodot. L. I. f. 173., L. VII. f. 92, et Strab. L. XII. p. 858. 983., ubi Τερμίλαι et Τερμίλας.

10) τοῦ Λυκίου] Lycaeo scribendum esse, *Hartung.* monet, uti paullo ante Λύκειον fuit; quae sola scriptura ubique obvia.

11) καὶ Ἠριδανῷ] Forte Ἠριδανὸς legendum sit.

12) ἀμύναντα — τὰς πολλάς] Vid. Herodot. L. VII. f. 188. 189.

Ἀγροτέρας ἐστὶν Ἀρτέμιδος [13]). ἐνταῦθα Ἄρτεμιν πρῶτον θηρεῦσαι λέγουσιν, ἐλθοῦσαν ἐκ Δήλου· καὶ τὸ ἄγαλμα διὰ τοῦτο ἔχει τόξον. τὸ δὲ ἀκούσασι μὲν οὐχ ὁμοίως ἐπαγωγὸν, θαῦμα δ' ἰδοῦσι, σάδιόν ἐστι λευκοῦ λίθου· μέγεθος δὲ αὐτοῦ τῆδε ἄν τις μάλιστα τεκμαίροιτο· ἄνωθεν ὄρους [14]) ὑπὲρ τὸν Ἐλισσὸν ἀρχόμενον ἐκ μηνοειδοῦς καθήκει τοῦ ποταμοῦ πρὸς τὴν ὄχθην εὐθύ τε καὶ διπλοῦν. τοῦτο ἀνὴρ Ἀθηναῖος Ἡρῴδης [15]) ᾠκοδόμησε, καί οἱ τὸ πολὺ τῆς λιθοτομίας τῆς Πεντέλησιν ἐς τὴν οἰκοδομὴν ἀνηλώθη.

CAPUT XX.

De via Tripodes dicta — Praxitele et Phryne — Bacchi templo ejusque picturis — excidio Athenarum et Sulla.

Ἔτι δὲ ὁδὸς ἀπὸ τοῦ Πρυτανείου καλουμένη Τρίποδες· ἀφ' οὗ δὲ καλοῦσι τὸ χωρίον, ναοὶ θεῶν ἐς τοῦτο [1]) μεγάλοι, καί σφισιν ἐφεστήκασι τρίποδες, χαλκοῖ μὲν, μνήμης δὲ ἄξια μάλιστα περιέχοντες εἰργασμένα [2]). Σάτυρος γάρ ἐστιν, ἐφ' ᾧ

13) Ἀγροτέρας — Ἀρτέμιδος] De hac Diana Athenienſibus inprimis culta vid. Perizon. ad Ael. V. H. p. 129. 130.

14) ὄρους] Ex Cod. Vind. reſcripſi pro vulgata ὄρος, ſicuti *Kuhn.* jam conjecerat.

15) Ἀθηναῖος Ἡρῴδης] De hoc Herode Attico vid. Philoſtrat. vit. Sophiſt. L. II. ſ. 1.

1) ἐς τοῦτο] uti ſaepius pro κατὰ τοῦτο (ſc. χωρίον) vel ἐν τούτῳ.

2) μνήμης δὲ ἄξ. μάλιστα περιέχοντες εἰργασμ.] *circumdantes* (*cingentes*) *memoranda artis opera*, quae his Tripodibus tanquam ibique Olear. Plura opera ab eo per Graeciam exſtructa et dedicata fuere. Vid. Indic.

Πραξιτέλη [3]) λέγεται Φρονῆσαι μέγα· καί ποτε Φρύνης αἰτούσης, ὅ τι οἱ κάλλιστον εἴη τῶν ἔργων, ὁμολογεῖν μέν φασι διδόναι οἱ ἐρασὴν ὄντα, κατειπεῖν δ' οὐκ ἐθέλειν, ὅ τι κάλλιστον αὐτῷ οἱ [4]) φαίνοιτο. ἐσδραμὼν οὖν οἰκέτης Φρύνης ἐφασκεν οἴχεσθαι Πραξιτέλει τὸ πολὺ τῶν ἔργων, πυρὸς ἐσπεσόντος ἐς τὸ οἴκημα, οὐμενοῦν πάντα γε ἀφανισθῆναι. Πραξιτέλης δὲ αὐτίκα ἐθεῖ διὰ θυρῶν ἔξω, καί οἱ καμόντι οὐδὲν ἔφασκεν εἶναι πλέον [5]), εἰ δὴ καὶ τὸν Σάτυρον ἡ φλὸξ καὶ τὸν Ἔρωτα ἐπέλαβε [6]). Φρύνη δὲ μένειν θαῤῥοῦντα ἐκέλευε, παθεῖν γὰρ ἀνιαρὸν οὐδέν, τέχνῃ δὲ ἁλόντα ὁμολογεῖν τὰ κάλλιστα ὧν ἐποίησε. Φρύνη μὲν οὖν οὕτω τὸν Ἔρωτα αἱρεῖται [7]). Διονύσῳ δὲ ἐν τῷ ναῷ τῷ πλησίον Σάτυρός ἐστι παῖς [8]), καὶ δίδω-

σιν

tanquam septo circumdata erant. Inde Athen. L. XIII. p. 591. Praxitelis Satyrum dicit τὸν ἐπὶ Τριπόδων Σάτυρον. Minime vero hic de signis cogitandum est, quibus Tripodes sustinebantur, de quibus vid. not. ad L. III. C. 18.

3) Πραξιτέλη] Uterque Codex Πραξιτέλην, sicuti hos accusativos fere semper in ην habent.

4) αὐτῷ οἱ] *sibi ipsi.* Etiamsi αὐτῷ glossema ad οἱ adscriptum videri possit, nihil tamen mutandum.

5) οἱ καμόντι οὐδὲν ἔφ. εἶναι πλέον] *sibi misero nihil amplius prodesse, superesse.* Sic haec ex usu τοῦ κάμειν, *miseria, aerumna laborare*, sunt interpretanda. Cod. Mosc. habet κάμνοντι.

6) ἐπέλαβε] Cod. Vind. ἐπέλαβε.

7) τὸν Ἔρωτα αἱρεῖται] Hunc postea Thespiis a Phryne dedicatum esse, ex L. IX. C. 27. apparere videtur, et ab Athenaeo affirmatur L. XIII. p. 591. B., ubi eadem fere legimus. Conf. Cicero in Verr. IV. 2.

8) Διονύσῳ δὲ ἐν τῷ ναῷ τ. πλ. Σάτυρός ἐστι παῖς etc.] Pro Διονύσῳ scribere mallem Διονύσου: paullo durius enim dativus a sequenti δίδωσιν penderet. Ceterum hunc Satyrum puerum diversum esse a Satyro Praxitelis, *Heyne* V. C. censet in *Antiquar. Aufs.* II. *St.* p. 63. Attamen non infitiandum est, si post αἱρεῖται comma ponatur,

ita

σιν ἔκπωμα· Ἔρωτα δ' ἑστηκότα ὁμοῦ καὶ Διόνυσον Θυμίλος ἐποίησε. Τοῦ Διονύσου δέ ἐστι πρὸς τῷ θεάτρῳ τὸ ἀρχαιότατον ἱερόν· δύο δὲ εἰσὶν ἐντὸς τοῦ περιβόλου ναοὶ, καὶ Διόνυσοι, ὅ τε Ἐλευθερεὺς [9]), καὶ ὃν Ἀλκαμένης ἐποίησεν ἐλέφαντος καὶ χρυσοῦ. γραφαὶ δὲ αὐτόθι Διόνυσός ἐστιν ἀνάγων Ἥφαιστον ἐς οὐρανόν. λέγεται δὲ καὶ τάδε ὑπὸ Ἑλλήνων, ὡς Ἥρα ῥίψαι γενόμενον Ἥφαιστον· ὁ δέ οἱ μνησικακῶν πέμψαι δῶρον χρυσοῦν θρόνον, ἀφανεῖς δεσμοὺς ἔχοντα· καὶ τὴν μὲν, ἐπείτε ἐκαθέζετο, δεδέσθαι· θεῶν δὲ τῶν μὲν ἄλλων οὐδενὶ τὸν Ἥφαιστον ἐθέλειν πείθεσθαι, Διόνυσος δὲ (μάλιστα γὰρ ἐς τοῦτον πιστὰ ἦν Ἡφαίστῳ) μεθύσας αὐτὸν ἐς οὐρανὸν ἤγαγε. ταῦτα δὴ γεγραμμένα εἰσὶ, καὶ Πενθεὺς καὶ Λυκοῦργος ὧν ἐς Διόνυσον ὕβρισαν διδόντες δίκας· Ἀριάδνη δὲ καθεύδουσα, καὶ Θησεὺς ἀναγόμενος, καὶ Διόνυσος ἥκων ἐς τὴν Ἀριάδνης ἁρπαγήν [10]). Ἔστι 3 δὲ πλησίον τοῦ τε ἱεροῦ τοῦ Διονύσου καὶ τοῦ θεάτρου κατασκεύασμα· ποιηθῆναι δὲ τῆς σκευῆς [11]) αὐτὸ ἐς μίμησιν τῆς Ξέρξου λέγεται. ἐποιήθη δὲ καὶ δεύτερον·

ita ut μὲν — δὲ sibi respondeant, illum Praxitelis Satyrum hic innui posse, praecipue cum statim subjiciatur, Amorem prope stantem et Bacchum a Thymilo (non Praxitele) esse elaboratos.

9) ὅ τε Ἐλευθερεὺς] sc. Διόνυσος, ita dictus, quod ejus ξόανον ex illius templo apud Eleutherenses Athenas translatum fuerat, uti L. I. C. 38. in fine legimus.

10) τὴν Ἁρ. ἁρπαγήν] Cod. Vind. τὸν Ἁρ. ἁρπαγμόν.

11) τῆς σκευῆς etc.] Si lectio mendo caret, σκευὴ hic *armatura bellica et navalis*, et hoc aedificium forte Φίλωνος ὁπλοθήκη esset, quod a Sulla igne deletum esse, Plutarch. in Sulla C. 14. refert. (Conf. Strabo L. IX. p. 606. et Plin. L. VII. C. 27. p. 395.) Sed *Amas.* legisse videtur σκηνῆς, *tabernaculi*; quod cum *Kuhnio* probandum puto.

τὸ γὰρ ἀρχαῖον στρατηγὸς Ῥωμαίων ἐνέπρησε Σύλλας Ἀθήνας ἑλών [12]). αἰτία δὲ ἦδε τοῦ πολέμου· Μιθριδάτης ἐβασίλευσε βαρβάρων τῶν περὶ τὸν Πόντον τὸν Εὔξεινον. πρόφασιν [13]) μὲν δὴ, δι' ἥντινα Ῥωμαίοις ἐπολέμησε, καὶ ὃν τρόπον ἐς τὴν Ἀσίαν διέβη, καὶ ὅσας ἢ πολέμῳ βιασάμενος πόλεις ἔσχεν, ἢ φίλας ἐποιήσατο, τάδε μὲν τοῖς ἐπίσασθαι τὰ Μιθριδάτου θέλουσι μελέτω· ἐγὼ δὲ, ὅσον ἐς τὴν ἅλωσιν τὴν Ἀθηναίων [14]) ἔχει, δηλώσω. ἦν Ἀριστίων Ἀθηναῖος, ᾧ Μιθριδάτης πρεσβεύειν ἐς τὰς πόλεις τὰς Ἑλληνίδας ἐχρῆτο· οὗτος ἀνέπεισεν Ἀθηναίους, Μιθριδάτην θέσθαι Ῥωμαίων ἐπίπροσθεν· ἀνέπεισε δὲ οὐ πάντας, ἀλλ' ὅσον δῆμος ἦν, καὶ δήμου τὸ ταραχῶδες· Ἀθηναίων δὲ ὧν τις λόγος, παρὰ τοὺς Ῥωμαίους ἐκπίπτουσιν ἐθελονταί. γενομένης δὲ μάχης, πολλῷ περιῆσαν οἱ Ῥωμαῖοι, καὶ φεύγοντας Ἀριστίωνα μὲν καὶ Ἀθηναίους ἐς τὸ ἄστυ καταδιώκουσιν, Ἀρχέλαον δὲ καὶ τοὺς βαρβάρους ἐς τὸν Πειραιᾶ· Μιθριδάτου δὲ στρατηγὸς καὶ οὗτος ἦν, ὃν πρότερον τούτων Μάγνητες οἱ τὸν Σίπυλον οἰκοῦντες, σφᾶς ἐπεκδραμόντα [15]), αὐτόν τε τιτρώσκουσι καὶ τῶν βαρβάρων φονεύουσι 4 τοὺς πολλούς. Ἀθηναίοις μὲν δὴ πολιορκία καθεστήκει [16]). Τάξιλος δὲ Μιθριδάτου στρατηγὸς ἐτύγχανε μὲν περικαθήμενος Ἐλάτειαν τὴν ἐν τῇ Φωκίδι, ἀφικομένων

12) Σύλλας Ἀθήνας ἑλών] Vid Plutarch. Sull. C. 13. 14.

13) πρόφασιν] Uterque Cod. πρόφασις.

14) τὴν Ἀθηναίων] Uterque Cod. τῶν Ἀθ.

15) ἐπεκδραμόντα] Sic pro vulgata ἐπεκδραμόντας reponere non haesitavi, monente *Loescheo* et *Amasaei* interpretatione.

16) καθεστήκει] *Sylb.* rectius forte esse putat καθειστήκει. Sed variat hujus temporis forma per ε et ει expressa.

κομένων δὲ ἀγγέλων, ἀναστήσας τὸν στρατὸν, ἐς τὴν Ἀττικὴν ἦγεν. ἀ πυνθανόμενος ὁ στρατηγὸς τῶν Ῥωμαίων, Ἀθήνας μὲν τοῦ στρατοῦ μέρος [17]) πολιορκεῖν ἀφῆκεν, αὐτὸς δὲ Ταξίλῳ τὸ πολὺ τῆς δυνάμεως ἔχων ἐς Βοιωτοὺς ἀπαντᾷ. τρίτῃ δὲ ὕστερον ἡμέρᾳ τοῖς Ῥωμαίοις ἦλθον ἐπ' ἀμφότερα τὰ στρατόπεδα ἄγγελοι, Σύλλᾳ μὲν, ὡς Ἀθηναίοις εἴη τεῖχος ἁλωκὸς, τοῖς δὲ Ἀθήνας πολιορκήσασι, Τάξιλον κεκρατῆσθαι μάχῃ περὶ Χαιρώνειαν. Σύλλας δὲ ὡς ἐς τὴν Ἀττικὴν ἐπανῆλθε, τοὺς ἐναντιωθέντας Ἀθηναίων καθείρξας ἐς τὸν Κεραμεικὸν, τὸν λαχόντα σφῶν ἐκ δεκάδος ἑκάστης ἐκέλευσεν ἄγεσθαι τὴν ἐπὶ θανάτῳ. Σύλλου δὲ οὐκ ἀνιέντος ἐς Ἀθηναίους τοῦ θυμοῦ, λαθόντες ἐκδιδράσκουσιν ἄνδρες ἐς Δελφούς. ἐρομένοις δέ σφισιν, εἰ καταλαμβάνοι τὸ χρεὼν ἤδη καὶ τὰς Ἀθήνας ἐρημωθῆναι, τούτοις ἔχρησεν ἡ Πυθία τὰ ἐς τὸν ἀσκὸν ἔχοντα [18]). Σύλλᾳ δὲ ὕστερον τούτων ἐνέπεσεν ἡ νόσος, ἣ καὶ τὸν Σύριον Φερεκύδην ἁλῶναι πυνθάνομαι [19]). Σύλλᾳ δέ ἐστι μὲν καὶ τὰ ἐς πολλοὺς Ἀθηναίων ἀγριώτερα, ἢ ὡς ἄνδρα εἰκὸς ἦν ἐργάσασθαι Ῥωμαῖον· ἀλλὰ γὰρ οὐκ αὐτὰ δὴ δι' αἰτίαν γενέσθαι [20]) οἷ-

17) μέρος] Reposui pro vulgata μέρει ex Cod. Vind.

18) τὰ ἐς τὸν ἀσκὸν ἔχοντα] Hoc oraculum servatum legimus in Plutarchi Thes. C. 24.

Ἀσκὸς βαπτίζῃ, δῦναι δέ τοι οὐ θέμις ἐστίν.

Ibidem aliud simile oraculum Theseo redditum. Vid. et Oracula metrica ad calcem Orac. Sibyll. ed. Gal. p. 24. n. 50.

19) ἡ νόσος, ἣ καὶ τὸν Σύριον Φερεκύδην etc.] Vid. Plutarch. in vit. Sullae, ubi hic morbus φθειρίασις vocatur, et inter alios, qui illo obierunt, Pherecydes etiam θεόλογος memoratur. Conf. Ael. V. H. L. IV. C. 28. et Diog. Laërt. I. s. 118. et ibi Menag.

20) αὐτὰ δὴ δι' αἰτίαν γεν.] In utroque Codice est τὰ αὐτὰ δι' αἰτίαν γ. Forte aliquis praepositionem δι' ablatam malit, utpote ex δὴ natam.

οἱ δοκῶ τῆς συμφορᾶς, Ἰκεσίου δὲ μήνιμα [21]), ὅτι καταφυγόντα ἐς τὸ τῆς Ἀθηνᾶς ἱερὸν ἀπέκτεινεν ἀποσπάσας Ἀριστίωνα. Ἀθῆναι μὲν οὕτως ὑπὸ τοῦ πολέμου κακωθεῖσαι τοῦ Ῥωμαίων αὖθις Ἀδριανοῦ βασιλεύοντες ἠνθησαν.

CAPUT XXI.

De comicorum et tragicorum poëtarum imaginibus in Theatro — Niobe saxo — Calo et Daedalo — Aesculapii templo — Sarmatarum armis — Gryniaeo Apollinis templo.

Εἰσὶ δὲ Ἀθηναίοις εἰκόνες ἐν τῷ θεάτρῳ καὶ τραγῳδίας καὶ κωμῳδίας ποιητῶν αἱ πολλαὶ τῶν ἀφανεστέρων· ὅτι μὴ γὰρ Μένανδρος, οὐδεὶς ἦν ποιητὴς κωμῳδίας τῶν ἐς δόξαν ἥκοντων. τραγῳδίας δὲ κεῖνται
2 τῶν φανερῶν Εὐριπίδης καὶ Σοφοκλῆς. Λέγεται δὲ Σοφοκλέους τελευτήσαντος ἐσβαλεῖν ἐς τὴν Ἀττικὴν Λακεδαιμονίους, καὶ σφῶν τὸν ἡγούμενον ἰδεῖν ἐπισάντα οἱ Διόνυσον κελεύειν τιμαῖς, ὅσαι καθεχήκασιν ἐπὶ τοῖς τεθνεῶσι [1]), τὴν Σειρῆνα τὴν Νέαν τιμᾶν· καί οἱ τὸ ὄναρ Σοφοκλέα [2]) καὶ τὴν Σοφοκλέους ποίησιν ἐφαίνετο ἔχειν. εἰώθασι δὲ καὶ νῦν ἔτι ποιημάτων
3 καὶ λόγων τὸ ἐπαγωγὸν Σειρῆνι εἰκάζειν. Τὴν δὲ εἰκόνα τοῦ

21) Ἰκεσίου δὲ μήνιμα] Cod. Vind. exhibet Ἰκεσίου δὲ Διὸς μ. Jupiter Ἱκέσιος supplices (ἱκέτας) defendere et vindicare credebatur. Magnam hujus numinis vim declarat Pausan. L. VII. C. 25. ab init.

1) ἐπὶ τοῖς τ.] In Cod. Vind. abest ἐπί.

2) τὸ ὄναρ Σοφοκλέα] Bene *Kuhn.* emendat τὸ ὄναρ ἐς Σοφοκλ. Pausaniae enim ἔχειν ἔς τι pro *pertinere, attinere ad* etc. familiaris est dictio, uti paullo ante C. 20. τὰ ἐς τὸν ἀσκὸν ἔχοντα. Praepositionem ἐς, εἰς saepius in Paus. esse absorptam, jam antea notavimus.

τοῦ Αἰσχύλου πολλῷ τε ὕστερον τῆς τελευτῆς δοκῶ ποιηθῆναι καὶ τῆς γραφῆς, ἣ τὸ ἔργον ἔχει τὸ ἐν Μαραθῶνι [3]). ἔφη δὲ Αἰσχύλος μειράκιον ὢν καθεύδειν ἐν ἀγρῷ φυλάσσων σαφυλάς, καί οἱ Διόνυσον ἐπιστάντα κελεῦσαι τραγῳδίαν ποιεῖν· ὡς δὲ ἦν ἡμέρα, (πείθεσθαι γὰρ ἐθελειν) ῥᾷστα ἤδη πειρώμενος ποιεῖν. οὗτός μὲν ταῦτα ἔλεγεν. Ἐπὶ δὲ τοῦ Νοτίου καλου- 4
μένου τειχους, ὃ τῆς ἀκροπόλεως ἐς τὸ θέατρόν ἐστι τετραμμένον, ἐπὶ τούτου Μεδούσης τῆς Γοργόνος ἐπίχρυσος ἀνάκειται κεφαλὴ, καὶ περὶ αὐτὴν αἰγὶς πεποίηται [4]). ἐν δὲ τῇ κορυφῇ τοῦ θεάτρου σπήλαιόν ἐστιν ἐν ταῖς πέτραις ὑπὸ τὴν ἀκρόπολιν· τρίπους 5
δὲ ἔπεστι καὶ τούτῳ· Ἀπόλλων δὲ ἐν αὐτῷ [5]) καὶ Ἄρτεμις τοὺς παῖδάς εἰσιν ἀναιροῦντες τοὺς Νιόβης. ταύτην τὴν Νιόβην καὶ αὐτὸς εἶδον ἀνελθὼν ἐς τὸν Σίπυλον τὸ ὄρος· ἡ δὲ πλησίον μὲν πέτρα καὶ κρημνός ἐστιν [6]), οὐδὲν παρόντι σχῆμα παρεχόμενος γυναικὸς, οὔτε ἄλλως, οὔτε πενθούσης· εἰ δέ γε πορρωτέρω γένοιο, δεδακρυμένην δόξεις ὁρᾶν καὶ κατηφῆ γυναῖκα.

Ἰόντων δὲ Ἀθήνησιν ἐς τὴν ἀκρόπολιν ἀπὸ τοῦ 6
θεάτρου, τέθαπται Κάλως. τοῦτον τὸν Κάλων [7]) ἀδελ-

3) τὸ ἐν Μαραθῶνι) Cod. V. et Mosc. nec non Aldina dant τὸ Μαραθῶνι. Sic Pausan. saepius habet, uti C. 15. οἱ Μαραθῶνι μαχεσάμενοι.

4) τῆς Γοργόνος — αἰγὶς περ.] Ejusdem donarii in hoc Athenienſ. theatro mentionem facit L. V. C. 12. ἡ αἰγὶς ἡ χρυσῆ ἐπ' αὐτῆς ἡ Γοργώ.

5) ἐν αὐτῷ] ſc. τρίποδι.

6) ἡ δὲ πλησίον — κρημνός ἐς.] Cod. Vind. τῇδε, Mosc. ἥδε — πλησίον ſc. παρόντι, *cum prope adſis* (*in der Nähe*), *nil niſi praeruptum ſaxum eſt.* Conjiciebam πλησίον ἰόντι, ſed nil mutandum, cum ſtatim ſequatur παρόντι. De Niobe ſaxo vid. et L. VIII. C. 2.

7) Κάλων] Copioſius haec narrat Diodor. IV. 76. etc. et pro Κάλως dat Τάλως, uti et Apol-

ἀδελφῆς παῖδα ὄντα καὶ τῆς τέχνης μαθητὴν φονεύσας Δαίδαλος ἐς Κρήτην ἔφυγε· χρόνῳ δὲ ὕστερον ἐς
7 Σικελίαν ἐκδιδράσκει παρὰ Κώκαλον. Τοῦ Ἀσκληπιοῦ [8]) τὸ ἱερὸν ἐς τε τὰ ἀγάλματά ἐστιν, ὁπόσα τοῦ θεοῦ πεποίηται καὶ τῶν παίδων, καὶ ἐς τὰς γραφὰς [9]) θέας ἄξιον. ἔστι δὲ ἐν αὐτῷ κρήνη, παρ' ἣν λέγουσι Ποσειδῶνος παῖδα Ἁλιρρόθιον θυγατέρα Ἄρεως Ἀλκίππην αἰσχύναντα ἀποθανεῖν ὑπὸ Ἄρεως, καὶ δίκην ὑπὸ τούτῳ τῷ φόνῳ γενέσθαι πρῶτον [10]). ἐνταῦθα ἄλλα τε, καὶ Σαυροματικὸς ἀνάκειται θώραξ· ἐς τοῦτόν τις ἰδὼν οὐδὲν ἧσσον Ἑλλήνων τοὺς βαρβάρους
8 φήσει σοφοὺς ἐς τὰς τέχνας εἶναι. Σαυρομάταις γὰρ οὔτε αὐτοῖς σίδηρός ἐστιν ἐρυσσόμενος, οὔτε σφίσιν ἐσάγουσιν· ἄμικτοι γὰρ μάλιστα τῶν ταύτῃ βαρβάρων εἰσίν. πρὸς οὖν τὴν ἀπορίαν ταύτην ἐξεύρηνταί σφισιν· ἐπὶ μὲν τοῖς ὁράσιν αἰχμὰς οἰσυΐνας [11]) ἀντὶ σιδήρου

Apollod. atque alii; quod nomen probant Heyne V. C. ad Apollod. p. 391. et Wesseling. ad Diodor. l. c.

8) Τοῦ Ἀσκληπ.] *Camerar.* legit Τοῦ δὲ Ἀσκλ.

9) ἔς τε τὰ ἀγάλμ. — γραφὰς] Cod. Vind. ἐς τὰ ἀγάλμ. — καὶ τῶν παίδων ἐς τὰς γραφάς.

10) ὑπὸ τούτῳ τῷ φόνῳ γ. πρ.] Idem habes L. I. C. 28. Pro ὑπὸ scribendum esse ἐπὶ, jam *Sylb.* et *Kuhn.* monuerunt. Sic L. I. C. 28. ἐπὶ τούτῳ ὑποσχεῖν δίκας. Praepositiones ὑπὸ, ἀπὸ, ἐπὶ a librariis perperam esse confusas, satis est notum. L. VI. C. 13. pro ἐπὶ τῷ Εὐρίπῳ est ὑπὸ τ. Ε. L. VII. C. 11. pro ἐπὶ τὴν Ῥωμαίων βουλὴν legitur ὑπὸ τ. Ῥ. β. L. VII. C. 21. in f. ὑπὸ τῆς β. pro ἀπὸ τῆς β.

11) οἰσυΐνας] Ex οἰσύα, *salice*, galeas et clypeos confectos esse, uti Suidas h. v. et Pollux L. VII. f. 176 testantur, facile est intellectu; sed pro cuspide et ferro hujus arboris ligno uti, a re ipsa prorsus abhorret. Quare jam Palmer. Exercit. p. 365. emendavit ὀστεΐνας (vel potius ὀστίνας), *osseas*; quae lectio hic et paulo post omnino locum habere debet. Illa quodammodo videri possit latere in mendosa utriusque Codicis lectione οἰσίνας et οἰσύνας.

θήρου Φοροῦσι, τόξα τε κράνινα καὶ ὀϊστοὺς, καὶ σισυίνας ἀσπίδας ἐπὶ τοῖς ὀϊστοῖς· καὶ σειραῖς περιβαλόντες τῶν πολεμίων ὁπόσοις καὶ τύχοιεν [12]) τοὺς ἵππους ἀποστρέψαντες, ἀνατρέπουσι τοὺς ἐνσχεθέντας ταῖς σειραῖς. τοὺς δὲ θώρακας ποιοῦνται τὸν τρόπον τοῦτον· ἵππους πολλὰς ἕκαστος τρέφει, ὡς ἂν οὔτε ἐς ἰδιωτῶν κλήρους τῆς γῆς μεμερισμένης, οὔτε τι φερούσης πλὴν ὕλης ἀγρίας, ἅτε ὄντων νομάδων. ταύταις οὐκ ἐς πόλεμον χρῶνται μόνον, ἀλλὰ καὶ θεοῖς θύουσιν ἐπιχωρίοις, καὶ ἄλλως σιτοῦνται. συλλεξάμενοι δὲ τὰς ὁπλὰς, ἐκκαθάραντές τε καὶ διελόντες, ποιοῦσιν ἀπ' αὐτῶν δρακόντων φολίσιν ἐμφερῆ· ὅσις δὲ οὐκ εἶδέ πω δράκοντα, πίτυός γε εἶδε καρπὸν χλωρὸν ἔτι· ταῖς οὖν ἐπὶ τῷ καρπῷ τῆς πίτυος φαινομέναις ἐντομαῖς εἰκάζων τὸ ἔργον τὸ ἐκ τῆς ὁπλῆς οὐκ ἂν ἁμαρτάνοι. ταῦτα διατρήσαντες καὶ νεύροις ἵππων καὶ βοῶν συῤῥάψαντες χρῶνται θώραξιν οὔτε εὐπρεπείᾳ τῶν Ἑλληνικῶν ἀποδέουσιν οὔτε ἀσθενεστέροις· καὶ γὰρ συσάδην τυπτόμενοι καὶ βληθέντες ἀνέχονται. οἱ δὲ Θώρακες οἱ λινοῖ μαχομένοις μὲν οὐχ ὁμοίως εἰσὶ χρήσιμοι· διϊᾶσι γὰρ καὶ βιαζόμενοι τὸν σίδηρον· θηρεύοντας δὲ ὠφελοῦσιν· ἀναπoκλῶνται γάρ σφισι καὶ λεόντων ὀδόντες καὶ παρδάλεων. Θώρακας δὲ λινοῦς ἰδεῖν ἔν τε ἄλλοις ἱεροῖς ἔστιν ἀνα- 9

κειμέ-

12) περιβαλόντες — ὁπόσοις καὶ τύχοιεν] Pro περιβαλόντες uterque Codex habet περιβάλλοντες. Dein καὶ hic non ſuo loco eſſe, ſtatim videre licet. Si καὶ transponas et ſcribas τύχοιεν καὶ etc., omnia plana, nec *Loeſcheri* emendatione opus erit pro καὶ τ. legentis ἐπιτύχοιεν, nec *Kuhnii* correctione τούς τε ἵππους. Ejusmodi catenis ſeu laqueis Sagartios, gentem Perſarum, in pugnis uſos eſſe, Herodot. refert Pol. f. 85. Statim poſt pro ἐνσχεθέντας uterque Codex exhibet ἀνασχεθέντας.

κειμένους καὶ ἐν Γρυνιαίῳ [13]), ἔνθα Ἀπόλλωνος κάλλιστον ἄλσος δένδρων καὶ ἡμέρων, καὶ ὅσα τῶν ἀκάρπων ὀσμὴν παρέχεταί τινα ἢ θέας ἡδονήν.

CAPUT XXII.

De Hippolyto et Phaedra — Telluris et Cereris Chloës templis — memorandis in vestibulo arcis — Aegei morte — aede variis picturis exornata — Musaeo poëta — Mercurio et Gratiis a Socrate factis.

Μετὰ δὲ τὸ ἱερὸν τοῦ Ἀσκληπιοῦ ταύτῃ πρὸς τὴν ἀκρόπολιν ἰοῦσιν, Θέμιδος ναός ἐστι· κέχωσται δὲ πρὸ αὐτοῦ μνῆμα Ἱππολύτῳ. τοῦ δὲ οἱ βίου τὴν τελευτὴν συμβῆναι λέγουσιν ἐκ κατάρας. δῆλα δὲ, καὶ ὅσοις βαρβάρων γλῶσσαν ἔμαθεν Ἑλλήνων, ὅ τε ἔρως τῆς Φαίδρας, καὶ τῆς τροφοῦ τὸ ἐς τὴν διακονίαν τόλμημα. 2 Ἔστι δὲ καὶ Τροιζηνίοις Ἱππολύτου τάφος· ἔχει δὲ σφισιν ὧδε ὁ λόγος. Θησεὺς ὡς ἔμελλεν ἄξεσθαι Φαίδραν, οὐκ ἐθέλων, εἴ οἱ γένοιντο παῖδες, οὔτε ἄρχεσθαι τὸν Ἱππόλυτον, οὔτε βασιλεύειν ἀντ' αὐτῶν, πέμπει παρὰ Πιτθέα [1]) τραφησόμενον αὐτὸν, καὶ βασιλεύσοντα Τροιζῆνος. χρόνῳ δὲ ὕστερον Πάλλας καὶ οἱ παῖδες ἐπανέστησαν Θησεῖ· τούτους κτείνας ἐς Τροιζῆνα ἔρχεται καθαρσίων εἵνεκα, καὶ Φαίδρα πρώτη ἐνταῦθα εἶδεν Ἱππόλυτον καὶ τὰ ἐς τὸν

13) Γρυνιαίῳ] Variat scriptura Γρύνειος, Γρυνίτιος, Γρυνήιος, a Grynio, oppido Myrinaeorum in Aeolia, ubi templum et oraculum Apollinis fuit. Vid. Strab. L. XIII. p. 923. et Steph. v. Γρύνοι.

1) παρὰ Πιτθέα] Cod. Vind. et M. πρὸς Π.

τὸν θάνατον ἐρασθεῖσα ἐβούλευσε. μυρσίνη δὲ ἐστι Τροιζηνίοις [2]) τὰ φύλλα διὰ πάσης ἔχουσα τετρυπημένα. Φῦναι δὲ οὐκ ἐξ ἀρχῆς αὐτὴν λέγουσιν, ἀλλὰ τὸ ἔργον γεγενῆσθαι τῆς ἐς τὸν ἔρωτα ἀσης καὶ τῆς περόνης, ἣν ἐπὶ ταῖς θριξὶν εἶχεν ἡ Φαίδρα. Ἀφροδίτην δὲ τὴν Πάνδημον [3]), ἐπεί τε Ἀθηναίους [4]) Θησεὺς ἐς μίαν ἤγαγεν ἀπὸ τῶν δήμων πόλιν, αὐτήν τε σέβεσθαι καὶ Πειθὼ κατέστησε. τὰ μὲν δὴ παλαιὰ ἀγάλματα οὐκ ἦν ἐπ' ἐμοῦ· τὰ δὲ ἐπ' ἐμοῦ τεχνιτῶν ἦν οὐ τῶν ἀφανεστάτων. ἔστι δὲ καὶ Γῆς κουροτρόφου, καὶ Δήμητρος ἱερὸν Χλόης [5]). τὰ δὲ ἐς τὰς ἐπωνυμίας ἐστὶν αὐτῶν διδαχθῆναι τοῖς ἱερεῦσιν ἐλθόντα ἐς λόγους. 3

Ἐς δὲ τὴν ἀκρόπολίν ἐστιν εἴσοδος μία· ἑτέραν δὲ οὐ παρέχεται, πᾶσα ἀπότομος οὖσα καὶ τεῖχος ἔχουσα ἐχυρόν. τὰ δὲ προπύλαια λίθου λευκοῦ τὴν ὀροφὴν ἔχει, καὶ κόσμῳ καὶ μεγέθει τῶν λίθων μέχρι γε καὶ ἐμοῦ προεῖχε. τὰς μὲν οὖν εἰκόνας τῶν ἱππέων οὐκ ἔχω σαφῶς εἰπεῖν, εἴτε οἱ παῖδές εἰσιν οἱ Ξενοφῶντος, εἴτε ἄλλως ἐς εὐπρέπειαν πεποιημέναι· τῶν δὲ προπυλαίων ἐν δεξιᾷ Νίκης ἐστὶν ἀπτέρου [6]) ναός. Ἐντεῦθεν ἡ θάλασσά ἐστι σύνοπτος· καὶ 4 5

2) μυρσίνη δέ ἐστι Τροιζηνίοις] Haec eadem leguntur L. II. C. 32. Statim post pro ἀλλὰ τὸ ἔργον in Cod. Vind. est ἀλλὰ διὰ ἔργον.

3) Ἀφροδίτην δ. τ. Πάνδημον] De hac vid. Meurs. ad Lycophr. v. 112.; de triplice Venere Paus. L. IX. C. 16.

4) Ἀθηναίους] Sic scripsi pro vulgata Ἀθηναίοις, cui dativo hic nullus esse potest locus.

5) Γῆς κ. — Χλόης] De Telluris cultu instituto vid. Suid. v. κουροτρόφος. Cereri Χλόης nomen est a segete virente. Vid. Athen. L. XIV. p. 618. et ibi Casaub.

6) Νίκης — ἀπτέρου] Cur sine alis haec Victoria fuerit, declarat L. III. C. 15.; eandem tangit L. V. C. 26. Victoria non alata etiam in artis operibus

καὶ ταύτῃ ῥίψας Αἰγεὺς ἑαυτὸν, ὡς λέγουσιν, ἐτελεύτησεν. ἀνήγετο μὲν γὰρ ἡ ναῦς μέλασιν ἱστίοις ἡ τοὺς παῖδας φέρουσα ἐς Κρήτην· Θησεὺς δ', (ἔπλει γὰρ τόλμης τι ἔχων ἐς τὸν Μίνω καλούμενον ταῦρον) πρὸς τὸν πατέρα εἶπε χρήσεσθαι τοῖς ἱστίοις λευκοῖς, ἣν ὀπίσω πλέῃ τοῦ ταύρου κρατήσας· τούτων λήθην ἔσχεν Ἀριάδνην ἀφηρημένος. ἐνταῦθα Αἰγεὺς ὡς εἶδεν ἱστίοις μέλασι τὴν ναῦν κομιζομένην, οἷα τὸν παῖδα τεθνάναι δοκῶν, ἀφεὶς αὑτὸν διαφθείρεται· καί οἱ παρὰ Ἀθηναίοις ἐστὶ καλούμενον ἡρῷον Αἰγέως.

6 Ἔστι δὲ ἐν ἀριστερᾷ τῶν προπυλαίων οἴκημα ἔχον γραφάς· ὁπόσαις δὲ μὴ καθέστηκεν ὁ χρόνος αἴτιος ἀφανέσιν εἶναι, Διομήδης ἦν [7]) καὶ Ὀδυσσεὺς, ὁ μὲν ἐν Λήμνῳ τὸ Φιλοκτήτου τόξον, ὁ δὲ τὴν Ἀθηνᾶν ἀφαιρούμενος ἐξ Ἰλίου. ἐνταῦθα ἐν ταῖς γραφαῖς ἐστιν Ὀρέστης Αἴγισθον φονεύων, καὶ Πυλάδης τοὺς παῖδας τοῦ Ναυπλίου βοηθοὺς ἐλθόντας Αἰγίσθῳ. τοῦ δὲ Ἀχιλλέως τάφου πλησίον μέλλουσά ἐστι σφάζεσθαι Πολυξένη [8]). Ὁμήρῳ δὲ εὖ μὲν παρείθη τό γ' ὠμὸν οὕτως ἔργον· εὖ δέ μοι φαίνεται ποιήσας Σκῦρον ὑπὸ Ἀχιλλέως ἁλοῦσαν [9]), οὐδὲν ὁμοίως καὶ ὅσοι λέγουσιν ὁμοῦ ταῖς παρθένοις Ἀχιλλέα ἔχειν ἐν Σκύρῳ δίαιταν, ἃ δὴ καὶ Πολύγνωτος ἔγραψεν. ἔγραψε δὲ καὶ πρὸς τῷ ποταμῷ ταῖς ὁμοῦ Ναυσικάᾳ πλυνούσαις ἐφισά-

est obvia. Vid. Winkelm. *Descript. des pierr. gr. de Mr. Stosch*, p. 182.

7) ὁπόσαις δὲ μὴ καθέστηκεν — Διομήδης ἦν etc.] His antea prorsus perverse interpunctis et versis rectum sensum restitui: e *quibus illae picturae, quas tempus, uti solet, non reddidit obscuras, fuere Diomedes etc.*

8) Πολυξένη] Vid. Lycophr. v. 323. et ibi Schol. ac Meurs.

9) Σκῦρον — ἁλοῦσαν] Vid Il. I. v. 664.

ἐφισαμενον Ὀδυσσέα κατὰ τὰ αὐτὰ, καθὰ δὴ καὶ Ὁμηρος ἐποίησε [10]). γραφαὶ δέ εἰσι καὶ ἄλλαι καὶ Ἀλκιβιάδης. ἵππων δε οἱ νίκης τῆς ἐν Νεμέα ἐστὶ σημεῖα ἐν τῇ γραφῇ. καὶ Περσεύς ἐστιν ἐς Σέριφον κομιζόμενος, Πολυδέκτῃ φέρων τὴν κεφαλὴν τὴν Μεδούσης. καὶ τὰ μὲν ἐς Μέδουσαν οὐκ εἰμὶ πρόθυμος ἐν τοῖς Ἀττικοῖς σημῆναι [11]). Ἐπὶ δὲ τῶν γραφῶν παρέντι τὸν παῖδα τὸν τὰς ὑδρίας φέροντα, καὶ τὸν παλαιστὴν, ὃν Τιμαίνετος ἔγραψεν, ἐστὶ Μουσαῖος. ἐγὼ δὲ ἔπη μὲν ἐξελεξάμην, ἐν οἷς ἐστι πέτεσθαι Μουσαῖον ὑπὸ Βορέου δῶρον, δοκεῖν δέ μοι, πεποίηκεν αὐτὰ Ὀνομάκριτος [12]), καὶ ἔστιν οὐδὲν Μουσαίου βεβαίως, ὅτι μὴ μόνον εἰς Δημήτερα ὕμνος Λυκομήδει [13]). Κατὰ δὲ τὴν ἔσοδον αὐτὴν [14]) ἤδη τὴν ἐς ἀκρόπολιν 8

γ431–404. 7

F 2 Ἑρμῆν,

10) Ὁμηρος ἐποίησε] Vid. Odyss. z. ab initio.

11) τὴν Μεδούσης. — σημῆναι] Pluribus de his egit L. II. C. 21. Pro τὴν Μεδούσης Codex Mosc. habet τῆς Μεδ.

12) Ὀνομάκριτος] Atheniensis, qui Pisistratidarum et Xerxis tempore vixit. Vid. Herodot. VII. 1. 6. et ibi Valken. Ex iis poëtis fuit, quorum carmina ad Orpheum referebantur; illius ἔπη aliquoties excitat Pausanias.

(560)

13) Λυκομήδει] Cod. Mosc. dat Λυκομήδους. Scribendum autem esse Λυκομήδαις, non solum patet ex L. IV. C. 1. ὕμνος Μουσαίου Λυκομήδαις ποιηθεὶς ἐς Δήμητρα, sed etiam ex L. IX. C. 27., ubi Λυκομήδει pro Λυκομήδαι. et L. IX. C. 30. in fine, ubi Λυκομήδαι. Ex quibus locis colligere licet istos Lycomedas priscam Atticam gentem seu domum fuisse, cui hymnos in Cereris sacris canendi munus impositum fuerat. Inde Plutarch. vit. Themist. s. 1. Themistoclis genus ad Lycomedas revocat. Hesych. Λυκομῆδαι, γένος Ἀθηναίων. Ad senilem et venerandum habitum Lycomedarum forte referri possit persona seu larva senis comici ὁ Λυκομήδειος appellata, de qua videndus Pollux IV. s. 143. et 145. Vid. etiam Meurs. Attic. lect. II. 19 p. 92.

14) ἔσοδον αὐτὴν] In Cod. Vind. deest αὐτήν.

Ἑρμῆν, ὃν προπύλαιον ὀνομάζουσι, καὶ Χάριτας Σωκράτη ποιῆσαι τὸν Σωφρονίσκου λέγουσιν [15]), ᾧ σοφῷ γενέσθαι μάλιστα ἀνθρώπων ἐστὶν ἡ Πυθία μάρτυς [16]), ὃ μηδὲ Ἀνάχαρσιν ἐθέλοντα ὅμως καὶ δι' αὐτὸ ἐς Δελφοὺς ἀφικόμενον προσεῖπεν.

CAPUT XXIII.

De ſeptem ſapientibus Graeciae — Hippia et Leaena — Diitrephe — Silenis et Satyrorum inſulis — memorandis in arce Athenarum et inter ea equo ligneo — Thucydide — Phormione.

Ἕλληνες δὲ ἄλλα τε λέγουσι, καὶ ἄνδρας ἑπτὰ γενέσθαι σοφούς [1]). τούτων καὶ τὸν Λέσβιον τύραννον καὶ Περίανδρον εἶναί φασι τὸν Κυψέλου· καί τοι Περιάνδρου Πεισίστρατος καὶ ὁ παῖς Ἱππίας φιλάνθρωποι μᾶλλον καὶ σοφώτεροι τά τε πολεμικὰ ἦσαν, καὶ ὅσα ἦεν ἐς κόσμον τῶν πολιτῶν, ἐς ὃ διὰ τὸν Ἱππάρχου θάνατον Ἱππίας ἄλλα τε ἐχρήσατο
2 θυμῷ, καὶ ἐς γυναῖκα ὄνομα Λέαιναν. Ταύτην γὰρ, ἐπεί τε ἀπέθανεν Ἵππαρχος (λέγω δὲ οὐκ ἐς συγγραφὴν πρότερον ἥκοντα, πιστὰ δὲ ἄλλως Ἀθηναίων τοῖς πολλοῖς), Ἱππίας εἶχεν ἐν αἰκίᾳ, ἐς ὃ διέφθειρεν, οἵα ἑταίραν Ἀριστογείτονος ἐπισάμενος οὖσαν, καὶ τὸ βούλευμα οὐδαμῶς ἀγνοῆσαι δοξάζων. ἀντὶ δὲ τούτων, ἐπεὶ τυραννίδος ἐπαύθησαν οἱ Πεισιστρατίδαι, χαλκῇ Λέαινα

15) Χάριτας Σωκράτη — λέγουσιν.] Idem habet L. IX C. 35. in fine, et Diog. Laërt. II. f. 19., ubi vid. Menag.

16) ᾧ σοφῷ — ἡ Πυθία μάρτυς] Vid. Diog. Laërt. II. f. 37. et ibi Menag; de Anacharſi eundem L. I. f. 101.

1) ἑπτὰ γ. σοφούς] Eorum catalogum vid. L. X. C. 24. ab init. et apud Diog. Laërt. I. f. 13.

Λέαινα Ἀθηναίοις ἐστὶν ἐς μνήμην τῆς γυναικὸς, παρὰ δὲ αὐτὴν ἄγαλμα Ἀφροδίτης, ὃ Καλλίου τε φασὶν εἶναι ἀνάθημα καὶ ἔργον Καλάμιδος. Πλησίον δέ ἐστι Διϊτρεφοῦς χαλκοῦς ἀνδριὰς οἴσοῖς βεβλημένος. Οὗτος ὁ Διϊτρεφὴς ἄλλα τε ἔπραξεν, ὁπόσα λέγουσιν 3
Ἀθηναῖοι, καὶ Θρᾷκας μισθωτοὺς [2]) ἀφικομένους ὕστερον, ἢ Δημοσθένης ἐς Συρακούσας ἐξέπλευσε, τούτους, ὡς ὑστέρησαν, ὁ Διϊτρεφὴς ἀπῆγεν ὀπίσω. καὶ δὴ κατὰ τὸν Χαλκιδικὸν ἔσχεν Εὔριπον, ἔνθα Βοιωτῶν ἐν μεσογαίᾳ πόλις Μυκαλησσὸς [3]) ἦν· ταύτην ἐσαναβὰς ἐκ θαλάσσης ὁ Διϊτρεφὴς εἶλε· Μυκαλησσίων δὲ οὐ μόνον τὸ μάχιμον οἱ Θρᾷκες, ἀλλὰ καὶ γυναῖκας ἐφόνευσαν καὶ παῖδας. μαρτυρεῖ δέ μοι· Βοιωτῶν γὰρ ὅσους ἀνέσησαν Θηβαῖοι, ᾠκοῦντο αἱ πόλεις ἐπ᾽ ἐμοῦ, διαφυγόντων μετὰ τὴν ἅλωσιν τῶν ἀνθρώπων [4]). εἰ δὲ καὶ Μυκαλησσίοις οἱ βάρβαροι μὴ πᾶσιν ἀποκτείνοντες ἐπεξῆλθον, ὕστερον ἂν τὴν πόλιν ἀπέλαβον [5]) οἱ λειφθέντες. Τοσοῦτον μὲν 4
παρέσχη [6]) μοι θαῦμα ἐς τὴν εἰκόνα τοῦ Διϊτρεφοῦς, ὅτι οἴσοῖς ἐβέβλητο, Ἕλλησιν ὅτι μὴ Κρησὶν οὐκ ἐπιχώριον ὂν τοξεύειν. Λοκροὺς γὰρ τοὺς Ὀποντίους

2) μισθωτοὺς] Sic cum Sylb. ſcripſi pro vulgata μισθῷ τοὺς, loquendi uſu ita poſtulante. De re ipſa vid. Thucyd. L. VII. C. 27. 29.

3) Μυκαλησσὸς] Sic hic et in ſequentibus poſui pro Μυκαλησσὸς etc., utroque Codice, Strabone et Stephano ita ſcribentibus.

4) Βοιωτῶν γὰρ ὅσους — μετὰ τὴν ἅλ. τῶν ἀνθρ.] *Boeotiorum urbes, quas Thebani everterant, mea aetate omnes incolebantur, ab iis ſcilicet, qui poſt illud excidium profugerant.* In utroque Cod. pro μετὰ τὴν ἅλ. eſt ἐπὶ τ. ἅλ.; *Kuhn.* vero μετὰ in παρὰ mutandum cenſet.

5) ἂν τὴν πόλιν ἀπέλαβον] Cod. Vind. αὖ τ. π. ἀνέλαβον.

6) παρέσχη] Cod. uterque exhibet πάρεσι.

ὁπλιτεύοντας ἤδη κατὰ τὰ Μηδικὰ ἴσμεν, οὓς Ὅμηρος [7]) ἐποιησεν, ὡς Φερόμενοι τόξα καὶ σφενδόνας ἐς Ἴλιον ἐλθοιεν. οὐ μὴν οὐδὲ Μαλιεῦσι παρεμεινε μελέτη τῶν τόξων· δοκῶ δὲ οὔτε πρότερον ἐπίστασθαι σφᾶς, πρὶν ἢ Φιλοκτήτην, παύσασθαί τε οὐ διὰ μικροῦ. Τοῦ δὲ Διϊτρεφοῦς πλησίον (τὰς γὰρ εἰκόνας τὰς ἀφανεστέρας γράφειν οὐκ ἐθέλω) θεῶν ἀγαλμά ἐστιν Ὑγίας τε [8]), ἣν Ἀσκληπιοῦ παῖδα εἶναι λέγουσι, καὶ Ἀθηνᾶς ἐπίκλησιν καὶ ταύτης Ὑγιείας. Ἔστι δὲ λίθος οὐ μέγας, ἀλλ' ὅσον καθίζεσθαι μικρὸν ἄνδρα· ἐπὶ τούτῳ λέγουσιν, ἡνίκα Διόνυσος ἦλθεν ἐς τὴν γῆν, ἀναπαύσασθαι τὸν Σειληνόν [9]). τοὺς γὰρ ἡλικίᾳ τῶν Σατύρων προήκοντας ὀνομάζουσι Σειληνούς. περὶ δὲ Σατύρων, οἵ τινες εἰσὶν, ἑτέρου πλέον ἐθέλων ἐπίστασθαι πολλοῖς αὐτῶν τούτων εἵνεκα ἐς λόγους ἦλθον. Ἔφη δὲ Εὔφημος Καρ [10]) ἀνὴρ πλέων ἐς Ἰταλίαν, ἁμαρτεῖν ὑπὸ ἀνέμων τοῦ πλοῦ καὶ ἐς τὴν ἔξω θάλασσαν, ἐς ἣν οὐκέτι πλέουσιν, ἐξενεχθῆναι· νήσους δὲ εἶναι μὲν ἐρήμους [11]) πολλάς, ἐν δὲ ταύταις οἰκεῖν ἄνδρας ἀγρίους· ἄλλαις δὲ οὐκ ἐθέλειν νήσοις προσίσχειν τοὺς ναύτας, οἷα πρότερόν τε προσχόντας καὶ τῶν ἐνοίκων [12]) οὐκ ἀπείρως ἔχοντας· βιασθῆναι δ' οὖν καὶ τότε· ταύτας καλεῖ-

7) οὓς Ὅμηρος] Il. N. v. 686. 707. sq

8) Ὑγίας τε] Cod. Mosc hic et paulo post pro Ὑγιείας habet Ὑγείας.

9) Σειληνόν] In utroque Codice semper Σιλ. Ascribitur. De Silenis et Satyris multa congesserunt interpretes ad Ael. Var. H. L. III. 40.

10) Κὰρ] Cod Vind. καὶ, quod ferri potest; Cod. M. vero dat γὰρ, quod vulgatam tuetur.

11) μὲν ἐρήμους] Cod. Mosc. post μὲν inserit ἔλεγεν.

12) ἐνοίκων] Uterque Cod. ἐνοικούντων, et C. Mosc. paullo post pro ἀνδρους habet καπυρούς.

καλεῖσθαι μὲν ὑπὸ τῶν ναυτῶν Σατυρίδας, εἶναι δὲ τοὺς ἐνοικοῦντας καὶ πυῤῥοὺς, καὶ ἵππων οὐ πολὺ μείους ἔχειν ἐπὶ τοῖς ἰσχίοις οὐράς· τούτους, ὡς ἤσθοντο, καταθραμόντας ἐπὶ τὴν ναῦν φωνὴν μὲν οὐδεμίαν ἱέναι, ταῖς δὲ γυναιξὶν ἐπιχειρεῖν ταῖς ἐν τῇ νηΐ· τέλος δὲ δείσαντας τοὺς ναύτας βάρβαρον γυναῖκα ἐκβαλεῖν ἐς τὴν νῆσον· ἐς ταύτην οὖν ὑβρίζειν τοὺς Σατύρους, οὐ μόνον ἧ καθέσηκεν, ἀλλὰ καὶ τὸ πᾶν ὁμοίως σῶμα.

Καὶ ἄλλα ἐν τῇ Ἀθηναίων ἀκροπόλει θεασάμενος οἶδα· Λύκιον τοῦ Μύρωνος χαλκοῦν παῖδα [13]), ὃς τὸ περιῤῥαντήριον ἔχει, καὶ Μύρωνος Περσέα τὸ ἐς Μέδουσαν ἔργον εἰργασμένον. Καὶ Ἀρτέμιδος ἱερόν ἐστι Βραυρωνίας, Πραξιτέλους μὲν τέχνη τὸ ἄγαλμα, τῇ θεῷ δ' ἔστιν ἀπὸ Βραυρῶνος δήμου τὸ ὄνομα· καὶ τὸ ἀρχαῖον ξόανόν ἐστιν ἐν Βραυρῶνι Ἄρτεμις, ὡς λέγουσιν, ἡ Ταυρική. Ἵππος δὲ ὁ καλούμενος Δούριος [14]) ἀνάκειται χαλκοῦς. καὶ ὅτι μὲν τὸ ποίημα τὸ

8

9

10

13) Λύκιον τοῦ M. χ. παῖδα] *Amas.* male vertit: *Lycium Myronis aeneum puerum.* Lycium enim Myronis filium fuisse, ex Pausan. L. V. C. 22. et ex Athen. L. XI. C. 11. p. 486. patet; utrumque vero non ex Lycia, sed Eleutheris oriundum fuisse, Plin. testatur L. XXIV. C. 8. p. 656. et Athen. l. c., ubi vid. Casaub. Lycium quoque patris artem praeclare exercuisse, opera declarant a Paus. L. V. C. 22. memorata et Athen. l. c. Quare illa sic potius interpretanda essent: *vidi Lycium Myronis filium, aeneum puerum etc.* At cum illud mirum videri debeat, hujus Lycii pueri signum in arce Athenarum et cum περιῤῥαντηρίῳ potissimum positum esse, pro Λύκιον mihi potius scribendum videtur Λυκίου. Sic enim omnia optime se habent: *Vidi Lycii Myronis filii* (sc. *opus*) *puerum aeneum — et Persea Myronis ipsius opus etc.*

14) Δούριος] Variat scriptura. L. II. C. 29. est τὸν ἵππον τὸν Δούρειον. Statim post Lambin. ad Horat. pro τὸ ποίημα τὸ legendum putat τὸ παίγμα τοῦτο.

τὸ Ἐπειοῦ μηχάνημα ἦν ἐς διάλυσιν του τείχους, οἶδεν, ὅτις μὴ πᾶσαν ἐπιφέρει τοῖς Φρυξὶν εὐήθειαν· λέγεται δὲ ἐς τε ἐκεῖνον τὸν ἵππον, ὡς τῶν Ἑλλήνων ἔνδον ἔχοι [15]) τοὺς ἀρίστους· καὶ δὴ καὶ τοῦ χαλκοῦ τὸ σχῆμά ἐστι κατὰ ταυτὰ, καὶ Μενεσθεὺς καὶ Τεῦκρος ὑπερκύπτουσιν ἐξ αὐτοῦ, προσέτι δὲ καὶ οἱ παῖδες οἱ
11 Θησέως. Ἀνδριάντων δὲ ὅσοι μετὰ τὸν ἵππον ἑστήκασιν, ἐπὶ Χαρίνου [16]) μὲν ὁπλιτοδρομεῖν ἀσκήσαντος τὴν εἰκόνα ἐποίησε Κριτίας· Οἰνοβίῳ δὲ ἔργον ἐστὶν εἰς Θουκυδίδην τὸν Ὀλόρου χρηστόν· ψήφισμα γὰρ ἐνίκησεν Οἰνόβιος κατελθεῖν ἐς Ἀθήνας Θουκυδίδην· καί οἱ δολοφονηθέντι, ὡς κατήει [17]), μνῆμά ἐστιν οὐ πόρρω
12 πυλῶν Μελιτίδων. Τὰ δὲ ἐς Ἑρμόλυκον τὸν παγκρατιαστὴν καὶ Φορμίωνα τὸν Ἀσωπίχου, γραψάντων ἑτέρων, παρίημι· ἐς δὲ Φορμίωνα τοσόνδε ἔχω πλέον γράψαι. Φορμίωνι γὰρ τοῖς ἐπιεικέσιν Ἀθηναίων ὄντι ἐμοίῳ, καὶ ἐς προγόνων δόξαν οὐκ ἀφανεῖ, συνέβαινεν ὀφείλειν χρέα· ἀναχωρήσας οὖν ἐς τὸν Παιανιέα δῆμον, ἐνταῦθα εἶχε δίαιταν, ἐς ὃ ναύαρχον αὐτὸν Ἀθηναίων αἱρουμένων, ἐκπλεῦσαι οὐκ ἔφασκεν· ὀφείλειν τε γὰρ καί οἱ, πρὶν ἂν ἐκτίσῃ, πρὸς τοὺς στρατιώτας οὐκ εἶναι παρέχεσθαι φρόνημα [18]). οὕτως Ἀθη-

15) ἔχοι] Cod. Vind. ἔχει.

16) ἐπὶ Χαρίνου] Cod Mosc. ἐπιχαρίνου continua scriptura; *Amat Lycharmi* habet. *Kuhn.*, qui vulgatam tuetur, interpretatur: *Archonte Charino*, seu *sub magistratu Charini*. Sed quid hic Archontis nomen sibi velit, nomine illius, cui signum positum memoratur, omisso, equidem non perspicio. Quare Ἐπιχαρίνου vel Ἐπιχάρμου legendum esse haud dubito.

17) κατήει] Ex Cod. Mosc. pro vulgata καθήει.

18) παρέχεσθαι φρόνημα] *non sibi licere animum fortem praebere.* Sic eadem dictio est C. 25. φρόνημα παρασχόμενος.

Ἀθηναῖοι (πάντως γὰρ ἐβουλεύοντο [19]) ἄρχειν Φορμίωνα) τὰ χρέα, ὁπόσοις ὤφειλε, διαλύουσιν.

CAPUT XXIV.

De Minerva Silenum Marſyam caedente, aliisque ſignis deorum et hominum in Acropoli — cultu Jovis Poliei — templo Parthenone — Gryphibus et Arimaſpis — Minervae ſimulacro in Parthenone — Apolline Parnopio.

Ἐνταῦθα Ἀθηνᾶ πεποίηται τὸν Σειληνὸν Μαρσύαν παίουσα [1]), ὅτι δὴ τοὺς αὐλοὺς ἀνέλοιτο, ἐρριφθαι σφᾶς τῆς θεοῦ βουλομένης. Τούτων πέραν, ὧν εἴρηκα, 2
ἐστὶν ἡ λεγομένη Θησέως μάχη πρὸς τὸν Ταῦρον τὸν Μίνω καλούμενον, εἴτε ἀνὴρ εἴτε θηρίον ἦν, ὁποῖον κεκράτηκεν ὁ λόγος· τέρατα γὰρ πολλῷ καὶ τοῦδε θαυμασιώτερα, καὶ καθ' ἡμᾶς ἔτικτον γυναῖκες. κεῖται δὲ καὶ Φρίξος ὁ Ἀθάμαντος ἐξενηνεγμένος ἐς Κόλχους ὑπὸ τοῦ κριοῦ, καὶ θύσας δὲ αὐτὸν ὅτῳ δὴ θεῷ, ὡς δὲ εἰκάσαι τῷ Λαφυστίῳ [2]) καλουμένῳ παρὰ Ὀρχομενίοις, τοὺς μηροὺς κατὰ νόμον ἐκτεμὼν τῶν Ἑλλήνων, ἐς αὐτοὺς καιομένους ὁρᾷ. κεῖνται δὲ ἐξῆς ἄλλαι τε εἰκόνες καὶ Ἡρακλέους· ἄγχει δὲ, ὡς λόγος ἔχει, τοὺς δράκοντας. Ἀθηνᾶ τέ ἐστιν ἀνιοῦσα ἐκ τῆς κεφαλῆς τοῦ Διός. ἔστι δὲ καὶ ταῦρος ἀνάθημα τῆς

19) ἐβουλεύοντο] *Kuhn.* conjicit ἐβούλοντο. Sed nihil mutandum, et interpretandum *decreverunt, ſtatuerunt.*

1) Ἀθηνᾶ — Μαρσύαν π.] Diverſus a vulgato hic mythus. Conf. Herodot. L. VII. ſ. 26. et Heyne V. C. ad Apollod. p. 46.

2) Λαφυστίῳ] a Laphyſtio, monte Boeotiae. Vid Pauſ. L. IX. C. 34. et Heſych. h. v. Conf. Schol. ad Apoll. II. v. 655. et Herodot. VII. ſ. 197.

βουλῆς τῆς ἐν Ἀρείῳ πάγῳ· ἐφ' ὅτῳ δὴ ἀνέθηκεν ἡ
3 βουλὴ, πολλὰ ἂν τις ἐθέλων εἰκάζοι. Λέλεκται δέ μοι καὶ πρότερον, ὡς Ἀθηναίοις περισσότερόν τι ἢ τοῖς ἄλλοις ἐς τὰ θεῖά ἐστι σπουδῆς. πρῶτοι μὲν γὰρ Ἀθηνᾶν ἐπωνόμασαν Ἐργάνην [3]), πρῶτοι δ' ἀκώλους Ἑρμᾶς [4])· ὁμοῦ δέ σφισιν ἐν τῷ ναῷ Σπουδαίων Δαίμων ἐστίν. ὅσις δὲ τὰ σὺν τέχνῃ πεποιημένα ἐπίπροσθεν τίθεται τῶν ἐς ἀρχαιότητα ἡκόντων, καὶ τάδε ἐστὶν οἱ θεάσασθαι. κράνος ἐστὶν ἐπικείμενος ἀνῆρ [5]), Κλεοίτου, καί οἱ τοὺς ὄνυχας ἀργυροῦς ἐνεποίησεν ὁ Κλεοίτας. ἔστι δὲ καὶ Γῆς ἄγαλμα, ἱκετευούσης ὗσαί οἱ τὸν Δία [6])· εἴτε αὐτοῖς ὄμβρου δεῆσαν Ἀθηναίοις, εἴτε καὶ τοῖς πᾶσιν Ἕλλησι συμβὰς αὐχμός. ἐνταῦθα καὶ Τιμόθεος ὁ Κόνωνος, καὶ αὐτὸς κεῖται Κόνων. Πρόκνην δὲ τὰ ἐς τὸν παῖδα βεβουλευμένην αὐτήν τε καὶ τὸν Ἴτυν ἀνέθηκεν Ἀλκαμένης. πεποίηται δὲ καὶ τὸ φυτὸν τῆς ἐλαίας Ἀθηνᾶ,
4 καὶ κῦμα ἀναφαίνων Ποσειδῶν. Καὶ Διός ἐστιν ἄγαλμα τό τε Λευχάρους, καὶ ὁ ὀνομαζόμενος Πολιεύς· ᾧ τὰ καθεσηκότα εἰς τὴν θυσίαν γράφων τὴν ἐπ' αὐτοῖς λεγομένην αἰτίαν οὐ γράφω. τοῦ Διὸς τοῦ Πολιέως κριθὰς καταθέντες ἐπὶ τὸν βωμὸν μεμιγμένας πυροῖς σύδεμίαν ἔχουσι φυλακήν· ὁ βοῦς δὲ, ὃν

3) Ἐργάνην] *Induſtriae et opificii praeſidem.* Inde Minervae Erg. gallus ſacer, L. VI. C. 26; Plutus adſtat L. IX. C. 6. in fine.

4) ἀκώλους Ἑρμᾶς] ſcil. ἐπωνόμασαν. Ad ſigna ἀκώλους referendum videtur; nec tamen prorſus abſurdum ſit, de hominibus pedibus mutilatis hic cogitare.

5) κράνος — ἐπικείμενος ἀνὴρ] *Amaſ.* prorſus male: *galeae innitens.* Interpretandum: (cum) *galea capiti impoſita.* L. V. C. 10. Ὀνόμακος ἐπικείμενος κράνει τῇ κεφαλῇ, et ſic ſaepius in Pauſ.

6) τὸν Δία] Inde Ὄμβριος dictus L. I. C. 32. et Ὑέτιος L. II. C. 19. in fine.

ὃν ἐς τὴν θυσίαν ἑτοιμάσαντες φυλάσσουσιν, ἅπτεται τῶν σπερμάτων φοιτῶν ἐπὶ τὸν βωμόν· καλοῦσι δέ τινα τῶν ἱερέων βουφόνον· καὶ ταύτῃ [7]) τὸν πέλεκυν ῥίψας (οὕτω γάρ ἐστιν οἱ νόμος) οἴχεται φεύγων· οἱ δὲ ἅτε τὸν ἄνδρα ὡς ἔδρασε [8]) τὸ ἔργον οὐκ εἰδότες, ἐς δίκην ὑπάγουσι [9]) τὸν πέλεκυν. ταῦτα μὲν τρόπον τὸν εἰρημένον δρῶσιν.

Ἐς δὲ τὸν ναὸν, ὃν Παρθενῶνα ὀνομάζουσιν, ἐς 5
τοῦτον ἐσιουσιν, ὁπόσα ἐν τοῖς καλουμενοις ἀετοῖς [10]) κεῖται, πάντα ἐς τὴν Ἀθηνᾶς ἔχει γένεσιν. τὰ δὲ ὄπισθεν ἡ Ποσειδῶνος πρὸς Ἀθηναῖν ἐστιν ἔρις ὑπὲρ τῆς γῆς. αὐτὸ δὲ ἔκ τε ἐλέφαντος τὸ ἄγαλμα καὶ χρυσοῦ πεποίηται. μέσῳ μὲν οὖν ἐπίκειται οἱ τῷ κράνει Σφιγγὸς εἰκών· (ἃ δὲ ἐς τὴν Σφίγγα λέγεται, γράψω προελθόντος ἐς τὰ Βοιωτικά [11]) μοι τοῦ λόγου) καθ' ἑκάτερον δὲ τοῦ κράνους γρῦπές εἰσιν ἐπειργασμένοι. Τούτους τοὺς γρῦπας ἐν τοῖς ἔπεσιν Ἀριστέας ὁ Προ- 6
κοννήσιος [12]) μάχεσθαι περὶ τοῦ χρυσοῦ φησιν Ἀριμασποῖς

7) κ. ταύτῃ etc.] *Amaſ. in illum jaculatus.* Plenius iſta habes L. I. C 28 in fine. Unde *Sylb.* conjicit ante κ. ταύτῃ aliquid deeſſe, forte: οὗτος ἐπὶ τοῦ βωμοῦ τὸν βοῦν κτείνας, καὶ etc. Sed Pauſ interdum amat ejusmodi duriorem brevitatem, ita ut hic illa ex voce βουφόνον ſint intelligenda.

8) ὡς ἔδρασε] *Kuhn.* mavult ὃς, uti et *Amaſ.* habet.

9) ὑπάγουσι] Cod. Vind. ἐπάγουσι.

10) τοῖς καλ. ἀετοῖς] De his *pinnaculis faſtigatis triangularibus* vid. Valken. Diatr. in Eurip. fragm. p. 214. 215. et Winkelm. *von der Bauk. der Alt.* p. 36. 37.

11) γράψω — Βοιωτικά] Vid. L. IX. C. 26.

12) τοῖς ἔπεσιν Ἀριστέας ὁ Προ.] Idem poëta, qui ante Homerum vixiſſe ejusque praeceptor perhibebatur, memoratur L. V. C. 7., ubi pro Ἀριταῖος ſcribendum Ἀριστέας. Plura de eo vid. apud Herodot. L. IV. ſ. 13—15. et Strab. L. I. p. 40. et XIII. p. 881., ubi illius carmina ἔπη Ἀριμασπεῖα dicta fuiſſe

μασποῖς ὑπὲρ Ἰσσηδόνων· τὸν δὲ χρυσὸν, ὃν φυλάσσουσιν οἱ γρῦπες, ἀνιέναι τὴν γῆν· εἶναι δὲ Ἀριμασποὺς μὲν ἄνδρας μονοφθάλμους πάντας ἐκ γενετῆς· γρῦπας δὲ θηρία λέουσιν εἰκασμένα, πτερὰ δὲ ἔχειν καὶ κόμα ἀετοῦ. καὶ γρυπῶν μὲν πέρι τοσαῦτα
7 εἰρήσθω. Τὸ δὲ ἄγαλμα τῆς Ἀθηνᾶς ὀρθόν ἐστιν ἐν χιτῶνι ποδήρει, καὶ οἱ κατὰ τὸ στέρνον ἡ κεφαλὴ Μεδούσης ἐλεφαντός ἐστιν ἐμπεποιημένη, καὶ Νίκη τε ὅσον τεσσάρων πηχῶν· ἐν δὲ τῇ χειρὶ δόρυ ἔχει, καὶ οἱ πρὸς τοῖς ποσὶν ἀσπίς τε κεῖται, καὶ πλησίον τοῦ δόρατος δράκων ἐστίν· εἴη δ' ἂν Ἐριχθόνιος οὗτος ὁ δράκων· ἔστι δὲ τῷ βάθρῳ τοῦ ἀγάλματος ἐπειργασμένα [13]) Πανδώρας γένεσις. πεποίηται δὲ Ἡσιόδῳ τε καὶ ἄλλοις, ὡς ἡ Πανδώρα γένοιτο αὕτη γυνὴ πρώτη· πρὶν δὲ ἢ γενέσθαι Πανδώραν, οὐκ ἦν πω γυναικῶν γένος. ἐνταῦθα εἰκόνα ἰδὼν οἶδα Ἀδριανοῦ βασιλέως μόνου, καὶ κατὰ τὴν εἴσοδον Ἰφικράτους
8 ἀποδειξαμένου πολλά τε καὶ θαυμαστὰ ἔργα. Τοῦ ναοῦ ἔστι πέραν Ἀπόλλων χαλκοῦς, καὶ τὸ ἄγαλμα λέγουσι Φειδίαν ποιῆσαι· Παρνόπιον [14]) δὲ καλοῦσιν, ὅτι σφίσι παρνόπων βλαπτόντων τὴν γῆν ἀποστρέψειν ὁ θεὸς εἶπεν ἐκ τῆς χώρας· καὶ ὅτι μὲν ἀπέστρεψεν ἴσασι, τρόπῳ δὲ οὐ λέγουσι ποίῳ. τρὶς δὲ αὐτὸς ἤδη πάρνοπας ἐκ Σιπύλου τοῦ ὄρους οὐ κατὰ ταυτὰ οἶδα

fuisse legimus. Quaedam ex eo exhibet Gellius Noct. att. IX. C. 5. De Arimaspis et Gryphibus vid. Herodot L III. f. 116, Plin. L. VII C 2. ab init. et Olear. ad Philostrati vit. Apoll. p 134.

13) ἐπειργασμένα] Cod Vind. ἐπειργασμένη. De Pandora locus Hesiodi est ἔργ. καὶ ἡμ. v. 60 — 81.

14) Παρνόπιον] Ejus mentio quoque fit in Strabone L XIII. p. 912. Suid. πάρνοψ, ἀκρίδος εἶδος, οἱ δὲ μέλισσας ἀγρίας. Hesych. πάρνοπες, ἀκρίδες, ubi vid. Alberti.

οἶδα Φθαρέντας· ἀλλὰ τοὺς μὲν ἐξέωσε βίαιος ἐμπεσὼν ἄνεμος, τοὺς δὲ, ὑσάντος τοῦ θεοῦ, καῦμα ἰσχυρὸν καθεῖλεν· ἐπιλάβου, οἱ δὲ αἰφνιδίῳ ῥίγει καταληφθέντες ἀπώλοντο. τοιαῦτα μὲν αὐτοῖς συμβαίνοντα εἶδον.

CAPUT XXV.

De aliis signis in Acropoli, inter ea Anacreontis — Olympiodoro — Graecorum clade ad Chaeroneam — bello post Alexandri mortem cum Antipatro, Cassandro et Demetrio gesto, Athenisque expugnatis.

Ἔστι δὲ ἐν τῇ Ἀθηναίων ἀκροπόλει καὶ Περικλῆς ὁ Ξανθίππου, καὶ αὐτὸς Ξάνθιππος, ὃς ἐναυμάχησεν ἐπὶ Μυκάλῃ Μήδοις. ἀλλ' ὁ μὲν Περικλέους ἀνδριὰς ἐτέρωθι ἀνάκειται. τοῦ δὲ τοῦ Ξανθίππου πλησίον ἕστηκεν Ἀνακρέων ὁ Τήϊος, πρῶτος μετὰ Σαπφὼ τὴν Λεσβίαν τὰ πολλὰ ὧν ἔγραψεν ἐρωτικὰ ποιήσας· καί οἱ τὸ σχῆμά ἐστιν, οἷον ἄδοντος ἂν ἐν μέθῃ γένοιτο ἀνθρώπου. γυναῖκας δὲ πλησίον Δεινομένης, Ἰὼ τὴν Ἰνάχου, καὶ Καλλιστὼ τὴν Λυκάονος πεποίηκεν· αἷς ἀμφοτέραις ἐστὶν ἐς ἅπαν ὅμοια διηγήματα, ἔρως Διὸς, καὶ Ἥρας ὀργὴ καὶ ἀλλαγὴ, τῇ μὲν ἐς βοῦν, Καλλιστοῖ δὲ ἐς ἄρκτον. Πρὸς δὲ τῷ τείχει τῷ Νοτίῳ Γι- 2
γάντων, οἱ περὶ Θρᾴκην ποτὲ καὶ τὸν Ἰσθμὸν τῆς Παλλήνης ᾤκησαν [1]), τούτων τὸν λεγόμενον πόλεμον, καὶ μάχην πρὸς Ἀμαζόνας Ἀθηναίων, καὶ τὸ Μαραθῶνι πρὸς Μήδους ἔργον, καὶ Γαλατῶν τὴν ἐν Μυσίᾳ

1) Γιγάντων — Παλλήνης ᾤκ.] Vid. Heyne V. C. ad Apollod. p. 67 — 70.

Μυσία φθορὰν ἀνέθηκεν Ἄτταλος, ὅσον γε δύο πηχῶν ἕκαστον [2]). ἔσηκε δὲ καὶ Ὀλυμπιόδωρος [3]), μεγέθει τε ὧν ἔπραξε λαβὼν δόξαν, καὶ οὐχ ἧκιστα τῶν καιρῶν, φρόνημα ἐν ἀνθρώποις παρασχόμενος συνεχῶς ἐπταικόσι καὶ δι' αὐτὸ οὐδὲν χρηστὸν οὐδὲ ἐς τὰ μέλλοντα ἐλπίζουσι.

3 Τὸ γὰρ ἀτύχημα τὸ ἐν Χαιρωνείᾳ ἅπασι τοῖς Ἕλλησιν ἦρξε κακοῦ, καὶ οὐχ ἧκιστα δούλους ἐποίησε τοὺς ὑπεριδόντας, καὶ ὅσοι μετὰ Μακεδόνων ἐτάχθησαν. τὰς μὲν δὴ πολλὰς Φίλιππος τῶν πόλεων εἷλεν· Ἀθηναίοις δὲ λόγῳ συνθέμενος, ἔργῳ σφᾶς μάλιστα ἐκάκωσε, νήσους τε ἀφελόμενος καὶ τῆς ἐς τὰ ναυτικὰ παύσας ἀρχῆς. καὶ χρόνον μέν τινα ἡσύχασαν Ἀθηναῖοι Φιλίππου βασιλεύοντος, καὶ ὕστερον Ἀλεξάνδρου· τελευτήσαντος δὲ Ἀλεξάνδρου [4]), Μακεδόνες μὲν βασιλεύειν εἵλοντο Ἀριδαῖον, Ἀντιπάτρῳ δὲ ἐπετέτραπτο ἡ πᾶσα ἀρχή. καὶ Ἀθηναίοις οὐκέτι ἀνεκτὰ ἐφαίνετο, εἰ τὸν πάντα χρόνον ἔσαι ἐπὶ Μακεδόσι τὸ Ἑλληνικόν· ἀλλ' αὐτοί τε πολεμεῖν ὥρμηντο, 4 καὶ ἄλλους ἐς τὸ ἔργον ἤγειρον. Ἐγένοντο δὲ αἱ μετασχοῦσαι πόλεις, Πελοποννησίων μὲν Ἄργος, Ἐπίδαυρος, Σικυών, Τροιζήν, Ἠλεῖοι, Φλιάσιοι, Μεσσήνη· οἱ δὲ ἔξω τοῦ Κορινθίων Ἰσθμοῦ, Λοκροὶ, Φωκεῖς, Θεσσαλοὶ, Κάρυστος, Ἀκαρνᾶνες ἐς τὸ Αἰτωλικὸν συντελοῦντες· Βοιωτοὶ δὲ Θηβαίων ἠρημωμένων τὴν

2) ἔσον γε — ἕκαστον] *Artis opera in plano elevata* haec Attali donaria fuisse videntur. Pausanias enim, si de picturis hic sermo esset, illud, ut solet, declarasset.

3) Ὀλυμπιόδωρος] De ejus rebus gestis vid C 26. ab init.

4) τελευτήσαντος δὲ Ἀλεξάνδρου] Pertinent, quae sequuntur, ad bellum Lamiacum, de quo conferend. Diodor. L. XVIII. f. 10. sq.

τὴν γῆν τὴν Θηβαΐδα νεμόμενοι, δέει, μὴ Θήβας αὖθις Ἀθηναῖοί σφισιν ἐποικίζωσιν, οὔτε ἐς τὴν συμμαχίαν ἐτάσσοντο, καὶ ἐς ὅσον ἦκον δυνάμεως τὰ Μακεδόνων ηὔξον. τοὺς δὲ ἐς τὸ συμμαχικὸν ταχθέντας κατὰ πόλεις τε ἑκάστους ἦγον στρατηγοὶ, καὶ τοῦ παντὸς ἄρχειν ἤρητο Λεωσθένης Ἀθηναῖος, πόλεώς τε ἀξιώματι, καὶ αὐτὸς εἶναι δοκῶν πολέμων ἔμπειρος· ὑπῆρχε δέ οἱ καὶ πρὸς πάντας εὐεργεσία τοὺς Ἕλληνας. ὁπόσοι γὰρ μισθοῦ παρὰ Δαρείῳ καὶ σατράπαις ἐστρατεύοντο Ἕλληνες, ἀνοικίσαι [5]) σφᾶς ἐς τὴν Περσίδα θελήσαντος Ἀλεξάνδρου, Λεωσθένης ἔφθη κομίσας ναυσὶν ἐς τὴν Εὐρώπην. καὶ δὴ καὶ τότε ὧν εἰς αὐτὸν ἤλπισαν τὰ ἔργα λαμπρότερα ἐπιδειξάμενος, παρέσχεν ἀποθανὼν ἀθυμῆσαι πᾶσι, καὶ διὰ τοῦτο οὐχ ἧκιστα σφαλῆναι· Φρουράν τε Μακεδόνων ἐσῆλθεν Ἀθηναίοις, οἱ Μουνυχίαν, ὕστερον δὲ καὶ Πειραιᾶ καὶ τείχη μακρὰ ἔσχον. Ἀντιπάτρου δὲ ἀποθανόντος, Ὀλυμπιὰς διαβᾶσα ἐξ Ἠπείρου χρόνον μέν τινα ἦρξεν, ἀποκτείνασα Ἀριδαῖον, οὐ πολλῷ δὲ ὕστερον ἐκπολιορκηθεῖσα ὑπὸ Κασσάνδρου παρεδόθη τῷ πλήθει. Κάσσανδρος δὲ βασιλεύσας (τὰ δὲ ἐπ' Ἀθηναίους [6]) ἐπέξεισί μοι μόνα ὁ λόγος) Πάνακτον τεῖχος ἐν τῇ Ἀττικῇ καὶ Σαλαμῖνα εἶλε, τύραννόν τε Ἀθηναίοις ἔπραξε γενέσθαι Δημήτριον τὸν Φανοστράτου [7]), τὰ πρὸς δόξαν εἰληφότα ἐπὶ σοφίᾳ. τοῦτον μὲν δὴ τυραννίδος ἔπαυσε Δημήτριος ὁ Ἀντιγόνου, νέος τε ὢν καὶ φιλοτίμως πρὸς τὸ

5) ἀνοικίσαι] Cod. Vind. ἐνοικίσαι.

6) τὰ δὲ ἐπ' Ἀθηναίους] Cod. Vind. τὰ δὲ ἐπ' Ἀθηναίους. Sylb. conjecerat ἐς Ἀθηναίους.

7) Δημήτριον τὸν Φαν.] Vid. Diog. Laërt. L. V. s. 75. sq. et ibi Menag.

τὸ Ἑλληνικὸν διακείμενος. Κάσσανδρος δὲ, (δεινὸν γάρ τι ὑπῆν οἱ μῖσος ἐς Ἀθηναίους) ὁ δὲ αὖθις Λαχάρη [8]) προεσηκότα ἐς ἐκεῖνο τοῦ δήμου, τοῦτον τὸν ἄνδρα οἰκειωσάμενος τυραννεῖν ἔπεισε βουλεῦσαι, τυράννων ὧν ἴσμεν τότε ἐς ἀνθρώπους μάλιστα ἀνήμερον, καὶ ἐς τὸ θεῖον ἀφειδέστατον [9]). Δημητρίῳ δὲ τῷ Ἀντιγόνου διάφορα μὲν ἦν ἐς τὸν δῆμον ἤδη τῶν Ἀθηναίων, καθεῖλε δ' ὅμως καὶ τὴν Λαχάρους τυραννίδα. ἀλισκομένου δὲ τοῦ τείχους, ἐκδιδράσκει Λαχάρης ἐς Βοιωτούς. ἄτε δὲ ἀτπίδας ἐξ ἀκροπόλεως καθελὼν χρυσᾶς, καὶ αὐτὸ τῆς Ἀθηνᾶς τὸ ἄγαλμα τὸν περιαιρετὸν ἀποδύσας κόσμον, ὑπωπτεύετο εὐπορεῖν μεγάλως χρημάτων· Λαχάρη μὲν οὖν τούτων ἕνεκα κτείνουσιν ἄνδρες Κορωναῖοι. Δημήτριος δὲ ὁ Ἀντιγόνου, τυράννων ἐλευθερώσας Ἀθηναίους τότε παραυτίκα μετὰ τὴν Λαχάρους σφαγὴν [10]), οὐκ ἀπέδωκέ σφισι τὸν Πειραιᾶ, καὶ ὕστερον πολέμῳ κρατήσας ἐσήγαγεν ἐς αὐτὸ φρουρὰν
6 τὸ ἄστυ, τὸ Μουσεῖον καλούμενον τειχίσας. Ἔστι δὲ ἐντὸς τοῦ περιβόλου ἀρχαίου τὸ Μουσεῖον [11]), ἀπ' ἀντικρὺ τῆς ἀκροπόλεως λόφος, ἔνθα Μουσαῖον ᾄδειν, καὶ ἀποθανόντα γήραϊ ταφῆναι λέγουσιν· ὕστερον δὲ καὶ μνῆμα αὐτόθι ἀνδρὶ ᾠκοδομήθη Σύρῳ. τό τε δὲ Δημήτριος τειχίσας εἶχε.

8) Λαχάρη] Uterque Codex Λαχάρει, uti et paullo poſt. Mox pro τυραννεῖν uterque Codex dat τυραννίδα. Sic C. 28. ab init. τυραννίδα ἅμας βουλεύσαντα.

9) ἐς τὸ θεῖον ἀφειδέστατον] *Amaſ. impietate in deos.* ἀφειδὴς eſt, *qui nec ſibi nec aliis parcit.* Inde h l. pro ἀνόσιος.

10) σφαγὴν] Cod Vindob. exhibet ξυγὴν, quam lectionem vulgatae praeferendam duco.

11) τὸ Μουσεῖον] Cod. Vind. τὸ σημεῖον.

CAPUT

CAPUT XXVI.

De Olympiodori felici contra Macedones expeditione — honore Leocrito et Olympiodoro habito — Diana Eucophryne — aede Erechthei ejusque memorandis — Minervae simulacro e coelo delapso in Acropoli — Callimacho κακιζοτέχνῳ.

Χρόνῳ δὲ ὕστερον ἄνδρας ἐσῆλθεν οὐ πολλοὺς καὶ μνήμη τε προγόνων, καὶ ἐς οἵαν μεταβολὴν τὸ ἀξίωμα ἥκοι τῶν Ἀθηναίων, αὐτίκα τε ὡς εἶχον [1]), αἱροῦνται στρατηγὸν Ὀλυμπιόδωρον. ὁ δὲ σφᾶς ἐπὶ τοὺς Μακεδόνας ἦγε, καὶ γέροντας καὶ μειράκια ὁμοίως, προθυμία πλέον ἢ ῥώμῃ κατορθοῦσθαι τὰ ἐς πόλεμον ἐλπίζων· ἐπεξελθόντας δὲ τοὺς Μακεδόνας μάχῃ τε ἐκράτησε, καὶ φυγόντων ἐς τὸ Μουσεῖον, τὸ χωρίον εἷλεν. Ἀθῆναι μὲν οὕτως ὑπὸ [2]) Μακεδόνων ἠλευθερώθησαν. Ἀθηναίων δὲ πάντων ἀγωνισαμέ- 2
νων ἀξίως λόγου, Λεώκριτος μάλιστα ὁ Πρωτάρχου λέγεται τόλμῃ χρήσασθαι πρὸς τὸ ἔργον. πρῶτος μὲν γὰρ ἐπὶ τὸ τεῖχος ἀνέβη, πρῶτος δὲ ἐς τὸ Μουσεῖον ἐσήλατο· καί οἱ πεσόντι ἐν τῇ μάχῃ, τιμαὶ παρ' Ἀθηναίων καὶ ἄλλαι γεγόνασι, καὶ τὴν ἀσπίδα ἀνέθεσαν [3]) τῷ Διὶ τῷ Ἐλευθερίῳ, τὸ ὄνομα τοῦ Λεωκρίτου καὶ τὸ κατόρθωμα ἐπιγράψαντες. Ὀλυμ- 3
πιοδώρῳ δὲ τόδε μέν ἐστιν ἔργον μέγιστον, χωρὶς τούτων ὧν ἔπραξε Πειραιᾶ καὶ Μουνυχίαν ἀνασωσάμενος. ποιουμένων Μακεδόνων καταδρομὴν ἐς Ἐλευσῖνα, Ἐλευ-

1) αὐτίκα τε ὡς εἶχον] *statim, continuo.* Vid. Dawes Miscell. crit. p. 355.

2) ὑπὸ] *Sylb.* mavult ἀπό.

3) ἀνέθεσαν] Cod. Mosc. hic et paulo inferius habet ἀνέθησαν.

Ἐλευσινίους συντάξας, ἐνίκα τοὺς Μακεδόνας. πρότερον δὲ ἔτι τούτων, ἐσβαλόντος ἐς τὴν Ἀττικὴν Κασσάνδρου, πλεύσας Ὀλυμπιόδωρος ἐς Αἰτωλίαν, βοηθεῖν Αἰτωλοὺς ἔπεισε, καὶ τὸ συμμαχικὸν τοῦτο ἐγένετο Ἀθηναίοις αἴτιον μάλιστα, διαφυγεῖν τὸν Κασσάνδρου πόλεμον. Ὀλυμπιοδώρῳ δὲ τοῦτο μὲν ἐν Ἀθήναις εἰσὶν ἔν τε ἀκροπόλει καὶ ἐν πρυτανείῳ τιμαὶ, τοῦτο δὲ ἐν Ἐλευσῖνι γραφή· καὶ Φωκέων οἱ Ἐλάτειαν ἔχοντες χαλκοῦν Ὀλυμπιόδωρον ἐν Δελφοῖς ἀνέθεσαν, ὅτι καὶ τούτοις ἤμυνεν ἀποστᾶσι Κασ-
4 σάνδρου [4]). Τῆς δὲ εἰκόνος πλησίον τῆς Ὀλυμπιοδώρου χαλκοῦν Ἀρτέμιδος ἄγαλμα ἕστηκεν, ἐπίκλησιν Λευκοφρύνης· ἀνέθεσαν δὲ οἱ παῖδες οἱ Θεμιστοκλέους. Μάγνητες γὰρ, ὧν ἦρχε Θεμιστοκλῆς λαβὼν παρὰ βασιλέως, Λευκοφρύνην Ἄρτεμιν ἄγουσιν ἐν τιμῇ [5]).
5 Δεῖ δέ με ἀφικέσθαι τοῦ λόγου πρόσω, πάντα ὁμοίως ἐπεξιόντα τὰ Ἑλληνικά. Ἔνδοιος ἦν γένος μὲν Ἀθηναῖος, Δαιδάλου δὲ μαθητὴς, ὃς καὶ φεύγοντι Δαιδάλῳ διὰ τὸν Κάλω θάνατον ἐπηκολούθησεν ἐς Κρήτην· τούτου καθήμενόν ἐστιν Ἀθηνᾶς ἄγαλμα, ἐπίγραμμα ἔχον, ὡς Καλλίας μὲν ἀναθείη, ποιή-
6 σειεν δὲ Ἔνδοιος. Ἔστι δὲ καὶ οἴκημα Ἐρέχθειον καλούμενον· πρὸ δὲ τῆς εἰσόδου Διός ἐστι βωμὸς ὑπάτου, ἔνθα ἔμψυχον θύουσιν οὐδέν, πέμματα δὲ θέντες, οὐδὲν ἔτι οἴνῳ χρήσασθαι νομίζουσιν. ἐσελθοῦσι δέ εἰσι βωμοὶ, Ποσειδῶνος, ἐφ' οὗ καὶ Ἐρεχθεῖ θύουσιν ἐκ τοῦ μαντεύματος, καὶ ἥρωος Βούτου [6]), τρίτος δὲ

4) οἱ Ἐλάτειαν — Κασσάνδρου] Vid. L. X. C. 34.

5) Μάγνητες — Ἄρτεμιν ἄγ. ἐν τιμῇ] Vid. Strab. L. XIV. p. 958. et conf. Strab. L. XIII. p. 901.

6) Βούτου] De hoc vid. Suid. h. v. et Heyne V. C. ad Apollod. p. 845. 846.

δὲ Ἡφαίστου. γραφαὶ δὲ ἐπὶ τῶν τοίχων τοῦ γένους εἰσὶ τοῦ Βουταδῶν. καὶ διπλοῦν γάρ ἐστι τὸ οἴκημα, καὶ ὕδωρ ἐστὶν ἔνδον θαλάσσιον ἐν φρέατι. τοῦτο μὲν θαῦμα οὐ μέγα· καὶ γὰρ ὅσοι μεσόγαιαν οἰκοῦσιν, ἄλλοις τέ ἐστι καὶ Καρσὶν Ἀφροδισιεῦσιν· ἀλλὰ τόδε φρέαρ ἐς συγγραφὴν παρέχεται κυμάτων ἦχον ἐπὶ νότῳ πνεύσαντι· καὶ τριαίνης ἐστὶν ἐν τῇ πέτρᾳ σχῆμα· ταῦτα δὲ λέγεται Ποσειδῶνι μαρτύρια ἐς τὴν ἀμφισβήτησιν τῆς χώρας φανῆναι.

Ἱερὰ μὲν τῆς Ἀθηνᾶς ἐστιν ἥ τε ἄλλη πόλις καὶ 7. ἡ πᾶσα ὁμοίως γῆ. καὶ γὰρ ὅσοις θεοὺς καθέστηκεν ἄλλους ἐν τοῖς δήμοις σέβειν, οὐδέν τι ἧσσον τὴν Ἀθηνᾶν ἄγουσιν ἐν τιμῇ· τὸ δὲ ἁγιώτατον ἐν κοινῷ πολλοῖς πρότερον νομισθὲν ἔτεσι συνῆλθεν ἀπὸ τῶν δήμων [7]), ἐστὶν Ἀθηνᾶς ἄγαλμα ἐν τῇ νῦν ἀκροπόλει, τότε δὲ ὀνομαζομένῃ πόλει· φήμη δὲ ἐς αὐτὸ ἔχει πεσεῖν ἐκ τοῦ οὐρανοῦ. Καὶ τοῦτο μὲν οὐκ ἐπεξειμι, εἴτε οὕτως, εἴτε ἄλλως ἔχει· λύχνον δὲ τῇ θεῷ χρυσοῦν [8]) Καλλίμαχος ἐποίησεν. ἐμπλήσαντες δὲ ἐλαίου τὸν λύχνον, τὴν αὐτὴν τοῦ μέλλοντος ἔτους ἀναμένουσιν ἡμέραν· ἔλαιον δὲ ἐκεῖνο τὸν μεταξὺ ἐπαρκεῖ χρόνον τῷ λύχνῳ, καὶ κατὰ τὰ αὐτὰ ἐν ἡμέρᾳ καὶ νυκτὶ φαίνοντι. καὶ οἱ λίνου Καρπασίου [9]) θρυαλλὶς

7) ἔτεσι συνῆλθεν ἀπὸ τ. δ.] Nec si orationis structuram nec si significatum spectes, συνῆλθεν commode explicari potest. Quare *Loesch.* et *Kuhn.* bene emendant ἢ συνῆλθον, *diu ante, quam e pagis in unam urbem convenirent.*

8) λύχνον — χρυσοῦν] Strabo L. IX. p. 606. λύχνον ἄσβεστον appellat, et Plutarch. Sulla s. 13. τὸν ἱερὸν λυχνον.

9) λίνου Καρπασίου] Non Carbasum, sed lapidem Carystium intelligendum esse et hoc lapidis genus ejusdem cum asbestino indolis in Carpaso, Cypri urbe, extitisse pluribus docet Salmas. Exerc. p. 178.

ἔνεστιν, ὁ δὴ πυρὶ λίνον μόνον οὐκ ἔστιν ἁλώσιμον. φοινιξὶ δὲ ὑπὲρ τοῦ λύχνου χαλκοῦς ἀνήκων ἐς τὸν ὄροφον ἀνασπᾷ τὴν ἄτμιδα. ὁ δὲ Καλλίμαχος τὸν λύχνον ποιήσας, ἀποδέων τῶν πρώτων ἐς αὐτὴν τὴν τέχνην, οὕτω σοφίᾳ πάντων ἐστὶν ἄριστος, ὥστε καὶ λίθους πρῶτος ἐτρύπησε, καὶ ὄνομα ἔθετο κακιζότεχνον [10]), ἢ θεμένων ἄλλων κατέσησεν ἐφ' αὑτῷ.

CAPUT XXVII.

De donariis in templo Poliadis Minervae et olea in eo — virginibus Canephoris in sacris Minervae — Tolmidis signo ejusque rebus gestis — aliis signis — de quibusdam ad Herculem et Thesеum pertinentibus — de Minoë et Minotauro.

Κεῖται δὲ ἐν τῷ ναῷ τῆς Πολιάδος Ἑρμῆς ξύλου, Κέκροπος εἶναι λεγόμενον ἀνάθημα, ὑπὸ κλάδων μυρσίνης οὐ συνοπτον [1]). ἀναθήματα δὲ, ὁπόσα ἄξια λόγου, τῶν μὲν ἀρχαίων οἴφρος ὀκλαδίας [2]) ἐστὶ Δαιδάλου ποίημα· λάφυρα δὲ ἀπὸ Μήδων, Μασιστίου [3]) θώραξ, ὃς εἶχεν ἐν Πλαταιαῖς τὴν ἡγεμονίαν τῆς ἵππου· καὶ ἀκινάκης Μαρδονίου λεγόμενος εἶναι. Μασίστιον μὲν δὴ τελευτήσαντα ὑπὸ τῶν Ἀθηναίων οἰδα ἱππέων· Μαρδονίου δὲ μαχησαμένου Λακεδαιμονίοις

10) κακιζότεχνον] Idem habet, simulque cognominis causam adfert Plin. L. XXXIV. C. 8. p. 658. In Vitruv. L. IV. C. 1. mendose scriptum κατάτεχνος.

1) ὑπὸ κλ. μ. οὐ σύνοπτον] Sic reposui pro εὐσύνοπτον, utroque Codice hoc exhibente, et Kuhnio conjiciente. Conf. L. VIII. C. 39. in fine.

2) οἴφρος ὀκλαδίας] *Sella humilis et plicatilis*, de qua vid. Kuhn. et Perizon. ad Ael. V. H. IV. 22.

3) Μασιστίου] De hujus et Mardonii vitae exitu videndus est Herod. L. VII. f. 20—23.

μονίοις ἐναντία, καὶ ὑπὸ ἀνδρὸς Σπαρτιάτου πεσόντος, οὐδ' ἂν ὑπεδέξαντο ἀρχὴν οὐδὲ ἴσως Ἀθηναίοις παρῆκαν φέρεσθαι Λακεδαιμόνιοι τὸν ἀκινάκην. Περὶ 2
δὲ τῆς ἐλαίας οὐδὲν ἔχουσιν ἄλλο εἰπεῖν, ἢ τῇ θεῷ μαρτύριον γενέσθαι τοῦτο ἐς τὸν ἀγῶνα τὸν ἐπὶ τῇ χώρᾳ. λέγουσι δὲ καὶ τάδε· κατακαυθῆναι μὲν τὴν ἐλαίαν, ἡνίκα ὁ Μῆδος τὴν πόλιν ἐνέπρησεν Ἀθηναίοις, κατακαυθεῖσαν δὲ αὐθημερὸν ὅσον τε ἐπὶ δύο βλάστησαι πήχεις [4]). Τῷ ναῷ δὲ τῆς Ἀθηνᾶς Πανδρόσου 3
ναὸς συνεχής ἐστι· καὶ ἔστι Πάνδροσος ἐς τὴν παρακαταθήκην ἀναίτιος τῶν ἀδελφῶν μόνη. Ἃ δέ μοι θαυ- 4
μάσαι μάλιστα παρέσχεν, ἐστὶ μὲν οὐκ ἐς ἅπαντας [5]) γνώριμα, γράψω δὲ, οἷα συμβαίνει. παρθένοι δύο τοῦ ναοῦ τῆς Πολιάδος οἰκοῦσιν οὐ πόρρω, καλοῦσι δὲ Ἀθηναῖοι σφᾶς κανηφόρους [6]). αὗται χρόνον μέν τινα δίαιταν ἔχουσι παρὰ τῇ θεῷ, παραγενομένης δὲ τῆς ἑορτῆς, δρῶσιν ἐν νυκτὶ τοιάδε. ἀναθεῖσαί σφισιν ἐπὶ τὰς κεφαλὰς, ἃ ἡ τῆς Ἀθηνᾶς ἱέρεια δίδωσι φέρειν, οὔτε ἡ διδοῦσα ὁποῖόν τι δίδωσιν εἰδυῖα, οὔτε ταῖς φερούσαις ἐπισαμένας. ἔστι δὲ περίβολος ἐν τῇ πόλει τῆς καλουμένης ἐν κήποις Ἀφροδίτης οὐ πόρρω, καὶ δι' αὐτοῦ κάθοδος ὑπόγαιος αὐτομάτη· ταύτῃ κατίασιν αἱ παρθένοι· κάτω μὲν δὴ τὰ φερόμενα

4) δύο — πήχεις] Vid. Herodot. L. VIII. f. 55., qui ὅσον τε πηχυαῖον habet.

5) ἐς ἅπαντας] Uterque Codex ἐς ἅπαντα.

6) κανηφόρους] Vid. Hesych. et Suid. h. v. et Meurs. Panath. p. 37. coll. Cicer. in Verr. IV. 3. Cod. Vind. exhibet ἀρρηφόρους, *arcana ferentes*; quae vera lectio fuisse videtur. Ex illis scilicet virginibus nobilibus, quae Canephorae dicebantur sacra in capitibus reposita sustinentes, duae, quarum provinciam Pausanias hic describit, ἀρρηφόροι fuere appellatae. Nota sunt fragmenta Menandri fabulae ἀρρηφόροι inscriptae.

λείπουσιν, λαθοῦσαι δὲ ἄλλο τι κομίζουσιν ἐγκεκαλυμμένον. καὶ τὰς μὲν ἀφιᾶσιν ἤδη τὸ ἐντεῦθεν, ἑτέρας δὲ εἰς τὴν ἀκρόπολιν παρθένους ἄγουσιν ἀντ' αὐτῶν. Πρὸς δὲ τῷ ναῷ τῆς Ἀθηνᾶς ἐστι μὲν εὐήρις πρεσβύτις [7]), ὅσον τε πῆχος [8]) μάλιστα, φαμένη διάκονος εἶναι Λυσιμάχη· ἔστι δὲ ἀγάλματα μεγάλα χαλκοῦ, διεστῶτες ἄνδρες ἐς μάχην· καὶ τὸν μὲν Ἐρεχθέα καλοῦσι, τὸν δὲ Εὔμολπον. καί τοι λελήθε γε οὐδὲ Ἀθηναίων ὅσοι τὰ ἀρχαῖα ἴσασιν, Ἰμμάραδον εἶναι παῖδα Εὐμόλπου τοῦτον, τὸν ἀποθανόντα [9]) ὑπὸ Ἐρεχθέως. Ἐπὶ δὲ τοῦ βάθρου [10]) καὶ ἀνδριάντες εἰσὶν ἐντὸς, οἷς ἐμαντεύετο Τολμίδη [11]), καὶ αὐτὸς Τολμίδης· ὃς Ἀθηναίων ναυσὶν ἡγούμενος ἄλλους τε ἐκάκωσε καὶ Πελοποννησίων τὴν χώραν, ὅσοι νέμονται τὴν παράλιαν, καὶ Λακεδαιμονίων ἐπὶ Γυθίῳ [12]) τὰ

7) εὐήρις πρεσβύτις] Amaſ. *anus affabre elaborata.* Cod. uterque habet πρεσβύτης et Vind. εὐήρης. Suid. εὐήρες, εὐάγωγον. Inde Kuhn. *anus portatu facilis.* Sylb. et alii proprium nomen eſſe judicant, Εὐήρις.

8) πῆχος] *Sylb.* corrigit πῆχυς. Forte πηχύϊος, quod idem ac πηχυαῖος, *cubitalis.*

9) τὸν ἀποθανόντα] In Cod. Vind abeſt τόν.

10) ἐπὶ δὲ τοῦ βάθρου] ſcil. τῶν ἀγαλμάτων μεγάλων χαλκοῦ.

11) εἰσὶν ἐντὸς, οἷς ἐμαντεύετο Τολμίδη] Cod Vind. pro ἐντὸς habet ἐκτὸς cum variante in margine notata; quam lectionem facilius interpretari poſſis, quam ἐντός. Pro Τολμίδη Cam. et *Hartung.* legunt Τολμιδης. De Tolmidis expeditione plura habet Diodor. L. XI. ſ. 84., L. XII. ſ. 6.; conf. Thucyd. I. ſ. 113., ſed nullibi illud tangitur, quod vatis vicem ſuſtinuerit. Quare Kuhn., locum mendoſum ſuſpicatus, emendandum putavit εἰσὶν, Ἔνδοιος, ὃς ἐμαντεύετο Τολμίδῃ· quisnam vero ille Endoeus fuerit, cum Kuhnio neſcimus. Si quid ſentio, in ἐμαντεύετο potius vulnus latere videtur. Forte οἷς συνεστρατεύετο Τολμίδης. Sed alii me ſagaciores huic loco invenient medelam.

12) Γυθίῳ] Fuit hoc Lacedaemoniorum navale, L. III. C. 21., ubi Γύθειον, ſicuti etiam Stephan. ſcribit. In *Strabone*, *Diodoro*

τὰ νεώρια ἐνέπρησε, καὶ τῶν περιοίκων Εὐβοιαν εἶλε καὶ τὴν Κυθηρίων νῆσον· ἐς δὲ τὴν Σικυωνίαν ποιησάμενος ἀπόβασιν, ὥς οἱ δηοῦντι τὴν γῆν ἐς μάχην κατέστησαν, τρεψάμενος σφᾶς κατεδίωξε πρὸς τὴν πόλιν. ὕστερον δὲ ὡς ἐπανῆλθεν ἐς Ἀθήνας, ἐσήγαγε μὲν ἐς Εὔβοιαν καὶ Νάξον Ἀθηναίων κληρούχους, ἐσέβαλε δὲ ἐς Βοιωτοὺς στρατῷ· πορθήσας δὲ τῆς γῆς τὴν πολλὴν, καὶ παρασησάμενος πολιορκίᾳ Χαιρώνειαν, ὡς ἐς τὴν Ἀλιαρτίαν [13]) προῆλθεν, αὐτός τε μαχόμενος ἀπέθανε καὶ τὸ πᾶν ἤδη στράτευμα ἡττᾶτο. τὰ μὲν ἐς Τολμίδην τοιαῦτα ἐπυνθανόμην ὄντα. Ἔστι δὲ 7
Ἀθηνᾶς ἀγάλματα ἀρχαῖα· καὶ σφισιν ἀπεστὰκη μὲν οὐδὲν, μελάντερα δὲ καὶ πληγὴν ἐνεγκεῖν ἐστιν ἀσθενέστερα. ἐπέλαβε δὲ καὶ ταῦτα ἡ φλὸξ, ὅτε, ἐσβεβηκότων ἐς τὰς ναῦς Ἀθηναίων, βασιλεὺς εἶλεν ἔρημον τῶν ἐν ἡλικίᾳ τὴν πόλιν. ἔστι δὲ σφισι καὶ Θήρα, περὶ οὗ σαφὲς οὐδὲν οἶδα [14]) εἰ τοῦ Καλυδωνίου· καὶ Κύκνος Ἡρακλεῖ μαχόμενος. τοῦτον τὸν Κύκνον φασὶν ἄλλους τε φονεῦσαι καὶ Λύκον Θρᾶκα, προτεθέντων σφίσι μονομαχίας ἄθλων· περὶ δὲ τὸν ποταμὸν τὸν Πηνειὸν ἀπέθανεν ὑφ' Ἡρακλέους.

Τῶν δὲ ἐν Τροιζῆνι λόγων, οὓς ἐς Θησέα λέγουσιν, 8
ἐστὶν, ὡς Ἡρακλῆς ἐς Τροιζῆνα ἐλθὼν παρὰ Πιτθέα κατεθοίτο ἐπὶ τῷ δείπνῳ τοῦ λέοντος τὸ δέρμα, ἐσέλθοιεν δὲ παρ' αὐτὸν ἄλλοι τε Τροιζηνίων παῖδες καὶ

Diodoro est τύθιον, nec non in *Lycophr.* v. 98., ubi vid. Potter. Mox pro καὶ τῶν περιοίκων Εὔβοιαν *Goldhagen* in verss. germ. legendum censet καὶ τὰ τῶν περ. Εὔβοιάν τε.

13) Ἀλιαρτίαν] Thuc. L. I. 113. ἐν Κορωνείᾳ, et sic Diodor. L. XII. 6., cui urbi vicina fuit Ἀλιαρτία. Vid. Duker. ad Thucyd. l. c.

14) σαφὲς οὐδὲν οἶδα] Cod. Vind. σαφῶς οὐκ οἶδα.

Θησεὺς ἕβδομον μάλιστα γεγονὼς ἔτος· τοὺς μὲν δὴ λοιποὺς παῖδας, ὡς τὸ δέρμα εἶδον, φεύγοντάς φασιν οἴχεσθαι, Θησέα δὲ ὑπεξελθόντα οὐκ ἄγαν σὺν φόβῳ παρὰ τῶν διακόνων ἁρπάσαι πέλεκυν, καὶ αὐτίκα ἐπισπάσασθαι σπουδῇ, λέοντα εἶναι τὸ δέρμα ἡγούμενον. ὅδε μὲν τῶν λόγων πρῶτος ἐς αὐτόν ἐστι Τροιζηνίοις· ὁ δὲ ἐπὶ τούτῳ, κρηπῖδας Αἰγέα [15]) ὑπὸ πέτρᾳ καὶ ξίφος θεῖναι, γνωρίσματα εἶναι τῷ παιδί· καὶ τὸν μὲν ἐς Ἀθήνας ἀποπλεῖν, Θησέα δὲ, ὡς ἕκτον καὶ δέκατον ἔτος ἐγεγόνει, τὴν πέτραν ἀνωσαντα [16]) οἴχεσθαι, καὶ τὴν παραταθήκην τὴν Αἰγέως φέροντα. τούτου δὲ εἰκὼν ἐν ἀκροπόλει πεποίηται τοῦ λόγου, χαλκοῦ πάντα ὁμοίως, πλὴν τῆς
9 πέτρας. Ἀνεθεσαν δὲ καὶ ἄλλο Θησέως ἔργον, καὶ ὁ λόγος οὕτως ἐς αὐτὸ ἔχει. Κρησὶ τήν τε ἄλλην γῆν καὶ τὴν ἐπὶ ποταμῷ [17]) Τεθρίνι ταῦρος ἐλυμαίνετο. πάλαι δὲ ἄρα τὰ θηρία φοβερώτερα ἦν τοῖς ἀνθρώποις, ὡς ὅ τ' ἐν Νεμέᾳ λέων, καὶ ὁ Παρνάσιος, καὶ δράκοντες τῆς Ἑλλάδος πολλαχοῦ, καὶ ὗς περί τε Καλυδῶνα καὶ Ἐρύμανθον, καὶ τῆς Κορινθίας ἐν Κρομμυῶνι [18]). ὥς τε καὶ ἐλέγετο, τὰ μὲν ἀνιέναι τὴν γῆν, τὰ δὲ ὡς ἱερὰ εἴη θεῶν, τὰ δὲ καὶ ἐς τιμωρίαν ἀνθρώπων ἀφεῖσθαι. καὶ τοῦτον οἱ Κρῆτες τὸν ταῦρον

15) κρηπῖδας Αἰγέα etc.] Inde πέτρα Θησέως apud Troezenios, L. II. C. 32. Priscae hujus fabulae argumentum saepius expressum deprehenditur in antiquis artis operibus et nummis. Vid. Münter *Beschreib. einiger unbekannten griech. Münzen* (*in Bibl. der alt. Litt. und K. 9. St.* p. 42.).

16) ἀνώσαντα] Restitui pro vulgata ἀνῃξαντα ex Cod. Vind. et Mosc. atque ex Amasaei interpretatione. *Sylb.* hanc emendationem conjectura jam assecutus erat.

17) ἐπὶ ποταμῷ] Cod. Vind. ἐπὶ τῷ ποταμῷ.

18) ἐν Κρομμυῶνι] Vid. Plutarch. Thes. c. 9. et Strab. L. VIII. p. 583. ed. Almelov.

ταῦρον ἐς γῆν [19]) πέμψαι σφίσι Ποσειδῶνά φασιν, ὅτι θαλάσσης ἄρχων Μίνως τῆς Ἑλληνικῆς οὐδενὸς Ποσειδῶνα ἧγεν ἄλλου θεοῦ μᾶλλον ἐν τιμῇ. κομισθῆναι μὲν δὴ τὸν ταῦρον τοῦτόν φασιν ἐς Πελοπόννησον ἐκ Κρήτης, καὶ Ἡρακλεῖ τῶν δώδεκα καλουμένων ἔνα καὶ τοῦτον γενέσθαι τὸν ἆθλον. ὡς δὲ εἰς τὸ πεδίον ἀφείθη τὸ Ἀργείων, φεύγει [20]) διὰ τοῦ Κορινθίου Ἰσθμοῦ, φεύγει δὲ ἐς γῆν τὴν Ἀττικήν, καὶ τῆς Ἀττικῆς ἐς Δῆμον τῶν Μαραθωνίων· καὶ ἄλλους τε, ὁπόσους [21]) ἐπέτυχε, καὶ Μίνω παῖδα Ἀνδρόγεων ἀπέκτεινε. Μίνως δὲ ναυσὶν ἐς Ἀθήνας πλεύσας (οὐ γὰρ ἐπείθετο ἀναιτίους εἶναι σφᾶς τῆς Ἀνδρόγεω τελευτῆς) ἐς τοσοῦτον ἐκάκωσεν, ἐς ὃ συνεχωρήθη οἱ παρθένους ἐς Κρήτην ἑπτὰ καὶ παῖδας ἴσους ἄγειν τῷ λεγομένῳ Μινωταύρῳ, τὸν ἐν Κνωσσῷ Λαβύρινθον οἰκῆσαι [22]). τὸν δὲ ἐν τῷ Μαραθῶνι ταῦρον ὕστερον Θησεὺς ἐς τὴν ἀκρόπολιν ἐλάσαι καὶ θῦσαι λέγεται τῇ θεῷ [23]), καὶ τὸ ἀνάθημά ἐστι τοῦ Δήμου τοῦ Μαραθωνίων.

19) ἐς γῆν] Cod. Vind. ἐς τὴν γῆν, et paullo infra pro ἄλλου θεοῦ habet ἄλλου θεῶν. Mox pro τὸν ταῦρον τοῦτον in utroque Cod. eſt τοῦτ. τ. τ.

20) φεύγει] C Vind. φέυγειν et infra pro τῶν Μαραθωνίων dat τὸν Μαραθ., uti *Sylb.* jam conjecerat.

21) ὁπόσους] Sylb. ὁπόσοις emendat.

22) οἰκῆσαι] Hic Infinitiv. a λεγομένῳ pendet, et ſic cum Kuhnio οἰκήσαντι ſcribere prorſus alienum eſt.

23) θῦσαι λέγ. τῇ θεῷ] Minervae. Plutarch. Theſ. ſ. 14. Apollini Delphinio immolatum refert.

CAPUT XXVIII.

De Cylone — Minervae signo ex bellica praeda — muris Acropolis — Panis cultu — Areopago et memorandis in eo — aliis dicasteriis Athenienſium eorumque originibus.

Κύλωνα [1]) δὲ οὐδὲν ἔχω σαφὲς εἰπεῖν, ἐφ' ὅτῳ χαλκοῦν ἀνέθεσαν, τυραννίδα ὅμως βουλεύσαντα. τεκμαίρομαι δὲ τῶνδε εἵνεκα, ὅτι εἶδος κάλλιστος, καὶ τὰ ἐς δόξαν ἐγένετο οὐκ ἀφανὴς, ἀνελόμενος διαύλου [2]) νίκην Ὀλυμπικήν· καὶ οἱ θυγατέρα ὑπῆρξε γῆμαι
2 Θεαγένους, ὃς Μεγάρων ἐτυράννησε. Χωρὶς δέ γε ὅσα κατέλεξα, δύο μὲν Ἀθηναίοις εἰσὶ δεκάται πολεμήσασιν, ἄγαλμα Ἀθηνᾶς χαλκοῦν ἀπὸ Μήδων τῶν ἐς Μαραθῶνα ἀποβάντων, τέχνη Φειδίου· καί οἱ τὴν ἐπὶ τῆς ἀσπίδος Λαπιθῶν πρὸς Κενταύρους [3]), καὶ ὅσα ἄλλα ἐστὶν ἐπειργασμένα, λέγουσι τορεῦσαι Μῦν· τῷ δὲ Μυΐ ταῦτά τε καὶ τὰ λοιπὰ τῶν ἔργων Παῤῥάσιον καταγράψαι τὸν Εὐήνορος. ταύτης τῆς Ἀθηνᾶς ἡ τοῦ ὁράτος αἰχμὴ καὶ ὁ λόφος τοῦ κράνους ἀπὸ Σουνίου προσπλέουσίν ἐστιν ἤδη σύνοπτα. καὶ ἄγαλμα κεῖται χαλκοῦν ἀπὸ Βοιωτῶν δεκάτη, καὶ Χαλκιδέων τῶν ἐν Εὐβοίᾳ. δύο δὲ ἄλλα ἐστὶν ἀναθήματα, Περικλῆς ὁ Ξανθίππου, καὶ τῶν ἔργων τῶν Φειδίου θέας μάλιστα ἄξιον, Ἀθηνᾶς ἄγαλμα, ἀπὸ τῶν
3 ἀναθέντων καλουμένης Λημνίας [4]). Τῇ δὲ ἀκροπόλει, πλὴν

1) Κύλωνα] Vid. Herodot. L. V. ſ. 71. et Thucyd. I. ſ. 126.

2) διαύλου] De hoc duplicis curriculi genere vid. L. V. C. 17. et Fabri Agoniſtic.

3) τὴν — Κενταύρους] deeſſe videtur μάχην.

4) Λημνίας] Cod. Vind. Λιμνίας.

πλὴν ὅσον Κίμων ὠκοδόμησεν αὐτῆς ὁ Μιλτιάδου, περιβαλεῖν τὸ λοιπὸν λέγεται τοῦ τείχους Πελασγοὺς [5]) οἰκήσαντάς ποτε ὑπὸ τὴν ἀκρόπολιν· φασὶ γὰρ Ἀγρόλαν καὶ Ὑπέρβιον. πυνθανόμενος δὲ, οἵτινες ἦσαν, οὐδὲν ἄλλο ἐδυνάμην μαθεῖν, ἢ Σικελοὺς τὸ ἐξαρχῆς ὄντας Ἀκαρνανίαν [6]) μετοικῆσαι.

Καταβᾶσι δὲ οὐκ ἐς τὴν κάτω πόλιν, ἀλλ' ὅσον 4
ὑπὸ τὰ προπύλαια, πηγή τε ὕδατός ἐστι καὶ πλησίον Ἀπόλλωνος ἱερὸν ἐν σπηλαίῳ, καὶ Πανός [7]). Κρεούσῃ δὲ θυγατρὶ Ἐρεχθέως Ἀπόλλωνα ἐνταῦθα συγγενέσθαι νομίζουσι. περὶ δὲ τοῦ Πανός φασιν, ὡς πεμφθείη Φιλιππίδης [8]) ἐς Λακεδαίμονα ἄγγελος ἀποβεβηκότων Μήδων ἐς τὴν γῆν, ἐπανήκων δὲ Λακεδαιμονίους ὑπερβαλέσθαι φαίη τὴν ἔξοδον· εἶναι γὰρ δὴ νόμον αὐτοῖς, μὴ πρότερον μαχουμένους ἐξιέναι, πρὶν ἢ πλήρη τὸν κύκλον τῆς σελήνης γενέσθαι. τὸν δὲ Πᾶνα ὁ Φιλιππίδης ἔλεγε περὶ τὸ ὄρος ἐντυχόντα οἱ τὸ Παρθένιον, φάναι τε ὡς εὔνους Ἀθηναίοις εἴη καὶ ὅτι ἐς Μαραθῶνα ἥξοι συμμαχήσων. οὗτος μὲν οὖν ὁ θεὸς ἐπὶ ταύτῃ τῇ ἀγγελίᾳ τετίμηται. Καθὸ [9]) καὶ ὁ Ἄρειος πάγος· ἔστι δὲ Ἄρειος πάγος 5
καλούμενος, ὅτι πρῶτος Ἄρης ἐνταῦθα ἐκρίθη· καί μοι καὶ ταῦτα δεδήλωκεν ὁ λόγος, ὡς Ἁλιρρόθιον ἀνέλοι, καὶ ἐφ' ὅτῳ κτείνειε. κριθῆναι δὲ καὶ ὕστερον Ὀρέστην

5) Πελασγοὺς] Idem habet Dionys. Hal Ant. Rom. L. I. p. 22 ed. Sylb. Conf. Herod. VI. f. 137.

6) Ἀκαρνανίαν] *Kuhn.* mavult ἐς Ἀκαρνανίαν.

7) καὶ Πανός] In utroque Codice abest.

8) Φιλιππίδης] Idem memoratur L. VIII. C. 54. in fine. Herodot. L. VI. f. 106., qui eadem habet, scribit Φειδιππίδης.

9) Καθὸ] *Quo loco* (qua urbis parte) *etiam Areopagus est.* De Halirrhothio a Marte interfecto vid. L. I. C. 21.

Ὀρέστην λέγουσιν ἐπὶ τῷ φόνῳ τῆς μητρός· καὶ βωμός ἐστιν Ἀθηνᾶς Ἀρείας, ὃν ἀνέθηκεν ἀποφυγὼν τὴν δίκην. τοὺς δὲ ἀργυροῦς λίθους [10]), ἐφ' ὧν ἑστᾶσιν, ὅσοι δίκας ὑπέχουσι καὶ οἱ διώκοντες, τὸν μὲν ὕβρεως, τὸν δὲ
6 ἀναιδείας αὐτοῖς ὀνομάζουσι [11]). Πλησίον δὲ ἱερὸν θεῶν ἐστιν, ἃς καλοῦσιν Ἀθηναῖοι Σεμνάς, Ἡσίοδος δὲ Ἐρινῦς ἐν Θεογονίᾳ. πρῶτος δὲ σφισιν Αἰσχύλος [12]) δράκοντας ἐποίησεν ὁμοῦ ταῖς ἐν τῇ κεφαλῇ θριξὶν εἶναι· τοῖς δὲ ἀγάλμασιν οὔτε τούτοις ἔπεστιν οὐδὲν φοβερόν, οὔτε ὅσα ἄλλα ἀνάκειται θεῶν τῶν ὑπογαίων. κεῖται δὲ καὶ Πλούτων καὶ Ἑρμῆς, καὶ Γῆς ἄγαλμα. ἐνταῦθα θύουσι μὲν ὅσοις ἐν Ἀρείῳ πάγῳ τὴν αἰτίαν ἐξεγένετο ἀπολύσασθαι, θύουσί τε καὶ ἄλλως ξένοι
7 τε ὁμοίως καὶ ἀστοί. Ἔστι δὲ ἐντὸς τοῦ περιβόλου μνῆμα Οἰδίποδος. πολυπραγμονῶν δὲ εὕρισκον τὰ ὀστᾶ ἐκ Θηβῶν κομισθέντα· τὰ γὰρ ἐς τὸν θάνατον Σοφοκλεῖ πεποιημένα τὸν Οἰδίποδος Ὅμηρος οὐκ εἴα μοι δόξαι πιστά, ὃς ἔφη Μηκιστέα, τελευτήσαντος Οἰδίποδος, ἐπιτάφιον [13]) ἐλθόντα ἐς Θήβας ἀγωνίσασθαι.

8 Ἔστι δὲ Ἀθηναίοις καὶ ἄλλα δικαστήρια οὐκ ἐς τοσοῦτο δόξης ἥκοντα. τῶν μὲν οὖν καλουμένων [14]) Παρά-

10) ἀργυροῦς λίθους] Goldhagen in verſ. germ. haud male ſcribendum putat ἀργοὺς λίθ., *rudes lapides* (potius *albos*). Conf. C. 37. fin. et L. VII. C. 22.

11) ἀναιδείας αὐτοῖς ὀνομ.] *Jun.* Animadv. L. I. C. 3. legendum putat ἀναιτίας. Pro αὐτοῖς Cod. M. ſcribit αὐτῶν, *Meurſ.* in Areopag. αὐτοί.

12) Αἰσχύλος] qui chorum Furiarum primus induxiſſe fertur. Vid. ejus vitam.

13) ἐπιτάφιον] ſcil. ἀγῶνα. Ex Homeri loco Il. Ψ. v. 678. 679. ἐπὶ τάφῳ legendum eſſe videri poſſit.

14) τῶν μὲν οὖν καλουμένων] Xyland. τῶν emendavit pro τὸν, quod in Aldina et in utroque

Παράβυσον καὶ Τρίγωνον, τὸ μὲν, ἐν ἀφανεῖ πόλεως ὂν καὶ ἐπ' ἐλαχίστοις συνιόντων ἐς αὐτὸ, τὸ δὲ ἀπὸ τοῦ σχήματος ἔχει τὰ ὀνόματα· Βατραχιοῦν δὲ καὶ Φοινικιοῦν ἀπὸ χρωμάτων. τὸ δὲ καὶ ἐς τόδε διαμεμένηκεν ὀνομάζεσθαι, τὸ δὲ μέγιστον, καὶ ἐς ὃ πλεῖστοι συνίασιν, Ἡλιαίαν καλοῦσιν [15]). Ὁπόσα δὲ ἐπὶ τοῖς φονεῦσιν, ἐστὶν ἄλλα, καὶ ἐπὶ Παλλαδίῳ καλοῦσι [16]), καὶ τοῖς ἀποκτείνασιν ὡς κρίσις καθέστηκε. καὶ ὅτι μὲν Δημοφῶν πρῶτος ἐνταῦθα ὑπέσχε δίκας, ἀμφισβητοῦσιν οὐδένες· ἐφ' ὅτῳ δὲ, διάφορα ἐς τοῦτο εἴρηται. Διομήδη γάρ φασιν [17]) ἁλούσης Ἰλίου ταῖς ναυσὶν ὀπίσω κομίζεσθαι, καὶ ἤδη τε νύκτα ἐπέχειν, ὡς 9

que Cod. est. At pro καλούμενον equidem scribendum censerem καλουμένων, quod structurae ratio admodum flagitat. De his, quae sequuntur, dicasteriis videndus est Pollux On. L. VIII. s. 117. sq.

15) τὸ δὲ κ.τ.λ. — Ἡλιαίαν καλ.] Haec recta interpunctione expedivi, ut sensus sit: *cui vero etiam nostra aetate maximi* (sc. *dicasterii*) *nomen permansit, et quo plurimi conveniunt, illud Heliaeam vocant.* Suid. Ἡλιαία, τὸ μέγιστον δικαστήριον Ἀθήνησιν etc. Pro τὸ δὲ μέγ. mallem τό τε μέγ.

16) Ὁπόσα δὲ — ἐπὶ Παλλαδίῳ καλοῦσι] Haec in Cod. Vind. desunt. Si structuram orationis et sensum spectes, locus hic mendo laborare videtur. *Kuhn.* emendandum censet ἄλλα τε κ.τ.λ. ὃ ἐπὶ Π. κ. Sed restat difficultas in τοῖς φον. et τοῖς ἀποκτ., quorum alterum abesse posset. Cum Pollux VIII. s. 118. in hoc dicasterio περὶ τῶν ἀκουσίων φόνων jus dici referat, *Goldhagen* in vers. german. hunc locum inde restituendum recte putavit. Quare partim ex hujus, partim ex *Kuhnii* conjectura ita corrigendum arbitror: ἐστ. ἄλλα τε κ.τ.λ. ὃ ἐπὶ Παλλαδίῳ καλοῦσι κ.τ.λ. (ὃ) τοῖς ἀποκτείνασιν ἀκουσίως κρίσις καθέστηκε. *Dicasteria caedis causa cum alia sunt, tum illud, quod* ἐπὶ Παλλ. *vocatur et illis constitutum est, qui inviti caedem patrarunt.*

17) Διομήδη γάρ φασιν] Cod. Mosc. Διομήδην φασίν. Rem ipsam vid. in Poll. VIII. s. 118. 119.

ὡς κατὰ Φαληρὸν πλέοντες γίγνονται, καὶ τοὺς Ἀργείους ὡς ἐς πολεμίαν ἀποβῆναι τὴν γῆν, ἄλλην που δόξαντας ἐν τῇ νυκτὶ καὶ οὐ τὴν Ἀττικὴν εἶναι· ἐνταῦθα Δημοφῶντα λέγουσιν ἐκβοηθήσαντα (οὐκ ἐπισάμενον οὐδὲ τοῦτον τοὺς ἀπὸ τῶν νεῶν ὡς εἰσὶν Ἀργεῖοι) καὶ ἄνδρας αὐτῶν ἀποκτεῖναι, καὶ τὸ Παλλάδιον ἁρπάσαντα οἴχεσθαι· Ἀθηναῖόν τε ἄνδρα οὐ προϊδόμενον ὑπὸ τοῦ ἵππου τοῦ Δημοφῶντος ἀνατραπῆναι, καὶ συμπατηθέντα ἀποθανεῖν· ἐπὶ τούτῳ Δημοφῶντα ὑποσχεῖν δίκας, οἱ μὲν τοῦ συμπατηθέντος τοῖς προσήκουσιν, οἱ δὲ Ἀργείων φασὶ τῷ κοινῷ. Ἐπὶ Δελφινίῳ δὲ κρίσις καθεσθῆναι ἐργάσασθαι φόνον σὺν τῷ δικαίῳ φαμένοις· οἱονεί τι καὶ Θησεὺς παρεχόμενος ἀπέφυγεν, ὅτε Πάλλαντα ἐπαναστάντα καὶ τοὺς παῖδας ἔκτεινε [18]). πρότερον δὲ πρὶν ἢ Θησεὺς ἀφεθῆ, καθεσθῆναι πᾶσι φεύγειν κτείναντα, ἢ κατὰ ταυτὰ θνήσκειν μένοντα. Τὸ δὲ ἐν Πρυτανείῳ καλούμενον, ἔνθα τῷ σιδήρῳ καὶ πᾶσιν ὁμοίως τοῖς ἀψύχοις δικάζουσιν, ἐπὶ τῷδε ἄρξασθαι νομίζω. Ἀθηναίων βασιλεύοντος Ἐρεχθέως, τότε πρῶτον βοῦν ἔκτεινεν ὁ βουφόνος ἐπὶ τοῦ βωμοῦ τοῦ Πολιέως Διός· καὶ ὁ μὲν ἀπολιπὼν ταύτῃ τὸν πέλεκυν ἀπῆλθεν ἐκ τῆς χώρας φεύγων, ὁ δὲ πέλεκυς παραυτίκα ἀφείθη κριθείς· καὶ ἐς τόδε ἀνὰ πᾶν ἔτος κρίνεται. λέγεται μὲν δὴ καὶ ἄλλα τῶν ἀψύχων αὐτόματα ἐπιθεῖναι συν τῷ δικαίῳ τιμωρίαν ἀνθρώποις· ἔργον δὲ κάλλιστον καὶ δόξῃ φανερώτατον ὁ Καμβύσου παρέσχετο ἀκινάκης [19]). Ἔστι δὲ τοῦ Πειραιῶς πρὸς θαλάσσῃ Φρεατ-

18) Πάλλαντα — ἔκτεινε] Conf. C. 22 et Poll l. c.

19) Καμβύσου — ἀκινάκης] qui sponte e vagina elapsus Cambyli necem attulit. Vid. Herodot. L. III. 1. 64.

Φρεαττύς [20]). ἐνταῦθα οἱ πεφευγότες, ἢν ἀπελθόντας ἕτερον ἐπιλάβῃ σφᾶς ἔγκλημα, πρὸς ἀκροωμένους ἐκ τῆς γῆς ἀπὸ νεὼς ἀπολογοῦνται. Τεῦκρον πρῶτον λόγος ἔχει Τελαμῶνι οὕτως ἀπολογήσασθαι, μηδὲν ἐς τὸν Αἴαντος θάνατον εἰργάσασθαι [21]). τάδε μὲν οὖν εἰρήσθω μοι τῶνδε εἵνεκα, γνῶναι ὁπόσης [22]) μέτεστι σπουδῆς εἰς τὰ δικαστήρια.

CAPUT XXIX.

De nave ad Panathenaeorum pompam ducendam conſtructa — Deliae navis magnitudine — templis et ſepulcris extra urbem in pagis et viis — Academia et Dianae templo prope illam — ſepulcris fortium et illuſtrium virorum in via ad Academiam.

Τοῦ δὲ Ἀρείου πάγου πλησίον δείκνυται ναῦς ποιηθεῖσα εἰς τὴν τῶν Παναθηναίων [1]) πομπήν· καὶ ταύτην μὲν ἤδη που τις ὑπερεβάλλετο. Τὸ δὲ ἐν Δήλῳ πλοῖον οὐδένα πω νικήσαντα οἶδα, καθῆκον ἐς ἐννέα ἐρέτας ἀπὸ τῶν καταςρωμάτων. — προδεσμὸ

Ἀθηναίοις δὲ καὶ ἔξω πόλεως ἐν τοῖς Δήμοις, 2
καὶ κατὰ τὰς ὁδοὺς θεῶν ἐσιν ἱερά, καὶ ἡρώων καὶ ἀνδρῶν τάφοι. Ἐγγυτάτω δὲ Ἀκαδημία, χωρίον ποτὲ ἀνδρὸς

20) Φρεαττύς] ſc. Δικαστήριον. Vid. Poll. VIII. ſ. 120.

21) εἰργάσασθαι] *Sylb.* recte monet, vel ἐργάσασθαι vel εἰργάσθαι ſcribendum eſſe. Ad rem, quae ad ὅπλων κρίσιν pertinet, conf. L. I. C. 35., Quint. Cal. L. V. v. 580. ſq. et Ovid. Metam. L. XIII.

22) γνῶναι ὁπόσης etc.] *Sylb.* vertit: *haec a me dicta ſunto eum in finem, ut cognoſcatur, quantum Athenienſium ſit ſtudium in judiciis.* Sed nihil dubito, quin cum *Camer.* et *Kuhnio* pro ὁπόσης ſcribendum ſit ὁπόσοις.

1) Παναθηναίων] De hoc Minervae feſto vid. Suid. h. v. et conf. Pauſ. L. VIII. C. 2.

ἀνδρὸς ἰδιώτου, γυμνάσιον δὲ ἐπ' ἐμοῦ. κατιοῦσι δ' ἐς αὐτὴν, περίβολός ἐστιν Ἀρτέμιδος, καὶ ξόανα Ἀρίστης καὶ Καλλίστης· ὡς μὲν ἐγὼ δοκῶ, καὶ ὁμολογεῖ τὰ ἔπη τὰ Σαπφοῦς, τῆς Ἀρτέμιδός εἰσιν ἐπικλήσεις αὗται· λεγόμενον δὲ καὶ ἄλλον ἐς αὐτὰς λόγον εἰδὼς ὑπερβήσομαι. καὶ ναὸς οὐ μέγας ἐστὶν, ἐς ὃν τοῦ Διονύσου τοῦ Ἐλευθερέως τὸ ἄγαλμα ἀνὰ πᾶν ἔτος κομίζουσιν ἐν τεταγμέναις ἡμέραις. ἱερὰ μέν σφισι ταύ-
3 τη[2]) τοσαῦτά ἐστι. Τάφοι δὲ Θρασυβούλου μὲν πρῶτον τοῦ Λύκου, ἀνδρὸς τῶν τε ὕστερον καὶ ὅσοι πρὸ αὐτοῦ γεγόνασιν Ἀθηναίοις γόνιμοι[3]) τὰ πάντα ἀρίστου· παρέντι δέ μοι τὰ πλείω, τοσάδε ἐς πίστιν ἀρκέσει τοῦ λόγου. τυραννίδα γὰρ ἔπαυσε τῶν τριάκοντα καλουμένων σὺν ἀνδράσιν ἑξήκοντα τὸ καταρχὰς ὁρμηθεὶς ἐκ Θηβῶν· καὶ Ἀθηναίους σασιάζοντας διαλλαγῆναι καὶ συνθεμένους ἔπεισε μεῖναι. πρῶτος μέν ἐστιν οὗτος τάφος· ἐπὶ δὲ αὐτοῦ Περικλέους τε καὶ Χα-
4 βρίου καὶ Φορμίωνος. Ἔστι δὲ καὶ πᾶσι μνῆμα Ἀθηναίοις, ὁπόσοις ἀποθανεῖν συνέπεσεν ἔν τε ναυμαχίαις καὶ ἐν μάχαις πεζαῖς, πλὴν ὅσοι Μαραθῶνι αὐτῶν ἠγωνίσαντο· τούτοις γὰρ κατὰ χώραν[4]) εἰσὶν οἱ τάφοι δι' ἀνδραγαθίαν· οἱ δὲ ἄλλοι κατὰ τὴν ὁδὸν κεῖνται τὴν ἐς Ἀκαδημίαν[5]), καὶ σφῶν ἑσᾶσιν ἐπὶ τοῖς τάφοις στῆλαι τὰ ὀνόματα καὶ τὸν δῆμον ἑκάστου λέγουσαι. πρῶτοι δὲ ἐτάφησαν, οὓς ἐν Θρᾴκῃ ποτὲ ἐπικρα-

2) ταύτῃ] abeſt in Cod. Vind.

3) γόνιμοι] *fructuoſi, utiles reipublicae.* Heſych. γόνιμον, εὔκαρπον. Paullo infra pro τοσάδε ἐς uterque Codex dat τοσαῦτα ἐς.

4) κατὰ χώραν] h. e. in agro Marathonio. Conf. L. I. C. 32.

5) τὴν ἐς Ἀκαδημίαν] Uterque Codex exhibet τὴν στενὴν τὴν ἐς Ἀκαδ.

κρατοῦντας μέχρι Δραβήσκου [6]) τῆς χώρας Ἠδωνοὶ Φονεύουσιν ἀνέλπιστοι ἐπιθέμενοι· λέγεται δὲ καὶ ὡς κεραυνοὶ πέσοιεν ἐπ' αὐτούς. στρατηγοὶ δὲ ἄλλοι τε ἦσαν καὶ Λέαγρος, ᾧ μάλιστα ἐπετέτραπτο ἡ δύναμις, καὶ Δεκελεὺς ΣωΦονὴς [7]), ὃς τὸν Ἀργεῖόν ποτε πένταθλον Νεμείων ἀνῃρημένον νίκην ἀπέκτεινεν Εὐρυβάτην, βοηθοῦντα Αἰγινήταις. στρατὸν δὲ ἔξω τῆς Ἑλλάδος Ἀθηναῖοι τρίτον τοῦτον ἔστειλαν. Πριάμῳ μὲν γὰρ καὶ Τρωσὶ πάντες Ἕλληνες ἀπὸ κοινοῦ λόγου [8]) κατέστησαν ἐς πόλεμον· Ἀθηναῖοι δὲ ἰδίᾳ μετ' Ἰολάου τε ἐς Σαρδὼ [9]), καὶ δεύτερον ἐς τὴν νῦν Ἰωνίαν ἐστράτευσαν, καὶ τρίτον δὴ τότε ἐς τὴν Θρᾴκην. Ἔστι δὲ ἔμ- 5
προσθεν τοῦ μνήματος σήλη, μαχομένους ἔχουσα ἱππεῖς· Μελάνωπός σφίσιν ἐστι καὶ Μακάρτατος ὀνόματα, οὓς κατέλαβεν ἀποθανεῖν ἐναντία Λακεδαιμονίων καὶ Βοιωτῶν τεταγμένους, ἔνθα τῆς Ἐλευσινίας εἰσὶ χώρας πρὸς Ταναγραίους ὅροι. καὶ Θεσσαλῶν τάφος ἐστὶν ἱππέων κατὰ παλαιὰν Φιλιαν ἐλθόντων, ὅτε σὺν Ἀρχιδάμῳ Πελοποννήσιοι πρῶτον ἐσέβαλον ἐς τὴν Ἀττικὴν στρατιᾷ· καὶ πλησίον τοξόταις Κρησίν. αὖθις δέ ἐστιν Ἀθηναίων μνήματα, Κλεισθένους, ᾧ τὰ ἐς τὰς φυλὰς, αἳ νῦν καθεστᾶσιν, ἐυρέθη· καὶ ἱππεῦσιν ἀποθανοῦσιν, ἡνίκα συνεπελάβοντο οἱ Θεσσαλοὶ τοῦ κινδύνου. ἐνταῦθα καὶ Κλεωναῖοι κεῖνται, μετὰ Ἀργεί-

6) Δραβήσκου] Sic posui pro vulgata Βραβύσκου ex Steph., Thucyd. et Strabone, sicuti Palmer. Exerc. p. 367. jam emendaverat.

7) Σωφονὴς] Plura de hoc in Herodot. IX. f. 73 74., qui scribit Σωφάνης, ubi v. interpr.

8) λόγου] *Kuhn.* tanquam glossema ejiciendum censet.

9) μετ' Ἰολάου τε ἐς Σαρδὼ] De hac in Sardiniam expeditione pluribus agit L. X. C. 17. Conf. L. VII C. 2. et Valken. ad Herodot. L. V. f. 106.

Ἀργείων ἐς τὴν Ἀττικὴν ἐλθόντες· ἐφ' ὅτῳ δὲ, γράψω τοῦ λόγου μοι κατελθόντος ἐς τοὺς Ἀργείους. καὶ Ἀθηναίων δ' ἔστι τάφος, οἳ, πρὶν ἢ στρατεῦσαι τὸν Μή-
6 δον, ἐπολέμησαν πρὸς Αἰγινήτας. Ἦν δὲ ἄρα καὶ δήμου δίκαιον βούλευμα, εἰ δὴ καὶ Ἀθηναῖοι μετέδοσαν δούλοις δημοσίᾳ ταφῆναι, καὶ τὰ ὀνόματα ἐγγραφῆναι στήλῃ· δηλοῖ δὲ ἀγαθοὺς σφᾶς ἐν τῷ πολέμῳ γενέσθαι περὶ τοὺς δεσπότας. ἔστι δὲ καὶ ἀνδρῶν ὀνόματα ἄλλων, διάφορα δὲ σφίσι τὰ χωρία τῶν ἀγώνων· καὶ γὰρ τῶν ἐπ' Ὄλυνθον ἐλθόντων οἱ δοκιμώτατοι, καὶ Μελήσανδρος ἐς τὴν ἄνω Καρίαν ναυ-
7 σὶν ἀναπλεύσας διὰ τοῦ Μαιάνδρου. Ἐτάφησαν δὲ καὶ οἱ τελευτήσαντες πολεμοῦντος Κασσάνδρου, καὶ οἱ συμμαχήσαντες τότε Ἀργείων [10]· προαχθῆναι δὲ οὕτω σφίσι τὴν πρὸς Ἀργείους λέγουσι συμμαχίαν. Λακεδαιμονίοις, τὴν πόλιν τοῦ θεοῦ σείσαντος, οἱ εἵλωτες ἐς Ἰθώμην ἀπέστησαν· ἀφεσηκότων δὲ, οἱ Λακεδαιμόνιοι βοηθοὺς καὶ ἄλλους καὶ παρὰ Ἀθηναίων μετεπέμποντο· οἱ δὲ σφίσιν ἐπιλέκτους ἄνδρας ἀποστέλλουσι, καὶ στρατηγὸν Κίμωνα τὸν Μιλτιάδου· τούτους ἀποπέμπουσιν οἱ Λακεδαιμόνιοι πρὸς ὑποψίαν. Ἀθηναίοις δὲ οὐκ ἀνεκτὰ ἐφαίνετο περιυβρίσθαι, καὶ ὡς ἐκομίζοντο ὀπίσω, συμμαχίαν ἐποιήσαντο Ἀργείοις Λακεδαιμονίων ἐχθροῖς τὸν ἅπαντα οὐσι χρόνον. ὕστερον δὲ μελλούσης Ἀθηναίων ἐν Τανάγρᾳ γίνεσθαι πρὸς Βοιωτοὺς καὶ Λακεδαιμονίους μάχης, ἀφίκοντο Ἀθηναίοις Ἀργεῖοι βοηθοῦντες· καὶ παραυτίκα μὲν ἔχοντας πλέον τοὺς Ἀργείους νὺξ ἐπελθοῦσα ἀφεί-

λετο

10) τότε Ἀργείων] *Kuhn.*, ut temporum ratio conſtet, pro τότε recte legendum putat τοτε, et pro προαχθῆναι, quod ſtatim ſequitur, πραχθῆναι. Ad rem videndus Thucyd. L. I. ſ. 101. ſq.

λετο τὸ σαφὲς τῆς νίκης· ἐς δὲ τὴν ὑστεραίαν ὑπῆρξε κρατῆσαι Λακεδαιμονίοις, Θεσσαλῶν προδόντων Ἀθηναίους. καταλέξαι δέ μοι καὶ τούσδε ἐπῆλθεν· Ἀπολλόδωρον ξένων ἡγεμόνα, ὃς Ἀθηναῖος μὲν ἦν, ἐκπεμφθεὶς δὲ ὑπὸ Ἀρίσου [11]) σατράπου τῆς ἐφ' Ἑλλησπόντῳ Φρυγίας, διεφύλαξε Περινθίοις τὴν πόλιν, ἐσβεβληκότος ἐς τὴν Περινθίαν Φιλίππου στρατῷ. οὗτός τε οὖν ἐνταῦθα τέθαπται, καὶ Εὔβουλος ὁ Σπινθάρου, καὶ ἄνδρες, οἷς ἀγαθοῖς οὖσιν οὐκ ἐπηκολούθησε τύχη χρηστή· τοῖς μὲν [12]) οὖν ἐπιθεμένοις τυραννοῦντι Λαχάρει, οἱ δὲ τοῦ Πειραιῶς καταλῆψιν ἐβούλευσαν Μακεδόνων φρουρούντων, πρὶν δὲ εἰργάσθαι τὸ ἔργον, ὑπὸ τῶν συνειδότων μηνυθέντες ἀπώλοντο. Κεῖνται δὲ καὶ οἱ περὶ Κόρινθον πεσόντες· ἐδήλωσε δὲ 8
οὐχ ἥκιστα ὁ θεὸς ἐνταῦθα καὶ αὖθις ἐν Λεύκτροις, τοὺς ὑπὸ Ἑλλήνων καλουμένους ἀνδρείους, τὸ μηδὲν ἄνευ τύχης εἶναι [13])· εἰ δὴ Λακεδαιμόνιοι, Κορινθίων τότε καὶ Ἀθηναίων, ἔτι δὲ καὶ Ἀργείων καὶ Βοιωτῶν κρατήσαντες, ὕστερον ὑπὸ Βοιωτῶν μόνων ἐν Λεύκτροις ἐς τοσοῦτον ἐκακώθησαν. Μετὰ δὲ τοὺς ἀποθανόντας 9
ἐν Κορίνθῳ, σήλην ἐπὶ τοῖσδε ἑσάναι τὴν αὐτὴν σημαίνει τὰ ἐλεγεῖα, τοῖς μὲν ἐν Εὐβοίᾳ τε καὶ Χίῳ τελευτήσασι· τοὺς δὲ ἐπὶ τοῖς ἐσχάτοις τῆς Ἀσιανῆς ἠπείρου διαφθαρῆναι δηλοῖ, τοὺς δὲ ἐν Σικελίᾳ.

11) Ἀρίσου] Cod. Vindob. Ἀρίσου. *Kuhn.* scribendum suspicatur Ἀρσίτου. Ἀρσίτης enim, uti ex Arrian. de exp. Alex. L. I. constat, Phrygiae ad Hellespontum satrapes fuit, cum Alexander in Asiam trajiceret.

12) τοῖς μὲν etc.] Huc revocanda, quae ante L. I. C. 25. in fine sunt enarrata.

13) ἐν Λεύκτροις, τοὺς — τὸ μηδὲν ἄν. τ. εἶναι] Interpretes haec vertunt, ac si τὸ redundaret. Ante τοὺς ὑπὸ etc. potius κατὰ, ἐς supplendum, vel ἐς τοὺς ὑπὸ etc. scribendum est.

γεγραμμένοι δέ εἰσιν οἵ τε στρατηγοὶ πλὴν Νικίου, καὶ τῶν στρατιωτῶν ὁμοῦ τοῖς ἀστοῖς Πλαταιεῖς. Νικίας δὲ ἐπὶ τῷδε παρεῖθη· γράφω δὲ οὐδὲν διάφορα, ἢ Φίλιστος, ὃς ἔφη Δημοσθένην μὲν σπονδὰς ποιήσασθαι τοῖς ἄλλοις, πλὴν αὐτοῦ, καὶ ὡς ἡλίσκετο, αὐτὸν ἐπιχειρεῖν ἀποκτεῖναι, Νικίᾳ δὲ τὴν παράδοσιν ἐθελοντῇ γενέσθαι. τούτων εἵνεκα οὐκ ἐνεγράφη Νικίας τῇ σήλῃ, καταγνωσθεὶς αἰχμάλωτος ἐθελοντὴς εἶναι
10 καὶ οὐκ ἀνὴρ πολέμῳ πρέπων. Εἰσὶ δὲ ἐπ' ἄλλῃ σήλῃ καὶ οἱ μαχεσάμενοι περὶ τὴν Θράκην, καὶ ἐν Μεγάροις, καὶ ἡνίκα Ἀρκάδας τοὺς ἐν Μαντινείᾳ καὶ Ἠλείους ἔπεισεν Ἀλκιβιάδης Λακεδαιμονίων ἀποσῆναι καὶ οἱ, πρὶν ἐς Σικελίαν ἀφικέσθαι Δημοσθένην, Συρακουσίων
11 κρατήσαντες. Ἐτάφησαν δὲ καὶ οἱ περὶ τὸν Ἑλλήσποντον ναυμαχήσαντες, καὶ ὅσοι Μακεδόνων ἐναντία ἠγωνίσαντο ἐν Χαιρωνείᾳ, καὶ οἱ μετὰ Κλέωνος ἐς Ἀμφίπολιν στρατεύσαντες· οἵ τε ἐν Δηλίῳ τῷ Ταναγραίων τελευτήσαντες, καὶ ὅσους ἐς Θεσσαλίαν Λεωσθένης ἤγαγε, καὶ οἱ πλεύσαντες ἐς Κύπρον ὁμοῦ Κίμωνι, τῶν τε σὺν Ὀλυμπιοδώρῳ [14]) τὴν Φρουρὰν ἐκβαλόντων
12 τριῶν καὶ δέκα ἄνδρες οὐ πλείους. Φασὶ δὲ Ἀθηναῖοι καὶ Ῥωμαίοις ὁμορόν τινα πολεμοῦσι πόλεμον, στρατιὰν οὐ πολλὴν πέμψαι, καὶ ὕστερον ναυμαχίας Ῥωμαίων πρὸς Καρχηδονίους γιγνομένης, τριήρεις πέντε Ἀττικαὶ παρεγένοντο· ἔστιν οὖν καὶ τούτοις ἐνταῦθα
13 τοῖς ἀνδράσιν ὁ τάφος. Τολμίδου δὲ καὶ τῶν σὺν αὐτῷ δεδήλωται μέν ἠδη μοι [15]) τὰ ἔργα, καὶ ὃν τρόπον ἐτελεύτησαν. ἴσως δὲ ὅτῳ φίλον, κειμένους σφᾶς κατὰ

14) τῶν τε σὺν Ὀλυμπιοδώρῳ] Referenda haec ad L. I. C. 26. init.

15) δεδήλωται — μοι etc.] Paullo ante C. 27.

κατὰ τὴν ὁδὸν ταύτην. Κεῖνται δὲ καὶ οἱ σὺν Κίμωνι 14
τὸ μέγα ἔργον ἐπ' Εὐρυμέδοντι πεζῇ καὶ [16]) ναυσὶν
αὐθημερὸν κρατήσαντες. τέθαπται δὲ καὶ Κόνων καὶ
Τιμόθεος, δεύτεροι μετὰ Μιλτιάδην καὶ Κίμωνα οὗτοι
πατὴρ καὶ παῖς ἔργα ἀποδειξάμενοι λαμπρά. Κεῖ- 15
ται δὲ καὶ Ζήνων ἐνταῦθα ὁ Μνασείου [17]), καὶ Χρύ-
σιππος ὁ Σολεὺς, Νικίας τε ὁ Νικομήδους [18]) ζῶα ἄρ-
ρισος γράψαι τῶν ἐφ' αὑτοῦ, καὶ Ἁρμόδιος καὶ Ἀρι-
στογείτων, οἱ τὸν Πεισιστράτου παῖδα Ἵππαρχον ἀπο-
κτείναντες, ῥήτορές τε Ἐφιάλτης, ὃς τὰ νόμιμα τὰ ἐν
Ἀρείῳ πάγῳ μάλιστα ἐλυμήνατο, καὶ Λυκοῦργος [19]) ὁ
Λυκόφρονος. Λυκούργῳ δὲ ἐπορίσθη μὲν τάλαντα 16
ἐς τὸ δημόσιον πεντακοσίοις πλείονα καὶ ἑξακισχιλίοις,
ἢ ὅσα Περικλῆς ὁ Ξανθίππου συνήγαγε· κατεσκεύα-
σε δὲ πομπεῖα τῇ θεῷ, καὶ νίκας χρυσᾶς, καὶ παρ-
θένους κόσμον ἑκατόν· ἐς δὲ πόλεμον ὅπλα καὶ βέλη,
καὶ τετρακοσίας ναυμαχοῦσιν εἶναι τριήρεις· οἰκοδο-
μήματα δὲ ἐπετέλεσε μὲν τὸ θέατρον ἑτέρων ὑπαρ-
ξαμένων· τὰ δὲ ἐπὶ τῆς αὐτοῦ πολιτείας, ἃ ᾠκο-
δόμησεν, ἐν Πειραιεῖ νεώς εἰσιν οἶκοι, καὶ τὸ πρὸς τῷ
Λυκίῳ καλουμένῳ Γυμνάσιον. ὅσα μὲν οὖν ἀργύρου

16) ἐπ' Εὐρυμέδοντι πεζῇ καὶ] Cod. Vind. ἐν τῇ πεζικῇ καὶ, et C. Mosc. ἐπὶ τῇ πεζῇ, uterque omisso ἐπ' Εὐρυμέδοντι. Pausan. ista iisdem fere verbis habet L. X. C. 15.

17) Ζήνων — ὁ Μνασείου etc.] Cod. Vind. Μνασίου. Diog. Laërt VII. s. 1. Μνασέου ἢ Δημέου, et s. 179. Χρύσιππ. Σολεὺς ἢ Ταρσεύς.

18) Νικομήδους] Cod Vind. Νικομίδου, et Cod. Mosc. Νικομήδου.

19) Λυκοῦργος etc.] Rhetor, cujus aeneae statuae mentio facta est C. VIII. Vid. de eo not. ad Diog. Laërt. III. s. 46. Mox post ἐπορίσθη in utroque Cod. μὲν abest.

πεποιημένα ἦν καὶ χρυσοῦ, Λαχάρης καὶ ταῦτα ἐσύλησε τυραννήσας· τὰ δὲ οἰκοδομήματα καὶ ἐς ἡμᾶς ἔτι ἦν.

CAPUT XXX.

De daemonis Ἀντέρωτος dicti ara in urbe — cursu cum facibus ad aram Promethei — aliis aris in Academia — Platonis monumento — Cycno — turri Timonis — aliis memorandis in hac urbis regione.

Πρὸ δὲ τῆς ἐσόδου τῆς ἐς Ἀκαδημίαν ἐστὶ βωμὸς Ἔρωτος ἔχων ἐπίγραμμα, ὡς Χάρμος Ἀθηναίων πρῶτος Ἔρωτι ἀναθείη. τὸν δὲ ἐν πόλει βωμὸν καλούμενον Ἀντέρωτος ἀνάθημα εἶναι λέγουσι μετοίκων, ὅτι Μέλης [1]) Ἀθηναῖος μέτοικον ἄνδρα Τιμαγόραν ἐρασθέντα ἀτιμάζων, ἀφεῖναι κατὰ τῆς πέτρας αὐτὸν ἐκέλευσεν, ἐς τὸ ὑψηλότατον αὐτῆς ἀνελθόντα. Τιμαγόρας δὲ ἄρα καὶ ψυχῆς εἶχεν ἀφειδῶς, καὶ πάντων ὁμοίως [2]) κελεύοντι ἤθελε χαρίζεσθαι τῷ μειρακίῳ, καὶ δὴ καὶ φέρων ἑαυτὸν ἀφῆκε [3]). Μέλητα δὲ, ὡς ἀποθανόντα εἶδε Τιμαγόραν, ἐς τοσοῦτον μετανοίας ἐλθεῖν, ὡς πεσεῖν τε ἀπὸ τῆς πέτρας τῆς αὐτῆς· καὶ οὕτως ἀφεὶς αὑτὸν ἐτελεύτησε· καὶ τὸ ἐντεῦθεν δαίμονα Ἀντέρωτα [4]) τὸν ἀλάστορα τὸν Τιμαγόρου κατ-

ἔσχη

1) Μέλης] Aelian., qui in fragm. Var. Hist. p. 1039. eadem copiosius narrat, hunc Μέλητον vocat, et ex Acropoli se praecipitem misisse dicit.

2) πάντων ὁμοίως] *Sylb.* vertit *ut quivis alius.* Sed Cod. Vind. bene exhibet πάντα.

3) φέρων ἑ. ἀφῆκε] Hic, ut alibi, φέρων *impetum* declarat. Sic Ael. V. H. VIII. 14. ἑαυτὸν φέρων ἔῤῥιψε, vbi vid. Perizon.

4) Ἀντέρωτα] Conf. L. VI. C. 23.

ἔστι τοῖς μετοίκοις νομίζειν. Ἐν Ἀκαδημίᾳ δέ ἐστι 2
Προμηθέως βωμός· καὶ θέουσιν ἀπ' αὐτοῦ πρὸς τὴν
πόλιν ἔχοντες καιομένας λαμπάδας· τὸ δὲ ἀγώνι-
σμα ὁμοῦ τῷ δρόμῳ φυλάξαι τὴν δᾷδα ἔτι καιομένην
ἐστίν· ἀποσβεσθείσης δὲ, οὐδὲν ἔτι τῆς νίκης τῷ πρώ-
τῳ, δευτέρῳ δὲ ἀντ' αὐτοῦ μέτεσιν· εἰ δὲ μηδὲ τούτῳ
καίοιτο, ὁ τρίτος ἐστὶν ὁ κρατῶν· εἰ δὲ καὶ πᾶσιν ἀπο-
σβεσθείη, οὐδείς ἐστιν, ὅτῳ καταλείπεται ἡ νίκη. ἔστι
δὲ Μουσῶν τε [5]) βωμὸς, καὶ ἕτερος Ἑρμοῦ, καὶ ἔνδον
Ἀθηνᾶς, τὸν δὲ [6]) Ἡρακλέους ἐποίησαν. καὶ φυτόν
ἐστιν ἐλαίας, δεύτερον τοῦτο λεγόμενον φανῆναι. Ἀκα- 3
δημίας δὲ οὐ πόρρω Πλάτωνος μνῆμά ἐστιν, ᾧ προεσή-
μαινεν ὁ θεὸς ἄριστον τὰ ἐς Φιλοσοφίαν [7]) ἔσεσθαι·
προεσήμαινε δὲ οὕτω. Σωκράτης τῇ προτεραίᾳ νυκτὶ,
ἣ Πλάτων ἔμελλεν ἔσεσθαι μαθητὴς, ἐσπτῆναί οἱ κύ-
κνον εἰς τὸν κόλπον εἶδεν ὄνειρον· ἔστι δὲ κύκνῳ τῷ ὄρνιθι
μουσικῆς δόξα, ὅτι Λιγύων τῶν Ἠριδανοῦ πέραν ὑπὲρ
γῆς τῆς Κελτικῆς Κύκνον ἄνδρα μουσικὸν γενέσθαι βα-
σιλέα φασὶ, τελευτήσαντα δὲ Ἀπόλλωνος γνώμῃ με-
ταβαλεῖν λέγουσιν αὐτὸν ἐς τὸν ὄρνιθα. ἐγὼ δὲ βα-
σιλεῦσαι μὲν πείθομαι Λίγυσιν ἄνδρα μουσικὸν, γε-
νέσθαι δέ μοι ἄπιστον ὄρνιθα ἀπ' ἀνδρός. Κατὰ τοῦ- 4
το τῆς χώρας φαίνεται πύργος Τίμωνος, ὃς μόνος εἶ-
δε [8]) μηδένα τρόπον εὐδαίμονα εἶναι γενέσθαι, πλὴν
τοὺς ἄλλους φεύγοντα ἀνθρώπους. δείκνυται δὲ καὶ

5) Μουσῶν τε] τε in utroque Cod abeſt, et Cod. Moſc. ante Μουσῶν inſerit καί.

6) τὸν δὲ] Sic ſcripſi pro vulgata τὸ δὲ ex Cod. Vind., *Sylb* jam hoc conjiciente. Scilicet ante Ἀθηνᾶς ſubaudiendum τὸν μὲν, quae ellipticа orationis ſtructura ſaepius in Pauſania eſt obvia.

7) φιλοσοφίαν] Cod. Vind. habet φιλανθρωπίαν.

8) εἶδε] Cod. Vind οἶδε. De Timone v. Luciani Dial. Τίμων et Menag. ad Laërt. IX. ſ. 112.

χῶρος καλούμενος Κολωνὸς ἵππιος, ἔνθα τῆς Ἀττικῆς πρῶτον ἐλθεῖν λέγουσιν Οἰδίποδα· διάφορα μέντοι καὶ ταῦτα τῇ Ὁμήρου ποιήσει. λέγουσι [9]) δ' οὖν καὶ βωμὸν Ποσειδῶνος Ἱππίου, καὶ Ἀθηνᾶς Ἱππίας· ἡρῷον δὲ Πειρίθου καὶ Θησέως, Οἰδίποδός τε καὶ Ἀδράστου. τὸ δὲ ἄλσος τοῦ Ποσειδῶνος καὶ τὸν ναὸν ἐνέπρησεν Ἀντίγονος ἐσβαλών, καὶ ἄλλοτε στρατιᾷ κακώσας Ἀθηναίοις τὴν γῆν.

CAPUT XXXI.

De memorandis in parvis Atticae pagis — Hyperboreorum primitiis — Diana, unde Colaenis et Amarylia dicta.

Δῆμοι δὲ οἱ μικροὶ τῆς Ἀττικῆς, ὡς ἔτυχεν ἕκαστος οἰκισθείς. ἃ δὲ εἰς μνήμην παρείχοντο, Ἁλιμουσίοις μὲν Θεσμοφόρου Δήμητρος καὶ Κόρης ἐστὶν ἱερόν. ἐν Ζωστῆρι δὲ ἐπὶ θαλάσσῃ [1]) καὶ βωμὸς Ἀθηνᾶς, καὶ Ἀπόλλωνος, καὶ Ἀρτέμιδος, καὶ Λητοῦς. τεκεῖν μὲν οὖν Λητὼ τοὺς παῖδας ἐνταῦθα οὔ φασι, λύσασθαι δὲ τὸν ζωστῆρα ὡς τεξομένην, καὶ τῷ χωρίῳ διὰ τοῦτο γενέσθαι τὸ ὄνομα. Προσπαλτίοις δὲ ἔτι καὶ τούτοις Κόρης καὶ Δήμητρος ἱερόν. Ἀναγυρασίοις δὲ μητρὸς θεῶν ἱερόν. Κεφαλῆσι δὲ οἱ Διόσκουροι νομίζονται μάλιστα· μεγάλους γὰρ σφᾶς οἱ ταύτῃ θεοὺς ὀνομά-
2 ζουσιν. ἐν δὲ Πρασιεῦσιν Ἀπόλλωνός ἐστι ναός· ἐνταῦθα

9) διάφορα — ποιήσει. λέγουσι etc.] λέγουσι hic alieno loco esse et aliquid mendosi latere videtur. Forte aliter interpungendum et ita scribendum sit: — ποιήσει λέγουσι. ἔχουσι δ' οὖν etc. Mox Ἱππίου et Ἱππίας uterque Codex scribit per ει.

1) ἐπὶ θαλάσσῃ] Uterque Cod. ἐπὶ θαλάσσης.

ταῦθα τὰς Ὑπερβορέων ἀπαρχὰς [2]) ἰέναι λέγεται· παραδιδόναι δὲ αὐτὰς Ὑπερβορέους μὲν Ἀριμασποῖς, Ἀριμασποὺς δ' Ἰσσηδόσι, παρὰ δὲ τούτων Σκύθας ἐς Σινώπην κομίζειν, ἐντεῦθεν δὲ φέρεσθαι διὰ Ἑλλήνων ἐς Πρασιὰς, Ἀθηναίους δὲ εἶναι τοὺς ἐς Δῆλον ἄγοντας· τὰς δὲ ἀπαρχὰς κεκρύφθαι μὲν ἐν καλάμῃ πυρῶν, γινώσκεσθαι δὲ ὑπ' οὐδένων. ἔστι δὲ μνῆμα ἐπὶ Πρασιαῖς Ἐρυσίχθονος, ὃς ἐκομίζετο ὀπίσω μετὰ τὴν θεωρίαν ἐκ Δήλου, γενομένης οἱ κατὰ τὸν πλοῦν τῆς τελευτῆς. Κραναὸν δὲ τὸν βασιλεύσαντα Ἀθηναίων, ὅτι μὲν ἐξέβαλεν Ἀμφικτύων κήδεσην ὄντα, ἔτι πρότερον εἴρηταί μοι [3])· φυγόντα δὲ αὐτὸν σὺν τοῖς στρατιώταις ἐς τὸν δῆμον τὸν Λαμπρέα [4]) ἀποθανεῖν τε αὐτοῦ καὶ ταφῆναι λέγουσι· καὶ ἔστι καὶ ἐς ἐμὲ καὶ ἐν τοῖς Λαμπρεῦσι Κραναοῦ μνῆμα. Ἴωνος δὲ τοῦ Ξούθου (καὶ γὰρ οὗτος [5]) ᾤκησε παρὰ Ἀθηναίοις, καὶ Ἀθηνῶν ἐπὶ τοῦ πολέμου τοῦ πρὸς Ἐλευσινίους ἐπολεμάρχησε) τάφος ἐν Ποταμοῖς [6]) ἐστὶ τῆς χώρας. ταῦτα μὲν δὴ οὕτω λέγεται. Φλυεῦσι δέ εἰσι καὶ Μυρρινουσίοις, τοῖς μὲν Ἀπόλλωνος Διονυσοδότου καὶ Ἀρτέμιδος Σελασ-

2) τὰς Ὑπερβορέων ἀπαρχὰς] De Hyperboreis vid. Paus. L. V. C. 7. et inprimis Herodot. L. IV. C. 32—35., ubi multa de his primitiis Apollini oblatis Plura de iis congessit Perizon. ad Ael V H. II. C. 26. et Salmas. Exercit. p. 207. 208.

3) ἔτι πρότερον εἴρ. μ.] Vid. C. 2 in fine.

4) Λαμπρέα] Cod Mosc. Λαμπτρέα et mox pro Λαμπρεῦσι habet Λαμπτρεῦσι. Harpocrat. quoque scribit Λαμπτραὶ, Strabo autem L. IX. p. 610. Λαμπυρεῖς. Vid. de hoc et reliquis pagis Meurs. de populis Attic.

5) οὗτος] in utroque Cod. abest.

6) Ποταμοῖς] Scribendum esse Ποταμίοις, vix dubito. Paus. L. VII. C. 1. καὶ Ἴωνος ἐν τῷ δήμῳ μνῆμα Ποταμίων ἐστίν. Pagi vero nomen Ποταμοὶ fuit, non Ποταμοὶ, uti ex Strabone L. IX. p. 611. constat.

Φόρου βωμοὶ, Διονύσου τε Ἀνθίου [7]), καὶ Νυμφῶν Ἰσμηνίδων, καὶ Γῆς, ἣν μεγάλην θεὸν ὀνομάζουσι· ναὸς δὲ ἕτερος ἔχει βωμοὺς Δήμητρος Ἀνησιδώρας [8]), Διὸς Κτησίου, καὶ Τιθρωνῆς Ἀθηνᾶς, καὶ Κόρης πρω-
3 τογόνης, καὶ Σεμνῶν ὀνομαζομένων θεῶν. Τὸ δὲ ἐν Μυρρινοῦντι ξόανόν ἐστι Κολαινίδος· Ἀθμονῆς [9]) δὲ τιμῶσιν Ἀμαρυσίαν Ἄρτεμιν. πυνθανόμενος δὲ σαφὲς οὐδὲν ἐς αὐτὰ ἐπισαμένους τοὺς ἐξηγητὰς εὗρον, αὐτὸς δὲ συμβάλλομαι τῇδε. ἔστιν Ἀμαρυνθὸς ἐν Εὐβοίᾳ· καὶ γὰρ οἱ ταύτῃ τιμῶσιν Ἀμαρυσίαν Ἄρτεμιν· ἑορτὴν δὲ καὶ Ἀθηναῖοι τῆς Ἀμαρυσίας ἄγουσιν, οὐδέν τι Εὐβοέων ἀφανέστερον· ταύτῃ μὲν γενέσθαι τὸ ὄνομα ἐπὶ τοῦτο [10]) παρὰ Ἀθμονεῦσιν ἡγοῦμαι· τὴν δὲ ἐν Μυρρινοῦντι Κολαινίδα ἀπὸ Κολαίνου καλεῖσθαι. γεγραπται δὲ δή μοι, τῶν ἐν [11]) τοῖς δήμοις φάναι πολλοὺς, ὡς καὶ πρὸ τῆς ἀρχῆς ἐβασιλεύοντο τῆς Κέκροπος. ἔστι δὲ ὁ Κολαινος ἀνδρὸς ὄνομα, πρότερον ἢ Κέκροψ ἐβασίλευσεν, ὡς οἱ Μυρρινούσιοι λεγουσιν, ἄρξαντος. ἔστι δὲ Ἀχαρναὶ [12]) δῆμος· οὗτοι θεῶν Ἀπόλλωνα τιμῶσιν Ἀγυιέα καὶ Ἡρακλέα. καὶ Ἀθηνᾶς βωμός ἐστιν Ὑγείας· τήνδ' Ἱππίαν Ἀθηναν ὀνομάζουσι, καὶ Διόνυσον Μελπόμενον, καὶ Κισσὸν

7) Ἀνθίου] Διόνυσος Ἀνθεὺς ab Achajae oppido Anthea est L. VII. C. 21.

8) Ἀνησιδώρας] Hesych. Ἀνησιδώρα, ἡ γῆ, διὰ τὸ τοὺς καρποὺς ἀνιέναι. Conf Wessel. ad Diodor. p. 255. n. 56. Ceres Ἄνησ. est apud Plutarch. Sympos. VIII. 14.

9) Ἀθμονῆς] Cod. Vind. Ἀσθμονεῖς. Vid. Steph. v. Ἀθμονόν.

10) ἐπὶ τοῦτο] Sylb. rectius scribi putat ἐπὶ τούτῳ, eam ob rem.

11) τῶν ἐν] In τῶν aliquid mendi latere videtur. Nam Cod. Vind. habet οἷον ἐν et C. Mosc. εἶναι ἐν.

12) Ἀχαρναὶ] Cod. Mosc. Ἀχαρναίων. Haud male. Vid. Steph. v. Ἀχάρνα.

Κισσὸν τὸν αὐτὸν θεὸν, τὸν κισσὸν τὸ φυτὸν ἐνταῦθα πρῶτον φανῆναι λέγοντες.

CAPUT XXXII.

De montibus Atticae ac fignis arisque deorum in iis — Marathone pago et memorandis in eo — fonte ibi Macaria.

Ὄρη δὲ Ἀθηναίοις ἐστὶ Πεντελικὸν, ἔνθα λιθοτομίαι· καὶ Πάρνης παρεχομένη θήραν συῶν ἀγρίων καὶ ἄρκτων· καὶ Ὑμηττὸς, ὃς φύει νομὰς μελίττας ἐπιτηδειοτάτας πλὴν τῆς Ἀλιζώνων [1]). Ἀλιζῶσι γὰρ συνήθεις ὁμοῦ τοῖς ἀνθρώποις εἰς νομὰς ἰοῦσίν εἰσιν ἄφετοι καὶ μέλισσαι [2]), οὐδὲ σφᾶς ἐς σίμβλους καθείρξαντες ἔχουσιν· αἱ δὲ ἐργάζονταί τε ὡς ἔτυχον τῆς χώρας, καὶ συμφυὲς τὸ ἔργον αὐταῖς ἐστιν, ἰδίᾳ δὲ οὔτε κηρὸν, οὔτε μέλι ἀπ' αὐτοῦ ποιήσεις· τοῦτο μὲν τοιοῦτόν ἐστιν. Ἀθηναίοις δὲ τὰ ὄρη καὶ θεῶν ἀγάλματα 2
ἔχει· Πεντέλῃσι μὲν Ἀθηνᾶς, ἐν Ὑμηττῷ δὲ ἄγαλμά ἐστιν Ὑμηττίου Διός· βωμοὶ δὲ καὶ ὀμβρίου Διὸς καὶ Ἀπόλλωνός εἰσι Προστηΐου. καὶ ἐν Πάρνηθι Παρνήθιος Ζεὺς χαλκοῦς ἐστι, καὶ βωμὸς Σημαλέου [3]) Διός. ἔστι δὲ ἐν τῇ Πάρνηθι καὶ ἄλλος βωμὸς, θύουσι δὲ ἐπ' αὐ-

1) Ἀλιζώνων etc.] Cod. Vind. Ἀλαζόνων et Ἀλαζόσι, Cod. Mosc. Ἀλαζώνων et Ἀλαζῶσι. Hujus Scytharum gentis etiam mentio fit ab Herodoto IV. f. 17., ubi vid. Wesseling., et Steph. v. Ἀλαζών. Ἀλιζῶνες memorantur a Strab. L. XII. p. 826. 827., Homero Il. β. v. 856. et Plin. L. V. C. 32.

2) καὶ μέλισσαι] Sylb. mavult αἱ μέλισσαι, sed καὶ bene ferri potest, et potius scribendum esset καὶ αἱ μελ. Most post ἐργάζονται Cod. M. recte omittit τε.

3) Σημαλέου] Valken. ad Herodot. p. 401. scribendum censet Ἰκμαλέου, pluvii Jovis. Ζεὺς Ἰκμαῖος est in Apollon. Argon. L. II. v. 524., ubi vid. Schol.

αὐτοῦ, τοτὲ μὲν Ὄμβριον, τοτὲ δὲ Ἀπήμιον καλοῦντες Δία. καὶ Ἀγχεσμὸς ὄρος ἐστὶν οὐ μέγα, καὶ Διὸς ἄγαλμα Ἀγχεσμίου.

3 Πρὶν δὲ ἢ τῶν νήσων ἐς ἀφήγησιν τραπέσθαι, τὰ ἐς τοὺς δήμους ἔχοντα αὖθις ἐπέξειμι. δῆμός ἐστι Μαραθών, ἴσον τῆς πόλεως τῶν Ἀθηναίων ἀπέχων καὶ Καρύστου τῆς ἐν Εὐβοίᾳ. ταύτῃ τῆς Ἀττικῆς ἔσχον οἱ βάρβαροι, καὶ μάχῃ τε ἐκρατήθησαν, καί τινας, ὡς ἀνήγοντο, ἀπώλεσαν τῶν νεῶν. τάφος δὲ ἐν τῷ πεδίῳ Ἀθηναίων ἐστὶν, ἐπὶ δὲ αὐτῷ στῆλαι τὰ ὀνόματα τῶν ἀποθανόντων κατὰ Φυλὰς ἑκάστων ἔχουσαι· καὶ ἕτερος Πλαταιεῦσι, Βοιωτῶν καὶ δούλοις· ἐμαχέσαντο γὰρ καὶ δοῦλοι τότε πρῶτον. καὶ ἀνδρός ἐστιν ἰδία μνῆμα Μιλτιάδου τοῦ Κίμωνος, συμβάσης ὕστερόν οἱ τῆς τελευτῆς, Πάρου τε ἁμαρτόντι, καὶ δι' αὐτὸ ἐς κρίσιν Ἀθηναίοις καταστάντι, ἐνταῦθα ἀνὰ πᾶσαν νύκτα καὶ ἵππων χρεμετιζόντων καὶ ἀνδρῶν μαχομένων ἐστὶν αἰσθέσθαι· καταστῆναι δὲ ἐς ἐναργῆ θέαν, ἐπίτηδες μὲν οὐκ ἔστιν ὅτῳ συνήνεγκεν, ἀνηκόῳ δὲ ὄντι καὶ ἄλλως συμβὰν, οὐκ ἔστιν ἐκ τῶν δαιμόνων
4 ὀργή [4]). Σέβονται δὲ οἱ Μαραθώνιοι τούτους τε, οἳ παρὰ τὴν μάχην ἀπέθανον, ἥρωας ὀνομάζοντες, καὶ Μαραθῶνα, ἀφ' οὗ τῷ δήμῳ τὸ ὄνομά ἐστι [5]), καὶ Ἡρακλέα, φάμενοι πρώτοις Ἑλλήνων σφίσιν Ἡρακλέα θεὸν νομισθῆναι. συνέβη δὲ, ὡς λέγουσιν, ἄνδρα

4) καταστῆναι — ὀργή] Hic συμβὰν absolute positum interpretandum, et sic sententia haec est: *ad hoc evidenter spectandum de industria se conferre, nemini profuit; sin vero illi qui nihil adhuc audivit, id percipere fortuito contingat, daemonum ira nullam vim exserit.*

5) τῷ δήμῳ τὸ ὄνομά ἐστι] In utroque Cod. haec transposita τὸ ὄν. τῷ δ.

δρα ἐν τῇ μάχῃ παρεῖναι, τὸ εἶδος καὶ τὴν σκευὴν ἀγροῖκον· οὗτος τῶν βαρβάρων πολλοὺς καταφονεύσας ἀρότρῳ μετὰ τὸ ἔργον ἦν ἀφανής· ἑρομένοις δὲ Ἀθηναίοις ἄλλο μὲν ὁ θεὸς ἐς αὐτὸ ἔχρησεν οὐδὲν, τιμᾶν δὲ Ἐχετλαῖον [6]) ἐκέλευσεν ἥρωα. πεποίηται δὲ καὶ τρόπαιον λίθου λευκοῦ. τοὺς δὲ Μήδους Ἀθηναῖοι μὲν θάψαι λέγουσιν, ὡς πάντως ὅσιον ἀνθρώπου νεκρὸν γῇ κρύψαι, τάφον δὲ οὐδένα εὑρεῖν ἐδυνάμην· οὔτε γὰρ χῶμα, οὔτε ἄλλο σημεῖον ἦν ἰδεῖν [7])· ἐς ὄρυγμα δὲ φέροντες σφᾶς, ὡς τύχοιεν, ἐσέβαλον. Ἔστι δὲ ἐν τῷ Μαραθῶνι πηγὴ καλουμένη Μακαρία, καὶ τοιάδε ἐς αὐτὴν λέγουσιν. Ἡρακλῆς ὡς ἐκ Τίρυνθος ἔφευγεν Εὐρυσθέα, παρὰ Κήϋκα φίλον ὄντα μετοικίζεται βασιλεύοντα Τραχῖνος. ἐπεὶ δὲ ἀπελθόντος ἐξ ἀνθρώπων Ἡρακλέους, ἐζήτει [8]) τοὺς παῖδας Εὐρυσθεὺς, ἐς Ἀθήνας πέμπει σφᾶς ὁ Τραχίνιος, ἀσθένειάν τε λέγων τὴν αὐτοῦ, καὶ Θησέα οὐκ ἀδύνατον εἶναι τιμωρεῖν. ἀφικόμενοι δὲ οἱ παῖδες ἱκέται, πρῶτον τότε Πελοποννήσιοι ποιοῦσι πόλεμον πρὸς Ἀθηναίους, Θησέως σφᾶς οὐκ ἐκδόντος αἰτοῦντι Εὐρυσθεῖ. λέγουσι δὲ Ἀθηναίοις γενέσθαι χρησμὸν, τῶν παίδων ἀποθανεῖν χρῆναι τῶν Ἡρακλέους τινὰ ἐθελοντὴν, ἐπεὶ ἄλλως γε οὐκ εἶναι νίκην σφίσιν. ἐνταῦθα ἡ Μακαρία Δηϊανείρας καὶ Ἡρακλέους θυγάτηρ ἀποσφάξασα ἑαυτὴν ἔδωκεν Ἀθηναίοις τε κρατῆσαι τῷ πολέμῳ, καὶ τῇ πηγῇ τὸ ὄνομα ἀφ' ἑαυτῆς [9]). Ἔστι δὲ

6) Ἐχετλαῖον] Supra C. 15. fuit Ἔχετλος, quae vera lectio esse videtur.

7) ἦν ἰδεῖν] Cod. Vind. ἰδεῖν ἐστιν.

8) ἐζήτει] Cod. Mosc. exhibet ἐξήτει, quod praestare et lectio Amasaei fuisse videtur vertentis: *sibi tradi postulasse.*

9) ἑαυτῆς] Cod. Vind. αὐτῆς et Mosc. αὑτῆς. Utraque haec lectio magis ex Pausaniae more est.

δὲ ἐν τῷ Μαραθῶνι λίμνη τὰ πολλὰ ἑλώδης· ἐς ταύτην ἀπειρίᾳ τῶν ὁδῶν φεύγοντες ἐσπίπτουσιν οἱ βάρβαροι, καί σφισι τὸν φόνον [10]) τὸν πολὺν ἐπὶ τούτῳ συμβῆναι λέγουσιν· ὑπὲρ δὲ τὴν λίμνην φάτναι εἰσὶ λίθου τῶν ἵππων τῶν Ἀρταφέρνους, καὶ σημεῖα ἐν πέτραις σκηνῆς. ῥεῖ δὲ καὶ ποταμὸς ἐκ τῆς λίμνης, τὰ μὲν πρὸς αὐτῇ τῇ λίμνῃ βοσκήμασιν ὕδωρ ἐπιτήδειον παρεχόμενος, κατὰ δὲ τὴν ἐσβολὴν [11]) τὴν ἐς τὸ πέλαγος ἁλμυρὸς ἤδη γίνεται, καὶ ἰχθύων τῶν θαλασσίων πλήρης. ὀλίγον δὲ ἀπωτέρω τοῦ πεδίου Πανός ἐστιν ὄρος, καὶ σπήλαιον θέας ἄξιον· εἴσοδος μὲν ἐς αὐτὸ στενή, παρελθοῦσι δὲ εἰσὶν οἶκοι, καὶ λουτρὰ, καὶ τὸ καλούμενον Πανὸς αἰπόλιον, πέτραι τὰ πολλὰ αἰξὶν εἰκασμέναι.

CAPUT XXXIII.

De pago Braurone et Dianae Tauricae ſigno — pago Rhamnunte et Nemeſi Rhamnuſia — Aethiopum variis gentibus et Atlante monte — Nemeſis ſigno non alato et reliquis in ejus baſi ſignis.

Μαραθῶνος δὲ ἀπέχει τῇ μὲν [1]) Βραυρὼν, ἔνθα Ἰφιγένειαν τὴν Ἀγαμέμνονος ἐκ Ταύρων φεύγουσαν, τὸ ἄγαλμα ἀγομένην τῆς Ἀρτέμιδος, ἀποβῆναι λέγουσιν, καταλιποῦσαν δὲ τὸ ἄγαλμα ταύτῃ, καὶ εἰς Ἀθή-

10) τὸν φόνον] Cod. Vind. τὸν πόνον.

11) ἐσβολὴν] Cod. Moſc. ἐκβολήν.

1) τῇ μὲν] Cum hic diſtantiae menſura, tum in ſequentibus τῇ δὲ deeſſe videtur; ſed Pauſanias minus accurate hoc ſervat. Forte in ſequentibus Μαραθῶνος δὲ τοσοῦτος etc. huic τῇ μὲν reſpondere poſſit. Paullo infra pro τῆς Ἀρτέμιδος Cod. Vind. habet τὸ Ἀρτέμιδος.

Ἀθήνας, καὶ ὕστερον εἰς Ἄργος ἀφικέσθαι. ξόανον μὲν δὴ καὶ αὐτόθι ἐστὶν Ἀρτέμιδος ἀρχαῖον. τὸ δὲ ἐκ τῶν βαρβάρων οἵτινες κατὰ γνώμην ἔχουσι τὴν ἐμὴν, ἐν ἑτέρῳ λόγῳ δηλώσω [2]). Μαραθῶνος δὲ σταδίους μάλιστα ἑξήκοντα ἀπέχει Ῥαμνοῦς τὴν παρὰ θάλασσαν ἰοῦσιν ἐς Ὠρωπόν. καὶ αἱ μὲν οἰκήσεις ἐπὶ θαλάσσῃ τοῖς ἀνθρώποις εἰσὶ, μικρὸν δὲ ἀπὸ θαλάσσης ἄνω Νεμέσεώς ἐστιν ἱερὸν, ἣ θεῶν μάλιστα ἀνθρώποις ὑβρισταῖς ἐστιν ἀπαραίτητος. δοκεῖ δὲ καὶ τοῖς ἀποβᾶσιν ἐς Μαραθῶνα τῶν βαρβάρων ἀπάντησαι μηνίμα ἐκ τῆς θεοῦ ταύτης· καταφρονήσαντες γάρ σφισιν ἐμποδὼν εἶναι τὰς Ἀθήνας ἐλεῖν, λίθον Πάριον, ὃν ὡς ἐπ' ἐξειργασμένοις [3]) ἦγον ἐς τροπαίου ποίησιν. τοῦτον Φειδίας τὸν λίθον εἰργάσατο, ἄγαλμα μὲν εἶναι Νεμέσεως [4])· τῇ κεφαλῇ δὲ ἔπεστι τῆς θεοῦ στέφανος, ἐλάφους ἔχων καὶ νίκης [5]) ἀγάλματα οὐ μεγάλα· ταῖς δὲ χερσὶ ἔχει, τῇ μὲν πλάδον μηλέας [6]),

τῇ

2) ἐν ἑτ. λ. δηλώσω] L. III. C. 16., ubi τὴν ἐν Λακεδαίμονι Ὀρθίαν τὸ ἐκ τῶν βαρβάρων ξόανον εἶναι demonstrat.

3) ὃν ὡς ἐπ' ἐξειργασμένοις] Ex postrema syllaba praecedentis vocis ὃν male repetitum prorsus delendum esse, optime *Kuhnius* monuit. Sic sententia plana: *Nam non curantes, sibi adhuc obstare Athenarum expugnationem, Parium lapidem, tanquam rebus jam peractis, ad tropaeum conficiendum advexerunt.*

4) Φειδίας — Νεμέσεως] Vid. Hesych. v. Ῥαμνουσίαν, et Plin. H. N. L. 36. C. 5. p. 725. T. II. ed. Hard., qui Phidiae discipulo Agoracrito illam tribuit. Eodem fere habitu expressa est Nemesis in gemma Stoschiana. Vid. Winkelm. Descript. p. 294. n. 1810.

5) νίκης] Cod. Vindob. νίκην. Sic ante ἀγάλμ. comma ponendum esset. Mox post χερσὶ in utroque Codice abest ἔχει, quod nullo modo deesse potest.

6) μηλέας] *Amas.* legisse videtur μελίας, *fraxini* vertens. At Hesych. v. Ῥαμνουσίαν etiam μηλέας ramum manu tenuisse refert.

τῇ δεξιᾷ δὲ Φιάλην· Αἰθίοπες δὲ ἐπὶ τῇ Φιάλῃ πεποίηνται. συμβαλέσθαι δὲ τὸ περὶ τοὺς Αἰθίοπας [7]), οὔτε αὐτὸς εἶχον, οὔτε ἀπεδεχόμην τῶν συνιέναι πειθομένων, οἳ πεποιῆσθαι σφᾶς ἐπὶ τῇ Φιάλῃ φασὶ διὰ ποταμὸν Ὠκεανόν· οἰκεῖν γὰρ ἐπ' αὐτῷ τοὺς Αἰθίοπας [8]), Νεμέσει δὲ εἶναι πατέρα Ὠκεανόν. Ὠκεανῷ γὰρ οὐ ποταμῷ, θαλάττῃ δὲ ἐσχάτῃ τῆς ὑπὸ ἀνθρώπων πλεομένης, προσοικοῦσιν Ἴβηρες καὶ Κελτοί, καὶ νῆσον Ὠκεανὸς ἔχει τὴν Βρεττανῶν. ἀνθρώπων δὲ τῶν [9]) ὑπὲρ Συήνης ἐπὶ θάλασσαν ἔσχατοι τὴν ἐρυθρὰν κατοικοῦσιν Ἰχθυοφάγοι, καὶ ὁ κόλπος, ὃν περιοικοῦσιν, Ἰχθυοφάγος [10]) ὀνομάζεται· οἱ δὲ δικαιότατοι [11]) Μερόην πόλιν καὶ πεδίον Αἰθιοπικὸν καλούμενον οἰκοῦσιν· οὗτοι καὶ τὴν ἡλίου τράπεζάν [12]) εἰσιν οἱ δεικνύντες· οὐδὲ σοφίσιν ἐστιν οὐδὲ θάλασσα, οὐδὲ ποταμὸς ἄλλος γε ἢ Νεῖλος. εἰσὶ δὲ καὶ ἄλλοι πρόσοικοι Μαύροις Αἰθίοπες, ἄχρι Νασαμώνων παρήκοντες. Νασαμῶνες γὰρ, οὓς Ἄτλαντας Ἡρόδοτος [13]) εἶδεν, μέτρα φάμενοι γῆς εἰδέναι, Λοξίτας καλοῦσι Λιβύων, οἳ ἔσχατοι πρὸς Ἄτλαντι οἰκοῦσι, σπείροντες μὲν οὐδὲν, ἀπὸ δὲ ἀμπέλων ζῶντες ἀγρίων. ποταμὸς δὲ οὐδὲ τούτοις τοῖς Αἰθίοψιν, οὐδὲ τοῖς Νασαμῶσιν

7) περὶ τ. Αἰθ.] Uterque Cod. habet ἐπί.

8) ἐπ' αὐτῷ τοὺς Αἰθίοπας] Cod. Mosc. Αἰθίοπας ἐπ' αὐτῷ.

9) ἀνθρώπων δὲ τῶν] Cod. Vind. Αἰθιόπων δὲ τῶν.

10) Ἰχθυοφάγες] Uterque Codex bene exhibet Ἰχθυοφάγων.

11) δικαιότατοι] Vid. Strab. L. XVII. p. 1177. 78.

12) ἡλίου τράπεζαν] De *solis mensa* apud Aethiopas vid. Herodot L III f 18. et Solin. Exerc. C XXX Conf. Paul. L. VI. C. 26 Ad hunc mythum forte pertinent dii apud Aethiopas epulantes Homer. Il I. v. 424., ubi vid. Eustath.

13) Ἡρόδοτος] Vid Herod. L. IV. 172. et 184. Paullo infra pro Λοξίτας Cod. Mosc. habet Λιξίτας.

μῶσίν ἐστιν οὐδείς· τὸ γὰρ πρὸς τῷ Ἄτλαντι ὕδωρ, τρισὶ παρεχόμενον ἀρχὰς ῥεύμασιν, οὐδὲν τῶν ῥευμάτων ποιεῖ ποταμὸν, ἀλλὰ πᾶν ὁμοίως αὐτίκα ἔχει συλλαβοῦσα ἡ ψάμμος. οὕτως Αἰθίοπες ποταμῷ γε οὐδενὶ προσοικοῦσιν, ἢ Ὠκεανῷ [14]· τὸ δὲ ὕδωρ τὸ ἐκ τοῦ Ἄτλαντος θολερόν τέ ἐστι, καὶ πρὸς τῇ πηγῇ κροκόδειλοι πήχεων [15]) ἦσαν οὐκ ἐλάσσους, προσιόντων δὲ τῶν ἀνθρώπων κατεδύοντο ἐς τὴν πηγήν. πάρεστι δὲ οὐκ ὀλίγοις τὸ ὕδωρ τοῦτο ἀναφαινόμενον αὖθις ἐκ τῆς ψάμμου ποιεῖν τὸν Νεῖλον Αἰγυπτίοις. Ὁ δὲ Ἄτλας ὑψηλὸν μέν ἐστιν οὕτως, ὥς τε καὶ λέγεται ταῖς κορυφαῖς ψαύειν τοῦ οὐρανοῦ, ἄβατον δὲ ὑπὸ ὕδατος καὶ δένδρων, ἃ διὰ παντὸς πέφυκε. τὰ μὲν δὴ πρὸς τοὺς Νασαμῶνας αὐτοῦ γιγνώσκεται· τὰ δὲ ἐς τὸ πέλαγος, οὐδένα πω παραπλεύσαντα ἴσμεν. τάδε μὲν ἐς τοσοῦτον εἰρήσθω. Πτερὰ δ' ἔχον οὐδὲ τοῦτο τὸ ἄγαλμα Νεμέσεως, οὔτε ἄλλο πεποίηται τῶν ἀρχαίων. ἐπειδὴ δὲ Σμυρναίοις τὰ ἁγιώτατα ξόανα ἔχειν πτερὰ οἶδα ὕστερον, ἐπιφαίνεσθαι γὰρ τὴν θεὸν μάλιστα ἐπὶ τοῖς ἑρᾶν ἐθέλουσιν, ἐπὶ τούτῳ Νεμέσει [16]) πτερὰ ὥσπερ Ἔρωτι ποιοῦσι. Νῦν δὲ ἤδη

5 6

7

δίειμι

14) ἢ Ὠκεανῷ] Accuratius esset οὐδὲ Ὠκεανῷ, *neque fluvium illum, neque Oceanum accolunt.* Hoc enim Pausanias demonstrare annisus erat; a quo tamen prorsus abhorret Amasaei perversa interpretatio.

15) πήχεων] L. II. C. 28. init. in Libya διπήχεων οὐκ ἐλάσσονας esse dicit. Inde *Sylb.* etiam hic vel διπήχεων vel πηχυαίων scribendum arbitratur. Praeferrem πηχυίων, quod idem ac πηχυαίων.

16) ἐπειδὴ — ἐπὶ τούτῳ Νεμέσει etc.] ἐπειδὴ apodosin requirit, quae hic deesse videtur; sed ob inversam orationis structuram ἐπὶ τούτῳ etc. illius locum tenet. Pro ἐπὶ τοῖς ἑρᾶν ἐθ. *Amas.* forte legit ἐπὶ τοῖς ἐρῶσι, et quod conjecerat *Sylb.* pro ἐπὶ τούτων scribendum esse ἐπὶ τούτῳ, confirmat Cod. Vind., quare hanc lectionem recepi.

δίειμι, ὁπόσα ἐπὶ τῷ βάθρῳ τοῦ ἀγάλματός ἐστιν εἰργασμένα, τοσόνδε ἐς τὸ σαφὲς προδηλώσας. Ἑλένην Νέμεσιν μητέρα [17]) εἶναι λέγουσιν Ἕλληνες, Λήδαν δὲ μᾶσον ἐπισχεῖν αὐτῇ καὶ θρέψαι· πατέρα δὲ καὶ οὗτοι καὶ πάντες κατὰ ταυτὰ Ἑλένης Δία, καὶ οὐ Τυνδάρεων εἶναι νομίζουσι. ταῦτα ἀκηκοὼς Φειδίας πεποίηται Ἑλένην ὑπὸ Λήδας ἀγομένην παρὰ τὴν Νέμεσιν· πεποίηκε δὲ Τυνδάρεών τε καὶ τοὺς παῖδας, καὶ ἄνδρα σὺν ἵππῳ παρεστηκότα, Ἱππέα ὄνομα· ἔστι δὲ Ἀγαμέμνων, καὶ Μενέλαος, καὶ Πύρρος ὁ Ἀχιλλέως, πρῶτος οὗτος Ἑρμιόνην τὴν Ἑλένης γυναῖκα λαβών. Ὀρέστης δὲ διὰ τὸ εἰς τὴν μητέρα τόλμημα παρείθη, παραμεινάσης τὸ ἐς ἅπαν Ἑρμιόνης αὐτῷ, καὶ τεκούσης παῖδα. ἔξης δὲ ἐπὶ τῷ βάθρῳ καὶ Ἔποχος καλούμενος, καὶ νεανίας ἐστὶν ἕτερος. ἐς τοῦτο ἄλλο μὲν ἤκουσα οὐδέν, ἀδελφοὺς δὲ εἶναι σφᾶς Οἰνόης [18]), ἀφ' ἧς ἐστι τὸ ὄνομα τῷ δήμῳ.

CAPUT XXXIV.

De Oropo urbe — Amphiarai templo, cultu et aliis ad eum pertinentibus.

Τὴν δὲ γῆν τὴν Ὠρωπίαν μεταξὺ τῆς Ἀττικῆς καὶ Ταναγρικῆς, Βοιωτίαν τοεξαρχῆς οὖσαν, ἔχουσιν ἐφ' ἡμῶν Ἀθηναῖοι, πολεμήσαντες μὲν τὸν πάντα ὑπὲρ αὐτῆς χρόνον, κτησάμενοι δὲ οὐ πρότερον βεβαίως, πρὶν

17) Ἑλένη Νέμεσιν μητέρα] Cod. Vind. Ἑλένης μητέρα Νέμεσιν. Paullo infra pro παρεστηκότα Cod. Mosc. exhibet καθεστηκότα.

18) Οἰνόης] L. VIII. C. 47. est Οἰνόη Nympha.

πρὶν ἢ Φίλιππος Θήβας ἑλὼν ἔδωκέ σφισιν. Ἡ μὲν οὖν πόλις ἐστὶν ἐπὶ θαλάσσης μέγα οὐδὲν ἐς συγγραφὴν παρεχομένη· ἀπέχει δὲ δώδεκα τῆς πόλεως σταδίους μάλιστα ἱερὸν τοῦ Ἀμφιαράου. Λέγεται δὲ 2
Ἀμφιαράῳ φεύγοντι [1]) ἐκ Θηβῶν διασῆναι τὴν γῆν, καὶ ὡς αὐτὸν ὁμοῦ καὶ τὸ ἅρμα ὑπεδέξατο. οἱ δὲ οὐ ταύτῃ συμβῆναί φασιν, ἀλλά ἐστιν ἐκ Θηβῶν ἰοῦσιν ἐς Χαλκίδα Ἅρμα καλούμενον [2]). Θεὸν δὲ Ἀμφιάραον πρώτοις Ὠρωπίοις κατέστη νομίζειν· ὕστερον δὲ καὶ οἱ πάντες Ἕλληνες ἥγηνται. καταλέξαι δὲ καὶ ἄλλους ἔχω γενομένους τότε [3]) ἀνθρώπους, οἳ θεῶν Ἕλλησι τιμὰς ἔχουσιν· τοῖς δὲ καὶ ἀνάκεινται πόλεις. Ἐλεοῦς ἐν Χερρονήσῳ Πρωτεσιλάῳ [4])· Λεβαδεία Βοιωτῶν Τροφωνίῳ [5])· καὶ Ὠρωπίοις ναός τέ ἐστιν Ἀμφιαράου, καὶ ἄγαλμα λευκοῦ λίθου. παρέχεται δὲ ὁ βωμὸς μέρη [6]): τὸ μὲν Ἡρακλέους, καὶ Διὸς, καὶ

1) Ἀμφιαράῳ φεύγοντι etc.] Eadem habet L. II. C. 23.

2) Ἅρμα καλούμ.] Conf. Paus. L. IX. C. 19. Copiose de hoc disserit Salmas. Exerc. p. 147. 148.

3) γενομ. τότε] *Kuhn.* haud absurde mavult γ. ποτέ.

4) Ἐλεοῦς — Πρωτεσιλάῳ] Conf. L. III. C. 4. Prolixe de eo agit Herodot. Calliop. f 116. 120., qui Ἐλαιοῦς habet, sicuti et Stephan. Byzant. *Voss.* ad Mel L II. Ἐλεοῦς, quod etiam in Strabone est, verum nomen esse arbitratur.

5) Τροφωνίῳ] Scripsi pro Τροφρνίῳ, quod illa scriptura cum in aliis scriptoribus deprehenditur, tum in reliquis Pausaniae locis. Plura de Trophonio ejusque oraculo habet L. IX. C. 39. sq. Conf. Suid. h. v. et Schol. ad Aristoph. Nub. v. 508.

6) παρέχεται δὲ ὁ βωμὸς μέρη] Nuda partium arae commemoratio universe hic facta inepta videri possit; quare conjicere subiit, numerum quinarium per literam ε expressum excidisse, παρέχ. δὲ ὁ βωμ. μέρη ε. Sed Pausanias non inusitatum arae laterum numerum declarare voluisse videtur, sed aram in partes dispertiram ac descriptam fuisse (*daß der Altar Abtheilungen gehabt habe*).

Ἀπόλλωνός ἐστι Παίωνος [7]). τὸ δὲ ἥρωσι καὶ ἡρώων ἀνεῖται γυναιξί. τρίτον δὲ Ἑστίας, καὶ Ἑρμοῦ, καὶ Ἀμφιαράου, καὶ τῶν παίδων Ἀμφιλόχου [8]). Ἀλκμαίων δὲ, διὰ τὸ ἐς Ἐριφύλην ἔργον, οὔτε ἐν Ἀμφιαράου τινὰ, οὐ μὴν οὐδὲ παρὰ τῷ Ἀμφιλόχῳ τιμὴν ἔχει. τετάρτη δέ ἐστι τοῦ βωμοῦ μοῖρα Ἀφροδίτης καὶ Πανακείας, ἔτι δὲ Ἰασοῦς [9]), καὶ Ὑγείας, καὶ Ἀθηνᾶς Παιωνίας. πέμπτη δὲ πεποίηται Νύμφαις, καὶ Πανὶ, καὶ ποταμοῖς Ἀχελῴῳ καὶ Κηφισσῷ. τῷ δὲ Ἀμφιλόχῳ καὶ παρ' Ἀθηναίοις ἐστὶν ἐν τῇ πόλει βωμὸς, καὶ Κιλικίας ἐν Μαλλῷ μαντεῖον ἀψευδέστατον τῶν ἐπ' 3 ἐμοῦ. Ἔστι δὲ Ὠρωπίοις πηγὴ πλησίον τοῦ ναοῦ, ἣν Ἀμφιαράου καλοῦσιν, οὔτε θύοντες οὐδὲν ἐς αὐτὴν, οὐδ' ἐπὶ καθαρσίοις [10]) ἢ χέρνιβι χρῆσθαι νομίζοντες. νόσου δὲ ἀνεσθείσης ἀνδρὶ μαντεύματος γενομένου, καθέσηκεν ἄργυρον ἀφεῖναι καὶ χρυσὸν ἐπίσημον ἐς τὴν πηγήν. ταύτῃ γὰρ ἀνελθεῖν τὸν Ἀμφιάραον λέγουσιν ἤδη θεόν. Ἰοφῶν δὲ Κνώσσιος τῶν ἐξηγητῶν χρησμοὺς ἐν ἑξαμέτρῳ παρείχετο, Ἀμφιάραον χρῆσαι φάμενος

7) Παίωνος] Hesych. Παίων, ὄνομα κυρίου ἰατροῦ.

8) καὶ τῶν παίδων Ἀμφιλόχου] Cave, ne cum Amasaeo vertas: *et Amphilochi filiis*. Interpretandum enim, uti ex statim sequentibus patet: *et ex (Amphiarai) filiis Amphilocho*. Livius L. XLV. C. 27. Oropi vatem Amphilochum non pro deo solum cultum, sed et templum ejus vetustum ibi fuisse refert. Cujus quum hic nulla fiat mentio, Livium corruptum aut memoria vacillasse, temere arbitratur *Kuhnius*. Nam si paullo infra pro παρὰ τῷ Ἀμφιλόχῳ scribas παρὰ τῷ Ἀμφιλόχου (sc. ἱερῷ), templum istud aderit.

9) Ἰασοῦς] Hesych. Ἰασὼ, παρὰ τὸ ἰᾶσθαι. φησὶ δὲ Ἀριστοφάνης, καὶ Ἀμφιαράου θυγατέρα εἶναι Ἰασώ. Vid. Aristoph. Plut. v. 701. ibique Schol. et Interpr.

10) ἐπὶ καθαρσίοις] Haec continua scriptura antea vulgata divisim scripsi ex Codicis Mosc. et *Sylburgii* auctoritate.

φάμενος τοῖς ἐς Θήβας ϛαλεῖσιν Ἀργείων ταῦτα τὰ ἔπη [11]). τὸ ἐς τοὺς πολλοὺς ἐπαγωγὸν ἀκρατῶς εἶχε. χωρὶς δὲ πλὴν ὅσους ἐξ Ἀπόλλωνος μανῆναι λέγουσι τὸ ἀρχαῖον, μάντεών γ' οὐδεὶς χρησμολόγος ἦν, ἀγαθοὶ δὲ ὀνείρατα ἐξηγήσασθαι, καὶ διαγνῶναι πτήσεις ὀρνίθων, καὶ σπλάγχνα ἱερῶν. δοκῶ δ' Ἀμφιάραον ὀνειράτων διακρίσει μάλιϛα προσκεῖσθαι· δῆλον δὲ, ἡνίκα ἐνομίσθη θεὸς δι' ὀνειράτων μαντικὴν καταϛησάμενος. καὶ πρῶτον μὲν καθήρασθαι νομίζουσιν, ὅϛις ἦλθεν Ἀμφιαράῳ χρησάμενος [12]). ἔϛι δὲ καθάρσιον, τῷ θεῷ θύειν· θύουσι δὲ καὶ αὐτῷ καὶ πᾶσιν, ὅσοις ἐϛὶν ἐπὶ ταυτὸ τὰ ὀνόματα· προεξειργασμένων δὲ τούτων, κριὸν θύσαντες αὐτῷ, καὶ τὸ δέρμα ὑποϛρωσάμενοι, καθεύδουσιν ἀναμένοντες δήλωσιν ὀνείρατος.

11) ταῦτα τὰ ἔπη] Lacunam oraculi versibus explendam, quam *Kuhn.* et *Sylb.* hic esse opinantur, equidem non video; nam ταῦτα τὰ ἔπη sunt isti χρησμοὶ ἐν ἑξαμέτρῳ, quos Iophon exhibuit. Sequentia verba λείπει ὁ χρησμὸς glossemate ex Aldina inserta ejeci, quum ista etiam in utroque Codice abessent. Nec ante verba τὸ ἐς τοὺς πολλ. etc. aliquid deesse videtur, sed τὸ ἐς etc. positum pro τοῦτο ἐς etc. Sic enim totius loci sententia haec est: *Iophon vero Gnosius ex sacrorum interpretibus unus oracula heroicis versibus exhibuit, Amphiaraum Argivis Thebas profecturis istos oraculi versus edidisse affirmans. Id quod multitudini sese commendans mirum in modum opinione invaluit.*

12) χρησάμενος] *Kuhn.* mavult χρησόμενος.

CAPUT XXXV.

De insulis Atticae, Patrocli, Helena, Salamine — memorandis in Salamine — Ajace ejusque corporis magnitudine — aliis grandium corporum ossibus — Geryone et Hyllo.

Νῆσοι δὲ Ἀθηναίοις οὐ πόρρω τῆς χώρας εἰσίν· μία μὲν [1]) Πατρόκλου καλουμένη· τὰ δὲ ἐς αὐτὴν ἤδη μοι δεδήλωται [2])· ἄλλη δὲ ὑπὲρ Σουνίου, τὴν Ἀττικὴν ἀριστερᾷ πλέουσιν· ἐς ταύτην ἀποβῆναι λέγουσιν Ἑλένην μετὰ τὴν ἅλωσιν τὴν Ἰλίου, καὶ διὰ τοῦτο
2 ὄνομά ἐστιν Ἑλένη τῇ νήσῳ. Σαλαμὶς δὲ κατὰ Ἐλευσῖνα κειμένη παρήκει καὶ ἐς τὴν Μεγαρικήν. πρῶτον δὲ τῇ νήσῳ θέσθαι τοῦτο ἀπὸ τῆς μητρὸς Σαλαμῖνος τῆς Ἀσωποῦ [3]), καὶ ὕστερον Αἰγινήτας τοὺς σὺν Τελαμῶνι ἐποικῆσαι· Φίλαιον δὲ τὸν Εὐρυσάκους τοῦ Αἴαντος παραδοῦναι λέγουσιν Ἀθηναίοις τὴν νῆσον, γενόμενον ὑπ' αὐτῶν Ἀθηναῖον. Σαλαμινίους δὲ Ἀθηναῖοι τούτων ὕστερον πολλοῖς ἔτεσιν ἀναστάτους ἐποίησαν, καταγνόντες ἐθελοκακῆσαι σφᾶς ἐν τῷ πολέμῳ τῷ πρὸς Κάσσανδρον, καὶ τὴν πόλιν γνώμῃ τὸ πλέον Μακε-

1) μία μὲν] Cod. Vind. ὧν ἡ μία μὲν, Cod. Mosc. ὧν ἡ μέν.

2) δεδήλωται] Vid. L. I. C. 1. ab init.

3) τῇ νήσῳ θέσθαι — Ἀσωποῦ] Hic non vocem solum ὄνομα, sed etiam nomen illius, qui insulae nomen a matre indiderit, deesse luculenter patet. Illum vero Salaminis filium fuisse Κεγχρέα seu Κυχρέα, ex Diodor. IV. 72. et Apollodoro constat, ubi de varia hujus nominis scriptura vid. Wesseling. et Heyne V. C. p. 783. Haud temere igitur *Kuhn.* et *Sylb.* ita emendandum esse censent: τῇ νήσῳ τούνομα θέσθαι τοῦτο Κυχρέα (seu Κεγχρέα) ἀπὸ τῆς μητρὸς etc. Mox pro Φίλαιον *Amas.* habet Φύλαιον, et pro ὑπ' αὐτῶν Ἀθηναῖον Cod. Vind. ὑπ' αὐτῶν Ἀθηναίων.

Μακεδόσιν ἐνδοῦναι. καὶ Ἀσκητάδου τε κατέγνωσαν θάνατον, ὃς τότε ἥρητο ἐς τὴν Σαλαμῖνα στρατηγός· καὶ ἐς τὸν πάντα ἐπώμοσαν χρόνον Σαλαμινίοις ἀπομνημονεύσειν προδοσίαν. ἔστι δὲ ἀγορᾶς τε ἔτι ἐρείπια, καὶ ναὸς Αἴαντος· ἄγαλμα δὲ ἐξ ἐβένου ξύλου [4]). διαμένουσι δὲ καὶ ἐς τόδε τῷ Αἴαντι παρὰ Ἀθηναίοις τιμαὶ, αὐτῷ τε καὶ Εὐρυσάκει· καὶ γὰρ Εὐρυσάκους βωμός ἐστιν ἐν Ἀθήναις. δείκνυται δὲ λίθος ἐν Σαλαμῖνι οὐ πόρρω τοῦ λιμένος· ἐπὶ τοῦτον [5]) καθήμενον Τελαμῶνα ὁρᾶν λέγουσιν ἐς τὴν ναῦν ἀποπλεόντων οἱ τῶν παίδων ἐς Αὐλίδα ἐπὶ τὸν κοινὸν τῶν Ἑλλήνων στόλον. Λέγουσι δὲ οἱ περὶ τὴν Σαλαμῖνα οἰκοῦντες, ἀποθανόντος Αἴαντος, τὸ ἄνθος ἐν τῇ γῇ σφίσι τότε φανῆναι πρῶτον· λευκόν ἐστιν [6]), ὑπέρυθρον, κρίνου καὶ αὐτὸ ἔλασσον καὶ τὰ φύλλα, γράμματα δὲ ἔπεστιν οἷα τοῖς ὑακίνθοις καὶ τούτῳ. λόγον δὲ τῶν μὲν Αἰολέων τῶν ὕστερον οἰκησάντων Ἴλιον ἐς τὴν κρίσιν τὴν ἐπὶ τοῖς ὅπλοις ἥκουσα, οἱ [7]), τῆς ναυαγίας Ὀδυσσεῖ συμβάσης, ἐξενεχθῆναι κατὰ τὸν τάφον τὸν Αἴαντος τὰ ὅπλα λέγουσιν. τὸ δὲ ἐς τὸ μέγεθος αὐτοῦ Μυσὸς ἔλεγεν ἀνήρ. τοῦ γὰρ τάφου τὰ πρὸς τὸν αἰγιαλὸν ἔφασκεν ἐπικλύσαι τὴν θάλασσαν,

4) ἐβένου ξύλου] Vulgata ἐβένου λίθου a re ipsa abhorrebat. Alias etiam ἐβ. ξύλου habet Paus., uti L. VIII. C. 53. in fine. Conf. L. I. C. 42. et L. VIII. C. 17. Quare scribendum conjeceram, ἐξ ἐβένου οὐ λίθου. Sed ἐβ. ξύλου reponere malui, Codice Vindob. hoc exhibente.

5) ἐπὶ τοῦτον] Melius forte ἐπὶ τούτου, vel ἐπὶ τούτῳ, uti *Sylb.* jam adnotavit.

6) τὸ ἄνθος — λευκόν ἐστιν etc.] Vid. Interpretes ad Ovidii Metamorph. L. X. v. 211. 215. Post λευκόν ἐστιν Cod. Vindob. bene exhibet καί.

7) ἥκουσα, οἱ] Cod. Vind. haud male dat ἤκουσαν, οἳ.

καὶ τὴν ἔσοδον πρὸς τὸ μνῆμα οὐ χαλεπὴν ποιῆσαι [8]), καί με τοῦ νεκροῦ τὸ μέγεθος τεκμαίρεσθαι τῇδε ἐκέλευεν· πεντάθλου γὰρ παιδὸς εἶναί οἱ κατὰ δίσκον μάλιστα τὰ ἐπὶ τοῖς γόνασιν ὀστᾶ, καλουμένας δὲ ὑπὸ τῶν ἰατρῶν μύλας. ἐγὼ δὲ, ὁπόσοι μὲν οἰκοῦσιν ἔσχατοι Κελτῶν ἔχοντες ὅμορον τῇ διὰ κρυμὸν ἐρήμῳ, οὓς καὶ Καρεῖς [9]) ὀνομάζουσι, τούτων μὲν οὐκ ἐθαύμασα τὸ μῆκος, οἱ νεκρῶν οὐδέν τι διαφόρους ἔχουσιν [10]) 4 Αἰγυπτίων. Ὁπόσα δὲ ἄξια ἐφαίνετο εἶναί μοι θέας, διηγήσομαι. Μάγνησι τοῖς ἐπὶ Ληθαίῳ [11]) Πρωτοφάνης τῶν ἀστῶν ἀνείλετο ἐν Ὀλυμπίᾳ νίκας ἡμέρᾳ μιᾷ παγκρατίου καὶ πάλης. τούτου λῆσαι κερδανεῖν ποῦ τι δοκοῦντες ἐσῆλθον ἐς τὸν τάφον· ἐπὶ δὲ τοῖς λῃσταῖς ἐσῆεσαν ἤδη θεασόμενοι [12]) τὸν νεκρὸν, τὰς πλευρὰς οὐκ ἔχοντα διεῳώσας, ἀλλά οἱ συμφυὲς ἦν, ὅσον ἀπ' ὤμων ἐς τὰς ἐλαχίστας πλευρὰς, καλουμέ- 5 νας δὲ ὑπὸ τῶν ἰατρῶν νόθας. Ἔστι δὲ Μιλησίοις πρὸ τῆς πόλεως Λάδη νῆσος, ἀπερρώγασι δὲ ἀπ' αὐτῆς νησίδες. Ἀστερίου τὴν ἑτέραν ὀνομάζουσι, καὶ τὸν Ἀστέριον

8) οὐ χαλεπὴν π.] Negativa οὐ orationis nexui hic repugnat et alieno loco est. Quare Meurs. ad Lycophr. v. 402. οὐ in οἱ mutandum censet. Praestat forte, emendare αὐτοῦ.

9) Καρεῖς] Vocem corruptam esse, variae lectiones declarant. Cod. Vindob. Καβαρεῖς, a quo non multum abhorrere videtur *Amas.* vertens *Cebarenses*. Cod. Mosc. Βαρεῖς. *Kuhn.* Καρνιοὺς forte intelligendos esse putat, Britanniae populos secundum Ptolem. L. II.

10) διαφόρους ἔχ.] *Kuhn.* διαφόρως ἔχ. mavult. Sed vulgata similem sententiam expromit.

11) Ληθαίῳ] Hujus fluminis prope Magnesiam et aliorum ejusdem nominis Strabo mentionem facit L. XII. p. 832., L. XIV. p. 937.

12) θεασόμενοι] Cod. Vind. θεασάμενοι.

Ἀσέριον ἐν αὐτῇ ταφῆναι λέγουσιν· εἶναι δὲ Ἀσέριον μὲν Ἄνακτος [13]), Ἄνακτα δὲ Γῆς παῖδα. ἔχει δ' οὖν ὁ νεκρὸς οὐδέν τι μεῖον πηχῶν δέκα. Τὸ δ' ἐμοὶ θαῦμα παρασχὸν Λυδίας τῆς ἄνω πόλις ἐστὶν οὐ μεγάλη Τμήνου θύραι. ἐνταῦθα περιφαγέντος [14]) λόφου διὰ χειμῶνα, ὁσᾶ ἐφάνη τὸ σχῆμα περιέχοντα [15]) ἐς πίσιν ὡς ἔστιν ἀνθρώπου· ἐπεὶ διὰ μέγεθος οὐκ ἔστιν ὅπως ἂν ἔδοξεν [15]). αὐτίκα δὲ λόγος ἦλθεν ἐς τοὺς πολλοὺς, Γηρυόνου τοῦ Χρυσάορος εἶναι μὲν τὸν νεκρὸν, εἶναι δὲ καὶ τὸν θρόνον· καὶ γὰρ θρόνος ἀνδρός ἐστιν ἐνειργασμένος ὄρους λιθώδει προβολῇ· καὶ χείμαρρόν τε ποταμὸν Ὠκεανὸν ἐκάλουν, καὶ βοῶν ἤδη κέρασιν ἔφασάν τινας ἐντυχεῖν ἀροῦντας, διότι ἔχει λόγος, βοῦς ἀρίστας θρέψαι τὸν Γηρυόνην. ἐπεὶ δέ σφισιν ἐναντιούμενος ἀπέφαινον ἐν Γαδείροις [16]) εἶναι Γηρυόνην, οὗ μνῆμα μὲν οὐ, δένδρον δὲ παρεχόμενον διαφόρους

I 5 μορφὰς,

13) Ἀσέριον μὲν Ἄνακτος] Conf. L. VII. C. 2.

14) περιφαγέντος] Admodum variant libri scripti in hac voce. Cod. Vindob. I. παραγέντος, et C. V. II. ἐκριαραγέντος. Cod. Mosc παραφαγέντος. Forte vera lectio περιβραγέντος, vel παραβραγέντος fuerit.

15) τὸ σχῆμα περιέχοντα — ἂν ἔδοξεν] Primum cum *Kuhnio* παρέχοντα scribendum esse censerem; saepius enim παρέχειν et περιέχειν, confusa, et σχῆμα, ἰδέαν παρέχειν (et παρέχεσθαι) in Pausania haud rara est dictio. Dein quod ad verborum sententiam attinet, ita interpretandum esse videtur: *ossa, quae, quantum credi potest, hominis formam exhibent; nam propter magnitudinem non est quod hominis fuisse putes.*

16) Γαδείροις] τὰ Γάδειρα ante Ἐρύθεια dicta secundum Apollodor. L. II. C. 5. s. 10., ubi vid. Heyne V. C. p. 386. sq. Conf. Olear. ad Philostr. p. 190. Paullo infra pro δένδρον uterque Codex dat δένδρων, quod ferri posset, si esset, unde παρεχόμενον penderet. Philostrat. de vita Apoll. L. V. C. 5. eadem habet et duas arbores fuisse dicit.

μορφὰς, ἐνταῦθα [17]) οἱ τῶν Λυδῶν ἐξηγηταὶ τὸν ὄντα ἐδείκνυον λόγον, ὡς εἴη μὲν ὁ νεκρὸς Ὕλλου, παῖς δὲ Ὕλλος εἴη Γῆς, ἀπὸ τούτου δὲ ὁ ποταμὸς ὠνομάσθη. Ἡρακλέα δὲ διὰ τὴν παρ' Ὀμφάλῃ ποτὲ ἔφασαν δίαιταν Ὕλλον ἀπὸ τοῦ ποταμοῦ καλέσαι τὸν παῖδα.

CAPUT XXXVI.

De aliis in Salamine memorandis — insula Psyttalia — monumentis in via sacra versus Eleusina — Anthemocrito — Sciro vate — Cephisodoro — bello Athenienſium contra Philippum Demetrii filium.

Ἐν Σαλαμῖνι δὲ (ἐπάνειμι γὰρ ἐς τὸν προκείμενον λόγον) τοῦτο μὲν Ἀρτέμιδός ἐστιν ἱερὸν, τοῦτο δὲ τρόπαιον ἔστηκεν ἀπὸ τῆς νίκης, ἣν Θεμιστοκλῆς ὁ Νεοκλέους αἴτιος ἐγένετο γενέσθαι τοῖς Ἕλλησι. καὶ Κυχρέως [1]) ἐστὶν ἱερόν. ναυμαχούντων δὲ Ἀθηναίων πρὸς Μήδους, δράκοντα ἐν ταῖς ναυσὶ λέγεται φανῆναι· τοῦτον ὁ θεὸς ἔχρησεν Ἀθηναίοις Κυχρέα εἶναι
2 τὸν ἥρωα. Νῆσος δὲ πρὸ Σαλαμῖνός ἐστι καλουμένη Ψυττάλεια. ἐς ταύτην τῶν βαρβάρων ὅσον τετρακοσίους ἀποβῆναι λέγουσιν· ἡττωμένου δὲ τοῦ Ξέρξου ναυτικοῦ, καὶ τούτους ἀπολέσθαι φασὶν ἐπιδιαβάντων [2]) ἐς τὴν Ψυττάλειαν τῶν Ἑλλήνων. ἄγαλμα δὲ ἐν τῇ νήσῳ σὺν τέχνῃ μέν ἐστιν οὐδέν· Πανὸς δὲ ὡς ἔκαστον ἔτυχε ξόανα πεποιημένα.

Ἰοῦσι

17) ἐνταῦθα] Apodoſin incipit, uti interdum in Pauſania. Sic C. 36. in fine ἐνταῦθα Κηφισός.

1) Κυχρέως] Cod. Vindob. Κιχρέως et mox Κιχρέα.

2) ἐπιδιαβάντων] Cod. Moſc. ἐκβιβάντων.

Ἰοῦσι δὲ ἐπ' Ἐλευσῖνα ἐξ Ἀθηνῶν, ἣν Ἀθηναῖοι 3
καλοῦσιν ὁδὸν ἱερὰν, Ἀνθεμοκρίτου πεποίηται μνῆμα. ἐς τοῦτον Μεγαρεῦσίν ἐστιν ἀνοσιώτατον ἔργον, οἱ κήρυκα ἐλθόντα, ὡς μὴ τοῦ λοιποῦ τὴν χώραν ἐπεργάζοιντο [3]), κτείνουσιν Ἀνθεμόκριτον· καί σφισι ταῦτα δράσασι παραμένει καὶ ἐς τόδε μήνιμα ἐκ τοῖν θεοῖν, οἷς οὐδὲ Ἀδριανὸς ὁ βασιλεὺς, ὥστε καὶ ἐπαυξηθῆναι, μόνοις ἐπήρκεσεν Ἑλλήνων. μετὰ δὲ τοῦ Ἀνθεμοκρίτου τὴν σήλην Μολοττοῦ τε τάφος ἐστὶν ἀξιωθέντος Ἀθηναίων καὶ τούτου στρατηγεῖν, ὅτε Πλουτάρχῳ βοηθοῦντες [4]) διέβησαν εἰς Εὔβοιαν, καὶ χωρίον Σκῖρον ἐπὶ τοιῷδε καλούμενον. Ἐλευσινίοις πολεμοῦσι πρὸς Ἐρεχθέα [5]) ἀνὴρ μάντις ἦλθεν ἐκ Δωδώνης, ὄνομα Σκῖρος, ὃς καὶ τῆς Σκιράδος ἱδρύσατο Ἀθηνᾶς ἐπὶ Φαληρῷ τὸ ἀρχαῖον ἱερόν· πεσόντα δὲ αὐτὸν ἐν τῇ μάχῃ θάπτουσιν Ἐλευσίνιοι πλησίον ποταμοῦ χειμάρρου· καὶ τῷ τε χωρίῳ τὸ ὄνομα ἀπὸ τοῦ ἥρωός ἐστι καὶ τῷ ποταμῷ. Πλησίον δὲ πεποίηται Κηφισο- 4
δώρου μνῆμα δήμου προστάντος, καὶ Φιλίππῳ τῷ Δημητρίου Μακεδόσι [6]) βασιλεύοντι ἐς τὰ μάλιστα ἐναντιωθέντος. συμμάχους δὲ ἐπήγετο Κηφισόδωρος Ἀθηναίοις γενέσθαι βασιλεῖς μὲν Ἄτταλον τὸν Μυσὸν καὶ Πτολεμαῖον τὸν Αἰγύπτιον, ἔθνη δὲ αὐτονόμα Αἰτωλοὺς, καὶ νησιωτῶν Ῥοδίους καὶ Κρῆτας. ὡς δὲ καὶ ἐξ Αἰγύπτου, καὶ Μυσίας, καὶ παρὰ τῶν Κρητῶν τὰ πολλὰ ὑστέριζον αἱ βοήθειαι, Ῥόδιοι δὲ μόναις ναυσὶν

3) τὴν χώραν ἐπεργ.] Ager Eleusinius intelligendus, uti ex L. III. C. 4. patet; inde per τοῖν θεοῖν Ceres et Proserpina innuuntur, uti etiam C. 28.

4) Πλουτάρχῳ βοηθοῦντες] De quo vidend. Plutarch. Phoc. f. 12. sq.

5) Ἐλευσινίοις — Ἐρεχθέα] Conf. L. I. C. 38.

6) Μακεδόσι] Uterque Codex Μακεδόνων.

ναυσὶν ἰσχύοντες πρὸς ὁπλίτας τοὺς Μακεδόνας οὐ μεγάλα ὠφέλουν, ἐνταῦθα Κηφισόδωρος ἐς Ἰταλίαν σὺν ἄλλοις Ἀθηναίων πλεύσας ἱκέτευεν ἀμῦναι Ῥωμαίους· οἱ δὲ σφίσι δύναμιν καὶ στρατηγὸν [7]) πέμπουσιν, οἳ τὰ Φιλίππου καὶ Μακεδόνων ἐς τοσοῦτο καθεῖλον, ὡς ὕστερον Περσέα τὸν Φιλίππου τήν τε ἀρχὴν ἀποβαλεῖν, καὶ αὐτὸν αἰχμάλωτον ἐς Ἰταλίαν ἀχθῆναι. Φίλιππος δὲ ἦν οὗτος ὁ Δημητρίου. πρῶτος γὰρ ταύτης τῆς οἰκίας ἔσχε Δημήτριος τὴν Μακεδόνων ἀρχὴν, ἀποκτείνας Ἀλέξανδρον τὸν Κασσάνδρου παῖδα, ὡς τὰ πρότερον ἔχει μοι τοῦ λόγου [8]).

CAPUT XXXVII.

De aliis monumentis clarorum virorum ad viam ſacram — Aceſtio — Phytalo — de memorandis trans Cephiſſum — templo Cyamitae — Harpalo — Apollinis templo — Cephalo ejusque poſteris.

Μετὰ δὲ τοῦ Κηφισοδώρου τὸ μνῆμα τέθαπται μὲν Ἡλιόδωρος Ἅλις [1]) · τούτου γραφὴν ἰδεῖν ἐστι καὶ ἐν τῷ ναῷ τῷ μεγάλῳ τῆς Ἀθηνᾶς. τέθαπται δὲ Θεμιστοκλῆς Πολιάρχου, τρίτος ἀπόγονος Θεμιστοκλέους τῷ Ξέρξῃ [2]) καὶ Μήδοις ἐναντία ναυμαχήσαντος. Τοὺς δὲ κατωτέρω τοῦ γένους, πλὴν Ἀκεσίου, παρήσω τοὺς ἄλλους. Ἀκεσίῳ δὲ τῇ Ξενοκλέους τοῦ

7) στρατηγὸν] *Atilium.* Vid. L. VII. C. 7. in fine, ubi plura de hoc bello.

8) τὰ πρότερον — λόγου] Vid. L. I. C. 10 init.

1) Ἅλις] Forte Ἀλεὺς a pago Ἀλαῖ vel Boeotiae urbe Ἀλαῖ (Pauſan. L. IX. C. 24. in fine). Vid. Steph. h. v.

2) τῷ Ξέρξῃ] Cod. Vind. I. et II. τοῦ Ξέρξη, Cod. Moſc. Ξέρξη, omiſſo τῷ.

τοῦ Σοφοκλέους τοῦ Λέοντος [3]), τούτους δὲ ἐς τὸν τέταρτον πρόγονον Λέοντα, δᾳδουχους πάντας ὑπῆρξε γενέσθαι παρὰ τὸν βίον τὸν αὑτῆς· πρῶτον μὲν τὸν ἀδελφὸν Σοφοκλέα εἶδε δᾳδουχοῦντα, ἐπὶ δὲ τούτῳ τὸν ἄνδρα Θεμιστοκλέα, τελευτήσαντος δὲ καὶ τούτου, Θεόφραστον τὸν παῖδα. ταύτῃ [4]) μὲν τύχην τοιαύτην συμβῆναι λέγουσιν. Προελθοῦσι δὲ ὀλίγον, Λακίου τέμενός ἐστιν ἥρωος, καὶ δῆμος, ὃν Λακιάδας ὀνομάζουσιν ἀπὸ τούτου. καὶ Νικοκλέους Ταραντίνου ἐστὶ μνῆμα, ὃς ἐπὶ μέγιστον δόξης κιθαρῳδῶν ἁπάντων ἦλθεν. Ἔστι δὲ καὶ Ζεφύρου τε βωμὸς, καὶ Δήμητρος ἱερὸν καὶ τῆς παιδός· σὺν δὲ σφισιν Ἀθηνᾶ καὶ Ποσειδῶν ἔχουσι τιμάς. Ἐν τούτῳ τῷ χωρίῳ Φύταλόν φασιν 2
οἴκῳ Δήμητρα δέξασθαι, καὶ τὴν θεὸν ἀντὶ τούτων [5]) δοῦναί οἱ τὸ φυτὸν τῆς συκῆς. Μαρτυρεῖ δέ μοι τῷ λόγῳ τὸ ἐπίγραμμα τὸ ἐπὶ τῷ Φυτάλου τάφῳ·

Ἐνθάδ' ἄναξ ἥρως Φύταλος ποτε δέξατο σεμνὴν
Δήμητραν, ὅτε πρῶτον ὀπώρας καρπὸν ἔφηνεν,
Ἣν ἱερὰν συκῆν θνητῶν γένος ἐξονομάζει.

Ἐξ οὗ δὴ τιμὰς Φυτάλου γένος ἔσχεν ἀγήρως,
πρὶν δὲ ἢ διαβῆναι τὸν Κηφισσὸν, Θεοδώρου [6]) μνῆμά ἐστι τραγῳδίαν ὑποκριναμένου τῶν καθ' αὑτὸν ἄριστα. ἀγάλματα δὲ ἐπὶ τῷ ποταμῷ Μνησιμάχης, τὸ δὲ ἕτερον, ἀνάθημα κειρομένου τὴν κόμην τοῦ παιδός οἱ ἐπὶ τῷ Κηφισσῷ [7]). κάθεσθαι δὲ ἐκ παλαιοῦ καὶ τοῖς

3) Λέοντος] Cod. Vind. I. et II. ac Mosc. Λεοντίδος.

4) ταύτῃ] Cod. Vind. I. II. et Mosc. ταύτης.

5) ἀντὶ τούτων] Cod. Vind. I. et Mosc. ἀντὶ τούτου.

6) Θεοδώρου] De hoc celebri tragoedo plura collegit Periz. ad Aelian. V. H. L. XIV. C. 40.

7) κειρομένου — οἱ ἐπὶ τῷ Κ.] Haec leviter turbata esse, jam Kuhnius

τοῖς πᾶσι τοῦτο Ἕλλησι, τῇ Ὁμήρου τις ἂν τεκμαίροιτο ποιήσει, ὃς τὸν Πηλέα εὔξασθαί φησι τῷ Σπερχειῷ κερεῖν ἀνασωθέντος ἐκ Τροίας Ἀχιλλέως τὴν κόμην.

3 Διαβᾶσι δὲ τὸν Κηφισσὸν, βωμός ἐστιν ἀρχαῖος Μειλιχίου Διός [8]). ἐπὶ τούτῳ Θησεὺς ὑπὸ τῶν ἀπογόνων τῶν Φυτάλου καθαρσίων ἔτυχε, λῃσὰς καὶ ἄλλους ἀποκτείνας, καὶ Σίνιν [9]) τὰ πρὸς Πιτθέως συγγενῆ. τάφος δέ ἐστιν αὐτόθι Θεοδέκτου τοῦ Φασηλίτου [10]). ἔτι δὲ Μνησιθέου. τοῦτον λέγουσιν ἰατρόν τε ἀγαθὸν γενέσθαι, καὶ ἀναθεῖναι [11]) ἀγάλματα, ἐν οἷς καὶ ὁ Ἴακχος πεποίηται. ᾠκοδόμηται δὲ κατὰ τὴν ὁδὸν ναὸς οὐ μέγας, καλούμενος Κυαμίτου [12]). σαφὲς δὲ οὐδὲν ἔχω λέγειν, εἴτε πρῶτος κυάμους ἔσπει-

Kuhnius suspicatus est et Codices confirmant. Cod. Mosc. κειρομένου οἱ τὴν κόμην τοῦ παιδὸς ἐπὶ τῷ Κ. Cod. Vind. I. οἱ τὴν κόμην ἔκειραν τοῦ παιδὸς ἐπὶ τῷ Κ. et Vind. II. οἱ τὴν κόμην τοῦ παιδὸς ἔκειραν ἐπὶ τῷ Κ. *Kuhn.* pro ἐπὶ legendum putat ἐπί, quod paullo infra sit κερεῖν τῷ Σπερχειῷ. Ceterum de filio ejusdem Mnesimaches hic sermonem esse, admodum credibile est. De ritu comam fluviis detondendi vid. locum Homeri Il. Ψ. v. 142.

8) Μειλιχίου Διός] Ejusdem fit mentio L. II. C. 9., ubi ejus signum pyramidi simile memoratur, et L. II. C. 20. Lucus et ara θεῶν μειλιχίων est L. X. C. 38. Conf. Duker. ad Thuc. I. s. 126.

9) Σίνιν] Vid. L. II. C. 1. et *Heyne* V. C. ad Apollodor. p. 897.

10) Θεοδέκτου τ. Φ.] De hoc poëta tragico et rhetore vid. plura in Suida h. v. et Steph. Byz. v. Φασηλίς. Conf. Athen. L. X. p. 454., Plutarch. Alex. s. 17. et Diog. Laërt. L. V. 24.

11) ἀναθεῖναι] Cod. Vind. I. ἀναθῆναι.

12) ᾠκοδόμηται δὲ κατὰ — Κυαμίτου] *Salmas.* Exerc. p. 751. perperam ᾠκοδ. δέ οἱ κατὰ etc. legendum opinatur. Nam sequentia diserte declarant, hominis vel heros nomen illud fuisse, non Iacchi. De Κυαμίτου vid. Hesych h. v. et ibi Alb., coll. Toup Emendat. in Suid. et Hesych. T. II. p. 468. sq. ac Salmas. l. c.

ἔσπειρεν οὗτος, εἴτε τινὰ ἐπευφήμησαν ἥρωα· ὅτι τῶν κυάμων ἀνενεγκεῖν οὐκ ἔστι σφίσιν ἐς Δήμητρα τὴν εὕρεσιν. ὅσις δὲ ἤδη τελετὴν Ἐλευσῖνι εἶδεν, ἢ τὰ καλούμενα Ὀρφικὰ ἐπελέξατο, οἶδεν, ὃ λέγω. Μνημάτων δὲ, ἃ μάλιστα ἐς μέγεθος καὶ κόσμον ἥκει, τὸ μὲν ἀνδρός ἐστι Ῥοδίου μετοικήσαντος ἐς Ἀθήνας· τὸ δὲ Ἅρπαλος Μακεδὼν ἐποίησεν, ὃς Ἀλέξανδρον ἀποδρὰς ἐκ τῆς Ἀσίας διέβη ναυσὶν ἐς τὴν Εὐρώπην, ἀφικόμενος δὲ παρ' Ἀθηναίους ὑπ' αὐτῶν συνελήφθη, διαφθείρας δὲ χρήμασιν ἄλλους τε καὶ τοὺς Ἀλεξάνδρου φίλους ἀπέδρα. πρότερον δὲ ἔτι Πυθιονίκην [13]) ἔγημε, γένος μὲν οὐκ οἶδα ὁπόθεν, ἑταιροῦσαν δὲ ἔν τε Ἀθήναις καὶ ἐν Κορίνθῳ. ταύτης ἐς τοσοῦτον ἔρωτος [14]) προῆλθεν, ὡς καὶ μνῆμα ἀποθανούσης ποιῆσαι, πάντων, ὁπόσα Ἕλλησίν ἐστιν ἀρχαῖα, θέας μάλιστα ἄξιον. Ἔστι δὲ ἱερὸν, ἐν ᾧ κεῖται Δήμητρος καὶ τῆς παιδὸς ἀγάλματα, καὶ Ἀθηνᾶς τε καὶ Ἀπόλλωνος· Ἀπόλλωνι δὲ ἐποιήθη μόνῳ τοξαρχῆς. Κέφαλον γὰρ τὸν Δηϊονέως συνεξελόντα [15]) λέγουσιν Ἀμφιτρύωνι Τηλεβόας τὴν νῆσον οἰκῆσαι πρῶτον, ἣ νῦν ἀπ' ἐκείνου Κεφαλληνία καλεῖ-

13) Πυθιονίκην] Diodor. XVII. f. 108., qui multa de Harpalo ejusque luxuria refert, exhibet Πυθονίκην, et ita Plutarch. Phoc. f. 22. Athen. L. XIII. p. 586., ubi de eadem re agit, cum Pausania habet Πυθιονίκην.

14) ἐς τοσοῦτον ἔρωτος] Pro ἔρωτα ex usu loquendi rescripsi ἔρωτος, utroque Cod. Vind. et Mosc. hoc exhibente.

15) Δηϊονέως συνεξελόντα etc.] Cod. Mosc. Δηΐονος, uti etiam in Pausan. L. X. C. 29. et Apollod. I. 7. 3., ubi vid. Heyne V. C. p. 99. de varia hujus nominis scriptura. συνεξελόντα Xylander reposuisse dicit pro vulgata συνεξελθόντα, quod Cod. Mosc. servavit mendosa lectione συνεξελθόντι. De re ipsa vidend. Schol ad Apollon. Arg. I. v. 747. et Heyne V. C. ad Apollod. p. 144. et 312.

καλεῖται· μετοικεῖν δὲ αὐτὸν τέως ἐν Θήβαις φεύγοντα ἐξ Ἀθηνῶν διὰ τὸν Πρόκριδος τῆς γυναικὸς φόνον. δεκάτῃ δὲ ὕστερον γενεᾷ Χαλκεῖνος [16]) καὶ Δαῖτος ἀπόγονοι Κεφάλου πλεύσαντες ἐς Δελφοὺς ἤτουν τὸν θεὸν κάθοδον ἐς Ἀθήνας· ὁ δέ σφισι κελεύει θῦσαι πρῶτον Ἀπόλλωνι ἐνταῦθα τῆς Ἀττικῆς, ἔνθα ἂν ἴδωσιν ἐπὶ τῆς γῆς τριήρη θέουσαν· γενομένοις δὲ αὐτοῖς κατὰ τὸ Ποικίλον καλούμενον ὄρος δράκων ἐφάνη σπουδῇ κατὰ τὸν Φωλεὸν ἰών· καὶ Ἀπόλλωνί τε θύουσιν ἐν τῷ χωρίῳ τούτῳ, καὶ ὕστερον σφᾶς ἐλθόντας ἐς τὴν πόλιν ἀγοὺς ἐποιήσαντο Ἀθηναῖοι. μετὰ δὲ τοῦτο Ἀφροδίτης ναός ἐστι, καὶ πρὸ αὐτοῦ τεῖχος ἀργῶν λίθων θέας ἄξιον.

CAPUT XXXVIII.

De Rhetis alveis — Crocone — Eumolpo — Celeo ejusque filiabus — Ceryce — Zarece — memorandis apud Eleusinios — Rhario campo — Eleusine heroë — Plataeensi agro et Eleutherensibus — Antiope ejusque liberis.

Οἱ δὲ Ῥειτοὶ [1]) καλούμενοι ῥεῦμα μόνον παρέχονται ποταμῶν· ἐπεὶ τό γε ὕδωρ θάλασσά ἐστι σφίσι. πείθοιτο δὲ ἄν τις καὶ ὡς ἀπὸ τοῦ Χαλκιδέων [2]). Εὐρίπου ῥέουσιν ἀπὸ τῆς γῆς ἐς θάλασσαν κοιλοτέραν ἐμπίπτοντες. λέγονται δὲ οἱ Ῥειτοὶ Κόρης ἱεροὶ καὶ Δήμητρος εἶναι· καὶ τοὺς ἰχθῦς ἐξ αὐτῶν τοῖς ἱερεῦσίν ἐστιν

16) Χαλκεῖνος] Cod. Vind. I. Χαλκῖνος.

1) Ῥειτοὶ] De his maris alveis vid. L. II. C. 24. et Hesych. h. v. ibique Interpret.

2) Χαλκιδέων] Sic *Xylander* reposuit pro mendosa lectione Χαλκιδεῶνος, quam etiam utercque Cod. Vindob. et Mosc. habent.

ἐστιν αἱρεῖν μόνοις. οὗτοι τὸ ἀρχαῖον, ὡς ἐγὼ πυν-
θάνομαι, πρὸς Ἀθηναίους τοὺς ἄλλους ὅροι τῆς γῆς
Ἐλευσινίοις ἦσαν. Καὶ διαβᾶσι τοὺς Ῥειτοὺς, πρῶ- 2
τος ὤκει Κρόκων, ἔνθα καὶ νῦν ἔτι βασίλεια καλεῖται
Κρόκωνος. τοῦτον Ἀθηναῖοι τὸν Κρόκωνα Κελεοῦ θυ-
γατρὶ συνοικῆσαι Βαισάρᾳ [3]) λέγουσι· λέγουσι δὲ
οὐ πάντες, ἀλλ' ὅσοι τοῦ δήμου τοῦ Σκαμβωνίδων [4])
εἰσίν. ἐγὼ δὲ Κρόκωνος μὲν ἀνευρεῖν τάφον οὐχ οἷός
τε ἐγενόμην, τὸ δὲ Εὐμόλπου [5]) μνῆμα κατὰ ταυτὰ
Ἐλευσινίοις ἀπέφαινον καὶ Ἀθηναῖοι. Τοῦτον τὸν 3
Εὔμολπον ἀφικέσθαι λέγουσιν ἐκ Θράκης Ποσειδῶνος
παῖδα ὄντα καὶ Χιόνης· τὴν δὲ Χιόνην Βορέου θυ-
γατέρα τοῦ ἀνέμου καὶ Ὠρειθυίας φασὶν εἶναι.
Ὁμήρῳ δὲ ἐς μὲν τὸ γένος ἐστὶν αὐτοῦ πεποιημένον
οὐδὲν, ἐπονομάζει· δὲ ἀγήνορα ἐν τοῖς ἔπεσι τὸν
Εὔμολπον. γενομένης δὲ Ἐλευσινίοις μάχης πρὸς
Ἀθηναίους, ἀπέθανε μὲν Ἐρεχθεὺς Ἀθηναίων βα-
σιλεὺς, ἀπέθανε δὲ Ἰμμάραδος ὁ Εὐμόλπου· κατα-
λύονται δὲ ἐπὶ τοῖσδε τὸν πόλεμον, ὡς Ἐλευσινίους ἐς
τὰ ἄλλα Ἀθηναίων κατηκόους ὄντας ἰδίᾳ τελεῖν τὴν
τελετήν. τὰ δὲ ἱερὰ τοῖν θεοῖν Εὔμολπος καὶ αἱ θυγα-
τέρες δρῶσιν αἱ Κελεοῦ. καλοῦσι δὲ σφᾶς Πάμφως [6])
τε

3) Κελεοῦ — Βαισάρᾳ] Scribendum puto Σαισάρᾳ, cum quod infra inter filias Celei Σαισ. nominatur, tum Hesychii auctoritate, in quo est Σαισαγία, ἡ Ἐλευσὶν πρότερον. De Celeo vid. Homeri Hymn. in Cerer. v. 96. sq. et ibi Ruhnk. V. C.

4) Σκαμβωνίδων] Cod. Vind. I. Σκαβωνίδων. Vid. Steph. h. v.

5) Εὐμόλπου] De hoc vid. Heyne V. C. ad Apollod. p. 860. 61. Locus Homeri de Eumolpo est Hymn. in Cerer. v. 154. 155., ubi vid. Ruhnken. V. C.

6) Πάμφως] Poëta, qui vetustissimos hymnos Athenienſibus composuit, Paus. L. VII. C. 21. et L. IX. C. 29.; post Olenem et Orpheum vixit, L. IX. C. 27.;

τε κατὰ ταυτὰ καὶ Ὅμηρος [7]), Διογένειαν καὶ Παμμερόπην, καὶ τρίτην Σαισάραν. τελευτήσαντος δὲ Εὐμόλπου, Κήρυξ νεώτερος λείπεται τῶν παίδων, οὓς αὐτοὶ Κήρυκες [8]) θυγατρὸς Κέκροπος Ἀγλαύρου καὶ Ἑρμοῦ παῖδα εἶναι λέγουσιν, ἀλλ' οὐκ Εὐμόλπου.
4 Ἔστι δὲ Ἱπποθόοντος ἡρῶον [9]), ἀφ' οὗ τὴν φυλὴν ὀνομάζουσι, καὶ πλησίον Ζάρηκος [10]). τοῦτον μαθεῖν παρὰ Ἀπόλλωνι μουσικὴν φασιν· ἐγὼ δὲ ξένον μὲν ἀφικόμενον ἐς τὴν γῆν, Λακεδαιμονίων τε εἶναι δοκῶ, καὶ Ζάρακα ἐν τῇ Λακωνικῇ πόλιν ἀπὸ τούτου πρὸς θαλάσσῃ καλεῖσθαι· εἰ δέ τις Ζάρηξ ἐπιχώριος Ἀθη-
5 ναίοις ἥρως, οὐδὲν ἐς αὐτὸν ἔχω λέγειν. Ῥεῖ δὲ Κηφισσὸς πρὸς Ἐλευσῖνι βαθύτερον παρεχόμενος τοῦ προτέρου ῥεῦμα· καὶ παρ' αὐτῷ καλοῦσιν Ἐρινεὸν [11]), λέγοντες τὸν Πλούτωνα, ὅτε ἥρπασε τὴν Κόρην, καταβῆναι

primus omnium in Gratias cecinit, L. IX C 35.; de Cerere et Proserpina multa versibus mandavit, L I. C. 39. init., L. IX. C. 31. Forte ad hunc Pamphum pertinent, quae Hesych. habet Παμφίδες, γυναῖκες Ἀθήνησιν ἀπὸ Πάμφου τὸ γένος ἔχουσαι.

7) καὶ Ὅμηρος etc.] Ad quem locum Homeri respexerit Pausanias, incertum est. In Homeri hymno in Cerer. v. 109. quatuor Celei filiae memorantur, quarum nomina ab illis prorsus sunt diversa. Ruhnk. V. C. ad Hom h. in Cer. v. 480. ibi ista nomina intercidisse conjicit. Pro Σαισάραν Cod. Mosc. habet Βαισάραν.

8) Κήρυκες] Hesych. ἐκαλεῖτο δὲ καὶ γένος Ἰθαγενῶν ἀπὸ Κήρυκος τοῦ Ἑρμοῦ.

9) Ἱπποθόοντος ἡρῶον] dictum Ἱπποθοωντειον. Vid. Hesych. h. v. Inter Eponymos fuit, L. I. C. 5. Conf. L. I. C. 39.

10) Ζάρηκος] Caryсti vel Caryci filius dicitur in Schol. ad Lycophr. v. 580., ubi plura de ejus stirpe. Conf. eadem Schol. ad v. 373. De urbe Zarace vid. Paus. L. III. C. 24. init.

11) Ἐρινεὸν] *Caprificum, ficum sylvestrem.* Vid. Schol. ad Lycophr. v. 741., Hesych. et Suid. Conf. Pausan. L. IV. C. 20.

βῆναι ταύτῃ. πρὸς τούτῳ τῷ Κηφισσῷ λῆξαι τὴν Πολυπήμονα ὄνομα, Προκρούστην δὲ ἐπίκλησιν, Θησεὺς ἀπέκτεινεν. Ἐλευσινίοις δέ ἐστι μὲν Τριπτολέμου ναός, 6
ἔστι δὲ Προπυλαίας Ἀρτέμιδος, καὶ Ποσειδῶνος πατρός· Φρέαρ τε καλούμενον Καλλίχορον, ἔνθα πρῶτον Ἐλευσινίων αἱ γυναῖκες χορὸν ἔστησαν, καὶ ἦσαν ἐς τὴν θεόν. τὸ δὲ πεδίον τὸ Ῥαρίον [12]) σπαρῆναι πρῶτον λέγουσι, καὶ πρῶτον αὐξῆσαι καρπούς, καὶ διὰ τοῦτο οὐλαῖς ἐξ αὐτοῦ χρῆσθαί σφισι, καὶ ποιεῖσθαι πέμματα ἐς τὰς θυσίας καθέστηκεν. ἐνταῦθα ἄλως καλουμένη Τριπτολέμου, καὶ βωμὸς δείκνυται. Τὰ δὲ ἐντὸς τοῦ τείχους τοῦ ἱεροῦ τό τε ὄνειρον ἀπεῖπε γράφειν, καὶ τοῖς οὐ τελεσθεῖσιν, ὁπόσων [13]) θέας εἴργονται, δῆλα δήπου μηδὲ πυθέσθαι μετεῖναί σφισιν. Ἐλευσῖνα δὲ ἥρωα, ἀφ' οὗ τὴν πόλιν ὀνομάζουσιν, οἱ 7
μὲν Ἑρμοῦ παῖδα εἶναι καὶ Δαείρας Ὠκεανοῦ θυγατρὸς λέγουσι, τοῖς δέ ἐστι πεποιημένα Ὤγυγον [14]) εἶναι πατέρα. Ἐλευσίνιοι γὰρ ἀρχαῖοι τῶν λόγων ἄτε οὐ προσόντων σφίσι γενεῶν, ἄλλα τε πλάσασθαι δεδώκασι, μάλιστα [15]) ἐς τὰ γένη τῶν ἡρώων.

Ἐκ δὲ Ἐλευσῖνος τραπομένοις ἐπὶ Βοιωτῶν ἐστιν 8
ὅμορος Ἀθηναίοις ἡ Πλαταιῖς [16]). πρότερον μὲν γὰρ

12) Ῥαρίον] a Rharo patre Triptolemi. Vid. Hesych. h. v. et ibi Interpr.

13) ὁπόσων] Sic ex conjectura Valkenar. Diatrib. in Euripid. fragmenta p. 290. A. rescribere ne minimum quidem haesitavi, cum vulgata ὅπως ὧν nullo modo probabilem exhiberet sententiam. Mox μετεῖναι *Xylander* restituit pro μήτ' εἶναι, quod Ald. et Cod. Mosc. habent, unde Cod. Casaub. εἰδέναι legendum esse censuit.

14) Ὤγυγον] Conf. L. IX. C. 5. init.

15) μάλιστα] Bene *Kuhn.* καὶ μάλιστα scribendum censet.

16) Πλαταιῖς] Sic in utroque Cod. Vind. scribitur et in aliis Pausaniae locis, L. II. C. 6., L. IX. C. 2.; quare repositi pro Πλαταιεῖς.

Ἐλευθερεῦσιν ὅροι πρὸς τὴν Ἀττικὴν ἦσαν· προσχωρησάντων δὲ Ἀθηναίοις τούτων, οὕτως ἤδη Βοιωτίας ὁ Κιθαιρών ἐστιν ὅρος. προσεχώρησαν δὲ Ἐλευθερεῖς, οὐ πολέμῳ βιασθέντες, ἀλλὰ πολιτείας τε ἐπιθυμήσαντες παρὰ Ἀθηναίων, καὶ κατ' ἔχθος τὸ Θηβαίων [17]). ἐν τούτῳ τῷ πεδίῳ ναός ἐστι Διονύσου, καὶ τὸ ξόανον ἐντεῦθεν Ἀθηναίοις ἐκομίσθη τὸ ἀρχαῖον· τὸ δὲ ἐν Ἐλευθεραῖς ἐφ' ἡμῶν ἐς μίμησιν ἐκείνου πε-
9 ποίηται. Ἀπωτέρω δὲ ὀλίγον σπήλαιόν ἐστιν οὐ μέγα, καὶ παρ' αὐτὸ ὕδατος πηγὴ ψυχροῦ. λέγεται δὲ ἐς μὲν τὸ σπήλαιον, ὡς Ἀντιόπη τεκοῦσα κατάθοιτο ἐς αὐτὸ τοὺς παῖδας, περὶ δὲ τῆς πηγῆς τὸν ποιμένα εὑρόντα τοὺς παῖδας, ἐνταῦθα σφᾶς λοῦσαι πρῶτον, ἀπολύσαντα τῶν σπαργάνων. Ἐλευθερῶν δὲ ἦν μὲν ἔτι τοῦ τείχους, ἦν δὲ καὶ οἰκιῶν ἐρείπια· δήλη δὲ τούτοις ἐστὶ πόλις ὀλίγον ὑπὲρ τοῦ πεδίου πρὸς τῷ Κιθαιρῶνι οἰκισθεῖσα.

CAPUT XXXIX.

De memorandis in via ex urbe Eleusine Megara versus — puteo Anthino — Meganirae (vel Metanirae) templo — sepulcris ad Thebas occisorum — Alope et Cercyone — Theseo luctandi artis inventore — de Megarici agri et urbis originibus ac fatis narratio.

Ἑτέρα δὲ ὁδὸς ἐξ Ἐλευσῖνος πρὸς Μέγαρα ἄγει. ταύτην ἐρχομένοις τὴν ὁδὸν, φρέαρ ἐστὶν ἄνθινον [1]) καλούμενον.

Πλαταιεῖς. Conf. Steph. v. Πλαταιαί. Mox pro Ἐλευθερεῦσιν Cod. Vind. I. Ἐλευθερέσιν.

17) τὸ Θηβαίων] Cod. Mosc. τῶν Θηβαίων.

1) ἄνθινον] Sic Xylander scripsit

μενον. ἐποίησε δὲ Πάμφως ἐπὶ τούτῳ τῷ Φρέατι καθῆσθαι Δήμητρα μετὰ τὴν ἁρπαγὴν τῆς παιδὸς, γραῒ εἰκασμένην. ἐντεῦθεν δὲ αὐτὴν ἄτε γυναῖκα Ἀργείαν [2]) ὑπὸ τῶν θυγατέρων τῶν Κελεοῦ νομισθῆναι παρὰ τὴν μητέρα, καί οἱ τὴν Μεγάνειραν [3]) οὕτω πιεῦσαι τοῦ παιδὸς τὴν ἀνατροφήν. Ὀλίγῳ δὲ ἀπωτέρω τοῦ Φρέατος ἱερὸν Μεγανείρας ἐστὶ, καὶ μετ' αὐτὸ τάφοι τῶν ἐς Θήβας. Κρεων γὰρ, ὃς ἐδυνάστευε τότε ἐν Θήβαις, Λαοδάμαντα ἐπίτροπεύων τὸν Ἐτεοκλέους, οὐ παρῆκε τοῖς προσήκουσιν ἀνελομένοις θάψαι· ἱκετεύσαντος δὲ Ἀδράστου Θησέα, καὶ μάχης Ἀθηναίων γενομένης πρὸς Βοιωτοὺς, Θησεὺς, ὡς ἐκράτησε τῇ μάχῃ, κομίσας ἐς τὴν Ἐλευσινίαν τοὺς νεκροὺς ἐνταῦθα ἔθαψε [4]). Θηβαῖοι δὲ τὴν ἀναίρεσιν τῶν νεκρῶν ἐθελονταὶ λέγουσι δοῦναι, καὶ συνάψαι μάχην οὔ φασι. Μετὰ δὲ τῶν Ἀργείων τοὺς τάφους ἐστὶν Ἀλόπης μνῆμα, ἣν τεκοῦσαν Ἱπποθόοντα ἐκ Ποσειδῶνος ἀποθανεῖν ἐνταῦθά φασιν ὑπὸ τοῦ πατρὸς Κερκύονος [5]). εἶναι δὲ ὁ Κερκύων λέγεται καὶ τἆλλα ἄδικος εἰς τοὺς ξένους, καὶ παλαίειν οὐ βουλομένοις· καὶ ὁ τόπος οὗτος παλαίστρα καὶ

2

3

psit pro ἄνθιον, quod in Aldina est. Ruhnken. V. C. ex Homeri hymno in Cerer. v. 99. hic scribendum putat Παρθένιον, vid. ejus not. ad l. c.

2) ἄτε γυναῖκα Ἀργείαν] Ruhnken. V. C. ad Homeri hymn. in Cer. v. 105. forte legendum censet ἄτε γυναῖκα γραῖαν.

3) Μεγάνειραν] Scribendum esse Μετάνειραν, vix in dubium vocari potest, quum ab omnibus fere constanter hoc nomen ita exhibeatur. Vid. Ruhnken. V. C. ad Hom. h. in Cer. v. 161. et Heyne V. C. ad Apollod. p. 60. 61.

4) ἐνταῦθα ἔθαψε] Eadem haec refert Apollodor. L. III. C. 7. 1., ubi vid. Heyne V. C. p. 636. 637.

5) Κερκύονος] Uterque Codex Vind. et Mosc. hic et paullo infra exhibent Κερκυῶνος. De Cercyone videndus etiam Suidas h. v.

καὶ ἐς ἐμὲ ἐκαλεῖτο Κερκύονος, ὀλίγον τοῦ τάφου τῆς Ἀλόπης ἀπέχων. λέγεται δὲ ὁ Κερκύων τοὺς καταξάντας ἐς πάλην διαφθεῖραι πλὴν Θησέως. Θησεὺς δὲ κατεπάλαισεν αὐτὸν σοφίᾳ τὸ πλέον· παλαιστικὴν γὰρ εὗρε τέχνην Θησεὺς πρῶτος, καὶ πάλης κατέστη ὕστερον ἀπ' ἐκείνου διδασκαλεῖα· πρότερον δὲ ἐχρῶντο μεγέθει μόνον καὶ ῥώμῃ πρὸς τὰς πάλας. τοσαῦτα κατὰ γνώμην τὴν ἐμὴν Ἀθηναίοις γνωριμώτατα ἦν, ἔν τε λόγοις καὶ θεωρήμασιν. ἀπέκρινε δὲ ἀπὸ τῶν πολλῶν ἐξ ἀρχῆς ὁ λόγος μοι τὰ ἐς συγγραφὴν ἀνήκοντα.

4 Ἐλευσῖνι δὲ ἤδη πλησιόχωρος καλουμένη Μεγαρὶς τῆς Ἀθηναίων ἦν καὶ αὕτη τὸ ἀρχαῖον, Πύλα τοῦ βασιλέως καταλιπόντος Πανδίονος [6]). μαρτύρια δέ μοι τάφος τε Πανδίονος ἐν τῇ γῇ, καὶ Νῖσος Αἰγεῖ μὲν πρεσβυτάτῳ τοῦ παντὸς γένους παραχωρήσας Ἀθηναίων ἄρχειν, αὐτὸς δὲ Μεγάρων καὶ τῆς ἄχρι Κορινθίων βασιλεύειν ἀξιωθείς· Νισαία τε ἔτι καὶ νῦν Μεγαρεῦσιν ἐπώνυμον ἀπ' αὐτοῦ καλεῖται. Κόδρου δὲ ὕστερον βασιλεύοντος, στρατεύουσιν ἐπ' Ἀθήνας Πελοποννήσιοι· καὶ ὡς οὐδὲν ἀποδειξάμενοι λαμπρὸν ἐκομίζοντο ὀπίσω, Μέγαρα Ἀθηναίων ἑλόντες, Κορινθίων καὶ τῶν ἄλλων συμμάχων τοῖς ἐθέλουσιν ἔδωκαν οἰκῆσαι. Μεγαρεῖς μὲν οὕτως ἔθη καὶ φωνὴν μεταβαλόντες Δωριεῖς γεγόνασι. κληθῆναι δὲ οὕτω τὴν πόλιν φασὶν ἐπὶ Καρὸς τοῦ Φορωνέως, ἐν τῇ γῇ ταύτῃ βασιλεύοντος· τότε πρῶτον λέγουσιν ἱερὰ γενέσθαι Δήμητρος αὐτοῖς, καὶ τοὺς ἀνθρώπους ὀνομάσαι Μέγαρα. οὕτω

6) Πύλα — Πανδίονος] *Sylb.* et *Kuhn.* Πανδίων ſcribendum eſſe recte judicant, Apollodorum ſecuti L. III. C. 15. p. 277., qui Pandioni regnum a ſocero Pyla traditum eſſe refert. Conf. Pauſan. L. I. C. 5.

οὕτω μὲν αὐτοὶ περὶ σφῶν Μεγαρεῖς λέγουσι. Βοιωτοὶ δὲ ἐν Ὀγχηστῷ Μεγαρέα τὸν Ποσειδῶνος οἰκοῦντα ἀφικέσθαι στρατιᾷ Βοιωτῶν φασι[7]), Νίσῳ πρὸς τὸν Μίνω πόλεμον συνδιοίσοντα· πεσόντα δὲ αὐτὸν ἐν τῇ μάχῃ, ταφῆναί τε αὐτοῦ, καὶ τῇ πόλει Μέγαρα ὄνομα ἀπὸ τούτου γενέσθαι, πρότερον Νίσα καλουμένῃ. δωδεκάτῃ δὲ ὕστερον μετὰ Κᾶρα τὸν Φορωνέως γενεᾷ λέγουσιν οἱ Μεγαρεῖς Λέλεγα ἀφικόμενον ἐξ Αἰγύπτου βασιλεῦσαι· καὶ τοὺς ἀνθρώπους κληθῆναι Λέλεγας ἐπὶ τῆς ἀρχῆς αὐτοῦ· Κλήσωνος δὲ τοῦ Λέλεγος γενέσθαι Πύλαν· τοῦ Πύλα δὲ Σκίρωνα· τοῦτον συνοικῆσαι τῇ Πανδίονος θυγατρὶ, καὶ ὕστερον Νίσῳ τῷ Πανδίονος ἐς ἀμφισβήτησιν ἐλθεῖν περὶ τῆς ἀρχῆς Σκίρωνα, καὶ σφισιν Αἰακὸν δικάσαι, βασιλείαν μὲν διδόντα Νίσῳ καὶ τοῖς ἀπογόνοις, Σκίρωνι δὲ ἡγεμονίαν εἶναι πολέμου· Μεγαρέα δὲ τὸν Ποσειδῶνος[8]) θυγατρὶ Νίσου συνοικήσαντα Ἰφινόῃ διαδέξασθαι τὴν τοῦ Νίσου φασὶν ἀρχήν· τὸν δὲ Κρητικὸν πόλεμον καὶ τὴν ἐπὶ Νίσου βασιλεύοντος ἄλωσιν τῆς πόλεως οὐκ ἐθέλουσιν εἰδέναι.

7) Βοιωτοὶ — φασι] Eadem habet Pauſ. paullo poſt C. 42. init.

8) Μεγαρέα δὲ τ. Ποσειδῶνος] Vitioſe vulgatum fuit Πανδίονος. Quare Ποσειδῶνος reſtitui, utroque Cod. Vind. et Moſc., nec non Amaſaei interpretatione illud exhibentibus. Sic et paullo ſupra Megareus Neptuni filius dicitur. Varia autem fuit de patre Megarei narratio. Vid. Heyne V. C. ad Apollodor. III. 15. 8. p. 883.

CAPUT XL.

De memorandis in urbe Megaris — Sithnidibus Nymphis — signis imperatorum Romanorum et Dianae Sospitae — signis XII. deorum — Olympieo et templo Jovis — Megarensium certamine cum Athenienſibus de Salamine — memorandis in via ad Megarensium arcem Cariam dictam.

Ἔστι δὲ ἐν τῇ πόλει κρήνη, καί σφισιν ᾠκοδόμησε Θεαγένης, οὗ καὶ πρότερον τούτων ἐπεμνήσθην, θυγατέρα αὐτὸν συνοικίσαι Κύλωνι Ἀθηναίῳ [1]). οὗτος ὁ Θεαγένης τυραννήσας ᾠκοδόμησε τὴν κρήνην, μεγέθους εἵνεκα καὶ κόσμου καὶ ἐς τὸ πλῆθος τῶν κιόνων θέας ἀξίαν· καὶ ὕδωρ ἐς αὐτὴν ῥεῖ καλούμενον Σιθνίδων [2]) νυμφῶν. τὰς δὲ Σιθνίδας νύμφας λέγουσι Μεγαρεῖς εἶναι μέν σφισιν ἐπιχωρίας, μιᾶ δὲ αὐτῶν θυγατρὶ συγγενέσθαι Δία, Μέγαρόν τε παῖδα ὄντα Διὸς καὶ ταύτης δὴ τῆς νύμφης ἐκφυγεῖν τὴν ἐπὶ Δευκαλίωνός ποτε ἐπομβρίαν, ἐκφυγεῖν δὲ πρὸς τὰ ἄκρα τῆς Γερανίας, οὐκ ἔχοντός που τοῦ ὄρους τὸ ὄνομα τοῦτο, ἀλλὰ, νήχεσθαι γάρ
2 πετομένων γεράνων πρὸς τὴν βοὴν τῶν ὀρνίθων αὐτὸν, διὰ τοῦτο Γερανίαν τὸ ὄρος ὀνομασθῆναι. Τῆς δὲ κρήνης οὐ πόρρω ταύτης ἀρχαῖόν ἐστιν ἱερόν· εἰκόνες δὲ ἐφ' ἡμῶν ἑστᾶσιν ἐν αὐτῷ βασιλέων Ῥωμαίων, καὶ ἄγαλμά τε κεῖται χαλκοῦν Ἀρτέμιδος ἐπίκλησιν Σωτείρας.

1) πρότερον — Ἀθηναίῳ] Vid. L. I. C. 28. init.

2) Σιθνίδων] Etymologici Magni auct., qui v. Γερανεία eadem, quae ſequuntur, de Megareo refert, pro Σιθνίδων habet Θνιάδων et Μεγαρεὺς pro Μέγαρος. In Γερανία variat ſcriptura; Stephan. et Etymol. M. Γεράνεια, Suidas cum Pauſan. ſcribit Γερανία.

τείρας. Φασὶ δὲ ἄνδρας τοῦ Μαρδονίου στρατοῦ καταδραμόντας τὴν Μεγαρίδα ἀποχωρεῖν ἐς Θήβας ὀπίσω παρὰ Μαρδόνιον ἐθέλειν. γνώμῃ δὲ Ἀρτέμιδος νύκτα τε ὁδοιποροῦσιν ἐπιγενέσθαι, καὶ τῆς ὁδοῦ σφᾶς ἁμαρτόντας ἐς τὴν ὀρεινὴν τραπέσθαι τῆς χώρας· οἰομένους δὲ στράτευμα ἐγγὺς εἶναι πολέμιον ἀφιέναι τῶν βελῶν, καὶ τὴν πλησίον πέτραν σένειν βαλλομένην, τοὺς δὲ αὖθις τοξεύειν προθυμίᾳ πλέονι· τέλος δὲ αὐτοῖς ἀναλωθῆναι τοὺς οἰκέτας ἐς ἄνδρας πολεμίους τοξεύειν προθυμίᾳ πλέονι [3]) νομίζουσιν· ἡμέρα τε ὑπεφαίνετο, καὶ οἱ Μεγαρεῖς ἐπῆσαν, μαχόμενοι δὲ ὁπλῖται πρὸς ἀνόπλους καὶ οὐδὲ βελῶν εὐπορουῦντας ἔτι φονεύουσιν αὐτῶν τοὺς πολλούς· καὶ ἐπὶ τῷδε Σωτείρας ἄγαλμα ἐποιήσαντο Ἀρτέμιδος. ἐνταῦθα καὶ τῶν δώδεκα ὀνομαζομένων θεῶν ἐστιν ἀγάλματα, ἔργα εἶναι λεγόμενα Πραξιτέλους· τὴν δὲ Ἄρτεμιν αὐτὴν Στροργυλίων ἐποίησε. Μετὰ ταῦτα ἐς τὸ τοῦ Διὸς τέμενος ἐσελθοῦσι καλούμενον Ὀλυμπίειον, ναός ἐστι θέας ἄξιος· τὸ δὲ ἄγαλμα οὐκ ἐξειργάσθη Διὸς [4]), ἐπιλαβόντος τοῦ Πελοποννησίων πολέμου πρὸς Ἀθηναίους, ἐν ᾧ καὶ ναυσὶν ἀνὰ πᾶν ἔτος καὶ στρατῷ φθείροντες Μεγαρεῦσιν Ἀθηναῖοι τὴν χώραν τά τε κοινὰ ἐκάκωσαν, καὶ ἰδίᾳ τοὺς οἴκους ἤγαγον ἐς τὸ ἔσχατον ἀσθενείας. τῷ δὲ ἀγάλματι

3) πολ. τοξεύειν προθυμίᾳ πλέονι] Verba προθ. πλέονι prorsus ab hoc loco aliena et librarii oculis ad praecedentia aberrantibus perperam iterata ejicienda esse, cuilibet statim patere arbitror, et *Sylb.* illud jam annotavit. In Cod. Vind I. πλέονι abest. Ejusmodi prava eorundem verborum iteratio in Pausania interdum obvia est, sicuti L IV. C. 30. τὸ ὄνομα ἀπὸ τῆς Ἀβίας, L. X. C. 18. in fine εἰκών.

4) ἐξειργάσθη Διὸς] Codex Vind. I. et Mosc. dant ἐξειργ. τοῦ Διός.

τοῦ Διὸς πρόσωπον ἐλέφαντος καὶ χρυσοῦ, τὰ δὲ λοιπὰ πήλου τέ ἐστι καὶ γύψου· ποιῆσαι δὲ αὐτὸ Θεόκοσμον λέγουσιν ἐπιχώριον, συνεργάσασθαι δέ οἱ Φειδίαν. ὑπὲρ δὲ τῆς κεφαλῆς τοῦ Διός εἰσιν Ὧραι καὶ Μοῖραι· δῆλα δὲ πᾶσι, τὴν πεπρωμένην μόνῳ οἱ πείθεσθαι, καὶ τὰς ὥρας τὸν θεὸν τοῦτον νέμειν εἰς τὸ δέον. ὄπισθε δὲ τοῦ ναοῦ κεῖται ξύλα ἡμίεργα· ταῦτα ἔμελλεν ὁ Θεόκοσμος ἐλέφαντι καὶ χρυσῷ κο-
4 σμήσας τὸ ἄγαλμα ἐκτελέσειν τοῦ Διός. Ἐνταῦθα τῷ ναῷ τριήρους ἀνάκειται χαλκοῦν ἔμβολον· ταύτην τὴν ναῦν φασι λαβεῖν περὶ Σαλαμῖνα [5]) ναυμαχήσαντες πρὸς Ἀθηναίους. ὁμολογοῦσι δὲ Ἀθηναῖοι χρόνον τινὰ Μεγαρεῦσιν ἀποσῆναι τῆς νήσου, Σόλωνα δὲ φασιν ὕστερον ἐλεγεῖα ποιήσαντα [6]) προτρέψαι σφᾶς, κατασῆναι δὲ ἐπὶ τούτοις ἀμφισβήτησιν Ἀθηναίοις [7]), κρατήσαντας δὲ πολέμῳ Σαλαμῖνα αὖθις ἔχειν. Μεγαρεῖς δὲ παρὰ σφῶν λέγουσιν ἄνδρας Φυγάδας, οὓς Δορυκλείους ὀνομάζουσιν, ἀφικομένους παρὰ τοὺς ἐν Σαλαμῖνι κληρούχους, προδοῦναι Σαλα-
5 μῖνα Ἀθηναίοις. Μετὰ δὲ τοῦ Διὸς τὸ τέμενος ἐς τὴν ἀκρόπολιν ἀνελθοῦσι καλουμένην ἀπὸ Καροῦς τοῦ Φορωνέως καὶ ἐς ἡμᾶς ἔτι Καρίαν ἐστὶ μὲν Διονύσου ναὸς

Νυκτε-

5) περὶ Σαλαμῖνα] Amaſ. *de Salamine.* Inde et ex re ipſa *Sylb.* π. Σαλαμῖνος legendum eſſe conjicit. Sed vulgata bene ferri poteſt. Mox pro ὁμολ. δὲ Ἀθηναῖοι Cod. Vind. I. bene dat ὁμ. δὲ καὶ Ἀθ.

6) Σόλωνα — ἐλεγεῖα ποιήσαντα] Copioſius haec relata et nonnullos verſus ex hoc Solonis carmine legimus in Plutarchi Solone ſ. 8. et Diog. Laërt. L. 1. ſ. 46 — 48., ubi vid Menag.

7) κατασῆναι δὲ ἐπὶ τούτοις ἀμφισβήτησιν Ἀθηναίοις] Mallem κατασῆναι δὲ ἐπὶ τούταις ἐς ἀμφισβήτησιν Ἀθηναίους. Sic enim ſaepius in Pauſania et Thucydide eſt κατασῆναι ἐς πόλεμον, ἐς μάχην, *bellum, pugnam capeſſere*, et paullo poſt C. 41. init. ἐς ἀμφισβήτησιν ἐλθεῖν.

Νυκτελίου [8]). πεποίηται δὲ Ἀφροδίτης Ἐπιστροφίας [9]) ἱερὸν, καὶ νυκτὸς καλούμενον ἐπιμαντεῖον [10]). καὶ Διὸς Κονίου ναὸς οὐκ ἔχων ὄροφον. τοῦ δὲ Ἀσκληπιοῦ ἄγαλμα Βρύαξις καὶ αὐτὸ καὶ τὴν Ὑγείαν ἐποίησεν. ἐνταῦθα καὶ τῆς Δήμητρος τὸ καλούμενον Μέγαρον· ποιῆσαι δὲ αὐτὸ βασιλεύοντα Κᾶρα ἔλεγον.

CAPUT XLI.

De Alcmenae ſepulcro — loco *Rhun* dicto — aliis ſepulcris et templis — Alcathoo et leone Cithaeronio — Pandionis heroo — Hippolyte Amazone — Tereo, Procne et Philomela.

Ἐκ δὲ τῆς ἀκροπόλεως κατιοῦσιν, ἢ πρὸς ἄρκτον τέτραπται τὸ χωρίον, μνῆμά ἐστιν Ἀλκμήνης πλησίον τοῦ Ὀλυμπίου [1]). βαδίζουσαν γὰρ ἐς Θήβας ἐξ Ἄργους τελευτῆσαι καθ' ὁδὸν λέγουσιν αὐτὴν ἐν τοῖς Μεγαρικοῖς· καὶ τοὺς Ἡρακλείδας ἐς ἀμφισβήτησιν ἐλθεῖν, τοὺς μὲν ἐς Ἄργος ἐθέλοντας ὀπίσω κομίσαι τὸν νεκρὸν τῆς Ἀλκμήνης, τοὺς δ' αὐτῶν ἐς Θήβας·

8) Νυκτελίου] Ovid. Metam. IV. v. 15. Nycteliusque etc., cujus ſacra noctu peragebantur. Inde in Heſych. νυκτελεῖν, ἐν νυκτὶ τελεῖν. Virg. G. IV. v. 521. *noctiturnus Bacchus.*

9) Ἀφροδ. Ἐπιστροφίας] Haud temere conjicere poſſis, ſcribendum eſſe Ἀποστροφίας. Nam L. IX. C. 16. inter tres Veneres, quas Pauſan. recenſet, Venus Ἀποστροφία eſt, cujus nominis ratio ibi redditur.

10) ἐπιμαντεῖον] *Kuhn.* ἔστι μαντεῖον emendandum cenſet.

1) Ὀλυμπίου] Scribendum eſſe Ὀλυμπιείου ex Cap. praeced., Sylb. recte monuit. Sed L. II. C. 7. et L. VII. C. 2. eſt Ὀλύμπιον. Variat ſcriptura nominum in ιον, ιειον, ειον, cujus varietatis exempla ex Pauſania collegit *Sylb.* ad L. II. C. 26. Conf. Weſſeling. ad Diodor. p. 546.

βας· καὶ γὰρ τοῖς Ἡρακλέους παισὶ τοῖς ἐκ Μεγάρας τάφον εἶναι καὶ Ἀμφιτρύωνος ἐν Θήβαις. ὁ δὲ ἐν Δελφοῖς θεὸς ἔχρησε, θάψαι Ἀλκμήνην ἐν τοῖς
2 Μεγάροις ἄμεινον εἶναί σφισιν. Ἐντεῦθεν ὁ τῶν ἐπιχωρίων ἡμῖν ἐξηγητὴς ἠγεῖτο ἐς χωρίον, Ῥοῦν (ὡς ἔφασκεν) ὀνομαζόμενον· ταύτῃ γὰρ ὕδωρ ποτὲ ἐκ τῶν ὀρῶν τῶν ὑπὲρ τὴν πόλιν ῥυῆναι· Θεαγένη δὲ, ὃς τότε ἐτυράννει, τὸ ὕδωρ ἐτέρωσε τρέψαντα [2]), βωμὸν ἐν-
3 ταῦθα Ἀχελῴῳ ποιῆσαι. Καὶ Ὕλλου πλησίον τοῦ Ἡρακλέους μνῆμά ἐστιν, ἀνδρὶ Ἀρκάδι Ἐχέμῳ τῷ Ἀερόπου μονομαχήσαντος. καὶ ὅστις μὲν Ἔχεμος ὢν ἀπέκτεινεν Ὕλλον, ἑτέρωθι τοῦ λόγου δηλώσω [3]). τέθαπται δὲ καὶ Ὕλλος ἐν τοῖς Μεγάροις. αὕτη καλοῖτο ἂν ὀρθῶς στρατεία τῶν Ἡρακλειδῶν ἐς Πελοπόν-
4 νησον ἐπὶ Ὀρέστου βασιλεύοντος. Οὐ πόρρω δὲ τοῦ Ὕλλου μνήματος Ἴσιδος ναὸς καὶ παρ' αὐτὸν Ἀπόλλωνός ἐστι καὶ Ἀρτέμιδος. Ἀλκάθουν δέ φασι ποιῆσαι, ἀποκτείναντα λέοντα τὸν καλούμενον Κιθαιρώνιον [4])· ὑπὸ τούτου τοῦ λέοντος διαφθαρῆναι καὶ ἄλλους καὶ Μεγαρέως φασὶ τοῦ σφετέρου βασιλέως παῖδα Εὐίππον· τὸν δὲ πρεσβύτερον τῶν παίδων αὐτῷ Τίμαλκον ἔτι πρότερον ἀποθανεῖν ὑπὸ Θησέως, στρατεύοντα εἰς Ἀφιδναν σὺν τοῖς Διοσκούροις· Μεγαρεα δὲ γάμον τε ὑποσχέσθαι θυγατρὸς καὶ ὡς διάδο-

2) Θεαγένη — τρέψαντα] Cod Vind I. et Mosc. exhibent Θιαγένης — τρέψας.

3) ἑτέρωθι — δηλώσω] Vid. L. VIII. C 5. et 45 Conf. Heyne V. C. ad Apollodor. p. 503.

4) Ἀλκάθουν — Κιθαιρώνιον] Vulgo ab Hercule occisus ferebatur hic leo; vid. Apollodor. L II. C 4 9. Alcathoum vero leonem Megaricos agros vastantem sustulisse, ex Derichida, rerum Megaricarum scriptore, pluribus referunt Scholia Apollonii Rh. L. I. v. 517.

διάδοχον ἔξει [5]) τῆς ἀρχῆς, ὅσις τὸν Κιθαιρώνιον λέοντα ἀποκτείναι· διὰ ταῦτα Ἀλκάθουν τὸν Πέλοπος ἐπιχειρήσαντα τῷ θηρίῳ κρατῆσαί τε, καὶ ὡς ἐβασίλευσε, τὸ ἱερὸν ποιῆσαι τοῦτο, Ἀγροτέραν Ἄρτεμιν καὶ Ἀπόλλωνα Ἀγραῖον ἐπονομάσαντα. Ταῦτα μὲν οὖν οὕτω γενέσθαι λέγουσιν. ἐγὼ δὲ γράφειν μὲν ἐθέλω Μεγαρεῦσιν ὁμολογοῦντα, οὐκ ἔχω δὲ, ὅπως εὕρωμαι πάντα σφίσιν, ἀλλὰ ἀποθανεῖν μὲν λέοντα ἐν τῷ Κιθαιρῶνι ὑπὸ Ἀλκάθου πείθομαι· Μεγαρέως δὲ Τίμαλκον παῖδα τίς μὲν ἐς Ἀφιδναν ἐλθεῖν μετὰ τῶν Διοσκούρων ἔγραψε; πῶς δ' ἂν ἀφικόμενος ἀναιρεθῆναι νομίζοιτο ὑπὸ Θησέως; ὅπου καὶ Ἀλκμὰν [6]) ποιήσας ἆσμα ἐς τοὺς Διοσκούρους, ὡς Ἀθήνας ἕλοιεν [7]), καὶ τὴν Θησέως ἀγάγοιεν μητέρα αἰχμάλωτον, ὅμως Θησέα φησὶν αὐτὸν ἀπεῖναι. Πίνδαρος [8]) δὲ τούτοις τε κατὰ ταυτὰ ἐποίησε καὶ γαμβρὸν τοῖς Διοσκούροις Θησέα εἶναι βουλόμενος [9]), ἐς ὃ ἀπελ-

5

5) ἔξει] Cod. Vind. I. ἔξειν.

6) Ἀλκμὰν] Poëta amatorii carminis princeps et dux, Athen. L. XIII. p. 600 F.; vixit olymp. XXVI. secundum Suidam, qui plura de eo habet. Ejus carmina saepius laudantur ab Athenaeo et a Pausania L. III. C. 15. 18. 26. Eundem esse cum Alcmaeone, Salmas. contendit Exercit. p. 285. Conf., quae de eo collegit Perizon. ad Ael. V. H. L. XII. C. 50.

7) Ἀθήνας ἕλ.] Ἀφιδνας pro Ἀθήνας scribendum esse, in promtu est ex ipso Paus. L. II. C. 22., Herodot. IX. 73., Diodor. IV. f. 63. in fine et aliis. Attamen haesitandum, et rem diversis modis narratam esse, censet diligentissimus et acutissimus harum rerum quaesitor, Heyne V. C. ad Apollodor. p. 721 — 723.

8) Πίνδαρος etc.] Vid. Schneideri V. C. carm. Pind. fragm. p. 90.

9) βουλόμενος] Magis arridet βουλόμενον, ut ad Theseum pertineat et ab ἐποίησε pendeat, id quod τε — καὶ exigere videtur. Sic et *Amas.* interpretatus est: *quum affinitatem Castorum sibi expetivisset.* Mox αὐτὸν post ἀπελθεῖν in Cod. Vind. I. et Mosc. deest.

ὃ ἀπελθεῖν αὐτὸν Πειρίθῳ τὸν λεγόμενον γάμον συμπράξαντα. ὅσις δὲ ἐγενεαλόγησε, δῆλον ὡς πολλὴν τοῖς Μεγαρεῦσι σύνοιδεν εὐηθειαν. εἴγε Θησεὺς μὲν ἀπόγονος Πέλοπος. ἀλλὰ γὰρ τὸν ὄντα λόγον. οἱ Μεγαρεῖς εἰδότες ἐπικρύπτουσιν, οὐ βουλόμενοι δοκεῖν ἀλῶναί σφισιν ἐπὶ τῆς ἀρχῆς τῆς Νίσου τὴν πόλιν· διαδέξασθαι δὲ τὴν βασιλείαν γαμβρὸν Νίσου τε Μεγαρέα, καὶ αὖθις Ἀλκάθουν Μεγαρέως. Φαίνεται δὲ, τελευτήσαντος Νίσου καὶ τῶν πραγμάτων Μεγαρεῦσιν ἐφθαρμένων, ὑπὸ τοῦτον Ἀλκάθους ἀφικόμενος τὸν καιρὸν ἐξ Ἠλιδος. μαρτύριον δέ μοι· τὸ γὰρ τεῖχος ὠκοδόμησεν ἐξαρχῆς, ἅτε τοῦ περιβόλου τοῦ ἀρχαίου καθαιρεθέντος ὑπὸ τῶν Κρητῶν. Ἀλκάθου μὲν οὖν [10]) καὶ τοῦ λέοντος, εἴτε ἐν τῷ Κιθαιρῶνι αὐτὸν εἴτε καὶ ἑτέρωθι ἀποκτείνας ναὸν Ἀγροτέρας Ἀρτέμιδος καὶ Ἀπόλλωνος ἐποίησεν Ἀγραίου, ἐς
6 τοσόνδε ἔστω μνήμη. Ἐκ τούτου δὲ τοῦ ἱεροῦ κατιοῦσι Πανδίονός ἐστιν ἡρῷον. καὶ ὅτι μὲν ἐτάφη Πανδίων ἐν Αἰθυίας Ἀθηνᾶς καλουμένῳ σκοπέλῳ, δεδήλωκεν ὁ λόγος ἤδη μοι [11]). τιμὰς δὲ ἐν τῇ πόλει παρὰ Με-
7 γαρέων ἔχει. Πλησίον δέ ἐστι τοῦ Πανδίονος ἡρῴου μνῆμα Ἱππολύτης. γράψω δὲ καὶ τὰ ἐς αὐτὴν, ὁποῖα Μεγαρεῖς λέγουσιν. ὅτε Ἀμαζόνες ἐπ' Ἀθηναίους στρατεύσασαι δι' Ἀντιόπην ἐκρατήθησαν ὑπὸ Θησέως, τὰς μὲν πολλὰς συνέβη [12]) μαχομένας αὐτῶν

10) οὖν] In utroque Cod. abeſt. Paullo infra pro Πανδίονος Codd. habent Πανδίωνος et ſic ſemper.

11) δεδήλωκεν — μοι] Vid. ſupra C. 5. Pro Αἰθυίας uterque Cod. dat ἠθυίας, uti etiam Aldina.

12) συνέβη] In utroque Cod. Vind. et Moſc. abeſt et commode abeſſe poteſt, cum ſequentes accuſativi cum infinitivis ad praecedens λέγουσιν referri poſſint.

των ἀποθανεῖν, Ἱππολύτην δὲ ἀδελφὴν οὖσαν Ἀντιόπης, καὶ τότε ἡγουμένην τῶν γυναικῶν, ἀποφυγεῖν σὺν ὀλίγαις ἐς Μέγαρα, ἅτε δὲ κακῶς οὕτω πράξασαν τῷ στρατῷ τοῖς τε παροῦσιν ἀθύμως ἔχουσαν, καὶ περὶ τῆς οἴκαδε ἐς τὴν Θεμίσκυραν σωτηρίας μᾶλλον ἔτι ἀπορουῦσαν, ὑπὸ λύπης τελευτῆσαι· καὶ θάψαι αὐτὴν ἀποθανοῦσαν ἐνταῦθα· καί οἱ τοῦ μνήματος σχῆμά ἐστιν Ἀμαζονικῇ ἀσπίδι ἐμφερές. Τούτου δέ 8
ἐστιν οὐ πόρρω τάφος Τηρέως τοῦ Πρόκνην γήμαντος τὴν Πανδίονος. ἐβασίλευσε δὲ ὁ Τηρεὺς, ὡς μὲν λέγουσιν οἱ Μεγαρεῖς, περὶ τὰς πηγὰς τὰς καλουμένας τῆς Μεγαρίδος· ὡς δὲ ἐγώ τε δοκῶ, καὶ τεκμήρια ἐς τόδε λείπεται, Δαυλίδος [13]) ἦρχε τῆς ὑπὲρ Χαιρωνείας. πάλαι γὰρ τῆς νῦν καλουμένης Ἑλλάδος βάρβαροι τὰ πολλὰ ᾤκησαν· ἐπεὶ δὲ ἦν καὶ Τηρεῖ τὰ ἐς Φιλομήλαν ἐξειργασμένα, καὶ τὰ περὶ τὸν Ἴτυν ὑπὸ τῶν γυναικῶν, ἑλεῖν σφᾶς ὁ Τηρεὺς οὐκ ἐδύνατο· καὶ ὁ μὲν ἐτελεύτησεν ἐν τοῖς Μεγάροις αὐτοχειρία, καί οἱ τάφον αὐτίκα ἔχωσαν, καὶ θύουσιν ἀνὰ πᾶν ἔτος, ψηφῖσιν ἐν τῇ θυσίᾳ ἀντὶ οὐλῶν χρώμενοι. καὶ τὸν ἔποπα τὸν ὄρνιθα ἐνταῦθα φανῆναι πρῶτον λέγουσιν. αἱ δὲ γυναῖκες ἐς μὲν Ἀθήνας ἀφίκοντο, θρηνοῦσαι δὲ, οἷα ἔπαθον, καὶ οἷα ἀνέδρασαν, ὑπὸ δακρύων διαφθείρονται· καί σφισι τὴν ἐς ἀηδόνα καὶ χελιδόνα μεταβολὴν ἐπεφήμισαν, ὅτι οἶμαι καὶ αὗται αἱ ὄρνιθες ἐλεεινὸν καὶ θρήνῳ ὅμοιον ᾄδουσιν.

13) Δαυλίδος] De hac urbe iisque, quae hic sequuntur, vid. L. X. C. 4.

CAPUT

CAPUT XLII.

De altera Megarenſium arce et de memorandis prope illam — Apolline in muris exſtruendis Alcathoo operam praeſtante — lapide citharae inſtar ſonante — ſimili in Aegypto Memnonis ſimulacro ſonante — templis Minervae in vertice arcis, inprimis Minervae Aeantidis — Apollinis templo et ſignis — ebeni ligni natura — Alcathoi filiorum occaſu — heroo Inus, et quae de ea referunt Megarenſes.

Ἔστι δὲ καὶ ἄλλη Μεγαρεῦσιν ἀκρόπολις ἀπὸ Ἀλκάθου τὸ ὄνομα ἔχουσα. ἐς αὐτὴν γὰρ τὴν [1]) ἀκρόπολιν ἀνιοῦσίν ἐστιν ἐν δεξιᾷ Μεγαρέως μνῆμα, ὃς κατὰ τὴν ἐπιστρατείαν τῶν Κρητῶν ξύμμαχός σφισιν ἦλθεν ἐξ Ὀγχηστοῦ. δείκνυται δὲ καὶ ἑστία θεῶν Προδομέων καλουμένων· θῦσαι δέ σφισιν λέγουσιν Ἀλκάθουν πρῶτον, ὅτε τῆς οἰκοδομίας τοῦ τείχους ἔμελλεν ἄρχεσθαι. τῆς δὲ ἑστίας ἐγγὺς ταύτης ἐστὶ λίθος, ἐφ' οὗ καθεῖναι [2]) λέγουσιν Ἀπόλλωνα τὴν κιθάραν, Ἀλκάθῳ τὸ τεῖχος συνεργαζόμενον. Δηλοῖ δέ μοι καὶ τόδε, ὡς συνεστελουν ἐς Ἀθηναίους Μεγαρεῖς· φαίνεται γὰρ τὴν θυγατέρα Ἀλκάθου [3]) Περίβοιαν ἅμα Θησεῖ πέμψαι κατὰ τὸν δασμὸν ἐς Κρήτην. τότε δὲ αὐτῷ τειχίζοντι, ὥς φασιν οἱ Μεγαρεῖς, συνεργάζεταί γε Ἀπόλλων, καὶ τὴν κιθάραν καθέθηκεν ἐπὶ τὸν

1) ἐς αὐτὴν γὰρ τὴν] In Cod. Vind. I. et Moſc. abeſt τὴν, et Amaſ. legiſſe videtur ἐς ταύτην τὴν. Vix quoque probanda videtur vulgata; certe γὰρ a ſententiae nexu prorſus alienum eſt.

2) καταθεῖναι] Cod. Vind. I. καταθῆναι.

3) Ἀλκάθου] Ἀλκάθουν ſcribendum eſſe videtur, aliter enim, quod ſubjectum vulgo dicunt, deeſſet. Ad rem conf. C. 17. Pro Περίβοιαν uterque Cod. habet Περιβίαν, et ſic ſemper.

τὸν λίθον· ἢν δὲ τύχῃ βαλών τις ψηφῖδι, κατὰ ταυτὰ οὗτός τε ἤχησε καὶ κιθάρα κρουσθεῖσα. Ἐμοὶ δὲ παρέσχε μὲν καὶ τοῦτο θαυμάσαι· παρέσχε δὲ πολλῷ μάλιστα Αἰγυπτίων ὁ κολοσσὸς [4]) ἐν Θήβαις ταῖς Αἰγυπτίαις διαβασι τὸν Νεῖλον, πρὸς τὰς Σύριγγας καλουμένας. ἔστι γὰρ ἔτι καθήμενον ἄγαλμα Ἠλεῖον Μέμνονα ὀνομάζουσιν οἱ πολλοί [5]). τοῦτον γάρ φασιν ἐξ Αἰθιοπίας ορμηθῆναι ἐς Αἴγυπτον, καὶ τὴν ἄχρι Σούσων. ἀλλὰ γὰρ οὐ Μέμνονα οἱ Θηβαῖοι λέγουσι, Φαμένωφα [6]) δὲ εἶναι τῶν ἐγχωρίων, οὗ τοῦτο ἄγαλμα ἦν· ἤκουσα δὲ ἤδη καὶ Σεσωστριν Φαμένων εἶναι τοῦτο τὸ ἄγαλμα, ὃ Καμβύσης διέκοψε, καὶ νῦν ὁπόσον ἐκ κεφαλῆς ἐς μεσον σῶμα, ἢν ἀπερριμμένον [7]). τὸ δὲ λοιπὸν κάθηταί τε καὶ ἀνὰ πᾶσαν ἡμέραν ἀνίσχοντος ἡλιου βοᾷ, καὶ τὸν ἦχον μάλιστα εἰκάσει τις κιθάρας 2

4) πολλῷ μάλιστα Αἰγυπτίων ὁ κολοσσὸς] Cod. Vind I. πολλῷ μᾶλλον ὁ κολοσσος, notata in margine variante μάλιστα.

5) ἔστι γὰρ ἔτι κ. ἄγαλμα Ἠλεῖον Μέμνονα ὀν. etc.] Uterque Cod. Vind. et Mosc pro ἔστι γὰρ dant ἴδον, quod commode locum habere potest. Ἠλεῖον corruptum esse, multi viderunt, et varia conjecerunt *Sylb.* ἡλίειον vel ἡλίου, *Kuhn.* ἄγαλμά τι λείον cum quo sentit *Toup* emendat. in S. et H. Vol. II. ἄγαλμα λειον, *imberbe.* Quae omnia nil agunt. Recta enim emendatio ex Philostrato est petenda, qui in Vit Apollon. L. VI. C. 4. in fine de Memnone ejusque miro signo plura enarrat et Μέμνονα a matre Aurora Ἠῶος cognominatum fuisse dicit. Quare nullus dubito, quin scribendum sit ἄγαλμα, Ἠῶον Μέμνονα ὀν. οἱ π. De Memnonis signo sonoro in aliis scriptoribus multa. vid. Strab L XVII. p 1170. 1171., Lucian. Toxar. s. 27. conf. Philostr. Imag. L. I. C. 7. et Stat. 9. p. 900.

6) Φαμένωφα] In aliis Ἀμενῶφις. Vid. Heyne V. C. ad Apollodor. p 756

7) ἢν ἀπερριμμένον] Cod. uterque ἐστὶ ἀπ. et mox pro τὸ δὲ λοιπὸν habet το λοιπον. Terrae motu hanc statuam dejectam esse, Strabo refert l. ante c.

3 κιθάρας ἢ λύρας ῥαγείσης χορδῆς. Μεγαρεῦσι δέ ἐστι μὲν βουλευτήριον, Τιμάλκου δὲ ἦν ποτε, ὡς λέγουσι, τάφος, ὃν πρότερον ὀλίγον τούτων ἔφην ὑπὸ
4 Θησέως ἀποθανεῖν. Ὠικοδόμηται δὲ ἐπὶ τῇ κορυφῇ τῆς ἀκροπόλεως ναὸς Ἀθηνᾶς, ἄγαλμα δέ ἐστιν ἐπίχρυσον πλὴν χειρῶν καὶ ἄκρων ποδῶν· ταῦτα δὲ καὶ τὸ πρόσωπόν ἐστιν ἐλέφαντος. καὶ ἕτερον ἐνταῦθα ἱερὸν Ἀθηνᾶς πεποίηται, καλουμένης Νίκης, καὶ ἄλλο Αἰαντίδος. τὰ δὲ ἐς αὐτὸ Μεγαρέων μὲν παρεῖται τοῖς ἐξηγηταῖς, ἐγὼ δὲ, ὁποῖα νομίζω γενέσθαι, γράψω. Τελαμὼν ὁ Αἰακοῦ θυγατρὶ Ἀλκάθου Περιβοίᾳ συνώκησεν. Αἴαντα οὖν τὴν ἀρχὴν τὴν Ἀλκάθου διαδεξάμενον ποιῆσαι τὸ ἄγαλμα ἡγοῦμαι τῆς Ἀθη-
5 νᾶς. Τοῦ δὲ Ἀπόλλωνος πλίνθου μὲν ἦν ὁ ἀρχαῖος ναός· ὕστερον δὲ βασιλεὺς ᾠκοδόμησεν Ἀδριανὸς λίθου λευκοῦ. ὁ μὲν δὴ Πύθιος καλούμενος καὶ ὁ Δεκατηφόρος τοῖς Αἰγυπτίοις μάλιστα ἐοίκασι ξοάνοις· ὃν δὲ Ἀρχηγέτην ἐπονομάζουσιν, Αἰγινητικοῖς ἔργοις [8]) ἐ-
6 στὶν ὅμοιος· ἐβένου δὲ πάντα ὁμοίως πεποίηται. Ἤκουσα δὲ ἀνδρὸς Κυπρίου διακρῖναι πόας ἐς ἀνθρώπων ἴασιν εἰδότος, ὃς τὴν ἔβενον φύλλα οὐκ ἔφη φύειν, οὐδὲ εἶναι καρπὸν οὐδένα ἀπ' αὐτῆς, οὐδὲ ὁρᾶσθαι τὸ παράπαν αὐτὴν ὑπὸ ἡλίου· ῥίζας δὲ ὑπογαίους εἶναι,

8) Αἰγινητικοῖς ἔργοις] De Aegina insula, unde artis opera cognominata fuere multa in Pausania L. II. C. 19 20. Illorum operum interdum ab eo mentio fit (vid Indic) atque Αἰγιναίας πλαστικῆς I. X C 17. Jam licet Plin L. XXXIV. C. 2. p 640. C. 8. p. 655. aes Aegineticum ejusque temperaturam laudet et Steph. Byz. v. Αἰγῖναι Aeginaea vasa memoret, ex Pausania tamen, qui de Αἰγιναίᾳ ἐργασίᾳ L. X. C. 36. et τρόπῳ ἐργασίας Αἰγινητίῳ L. VIII C. 53. loquitur, recte colligitur, a formae et manus ratione illa potius nomen duxisse. quam a materia. Vid. Winkelm. *Storia delle arti del disegno* T. II. p. 141. 142.

εἶναι, ταύτας δὲ ὀρύσσειν τοὺς Αἰθίοπας, καὶ ἄνδρας εἶναί σφισιν, οἱ τὴν ἔβενον ἴσασιν εὑρίσκειν. Ἔστι δὲ 7
καὶ Δήμητρος ἱερὸν θεσμοφόρου. κατιοῦσι δὲ ἐντεῦθεν, Καλλιπόλιδος μνῆμά ἐστιν Ἀλκάθου παιδός. ἐγένετο δὲ καὶ ἄλλος Ἀλκάθῳ πρεσβύτερος υἱὸς Ἐχέπολις, ὃν ἀπέσειλεν ὁ πατὴρ Μελεάγρῳ τὸ ἐν Αἰτωλίᾳ θηρίον συνεξαιρήσοντα. ἀποθανόντος δὲ ἐνταῦθα πρῶτος τεθνεῶτα ἐπύθετο ὁ Καλλίπολις· ἀναδραμὼν δὲ ἐς τὴν ἀκρόπολιν, (τηνικαῦτα δὲ ὁ πατὴρ οἱ τῷ Ἀπόλλωνι ἐνέκαεν) ἀπορρίπτει τὰ ξύλα ἀπὸ τοῦ βωμοῦ. Ἀλκάθους δὲ ἀνήκοος ὢν ἔτι τῆς Ἐχεπόλιδος τελευτῆς, κατεδίκαζεν οὐ ποιεῖν ὅσια τὸν Καλλίπολιν, καὶ εὐθέως, ὡς εἶχεν ὀργῆς, ἀπέκτεινε παίσας ἐς τὴν κεφαλὴν τῶν ἀπορριφθέντων ἀπὸ τοῦ βωμοῦ ξύλων [9]). Κατὰ δὲ τὴν ἐς τὸ πυ- 8
ταneῖον ὁδὸν Ἰνοῦς ἐστιν ἡρῷον, περὶ δὲ αὐτὸ θριγγὸς [10]) λίθων· πεφύκασι δὲ ἐπ' αὐτῷ καὶ ἐλαῖαι. μόνοι δὲ εἰσιν Ἑλλήνων Μεγαρεῖς οἱ λέγοντες τὸν νεκρὸν τῆς Ἰνοῦς ἐπὶ τὰ παραθαλάσσια σφισιν ἐκπεσεῖν τῆς χώρας, Κλησὼ δὲ καὶ Ταυρόπολιν εὑρεῖν τε καὶ θάψαι· θυγατέρας δὲ αὐτὰς εἶναι Κλήσωνος τοῦ Λελεγος· καὶ Λευκόθεαν τε ὀνομασθῆναι παρὰ σφισι πρώτοις φασὶν αὐτὴν, καὶ θυσίαν ἄγειν ἀνὰ πᾶν ἔτος.

9) τῶν ἀποῤῥ. — ξύλων] Cum id, quo quis παίει, dativo alias exprimatur, plenius hic esse deberet τινι τῶν ἀποῤῥ. ξύλων. Forte τῷ τῶν ἀποῤῥ. ξ. scribendum est.

10) θριγγὸς] Cod. Mosc. θριγκός. Variat in Paus. et apud alios scriptura, sed vulgatior est θριγκος. Vid. Hesych. v. θριγγὸς et ibi interpretes.

CAPUT XLIII.

De Iphigenia — Adrasto — sepulcris in prytaneo Megar. et petra prope illud Anaclethra dicta — sepulcris in urbe — Aesymnio — Iphinoës cultu — sepulcris ad Bacchi templum — Bacchi templo et signis — Veneris templo et signis in eo — Fortunae templo et aliis signis — Coroebo ejusque sepulcro in foro Megarensium.

Λέγουσι δὲ εἶναι Ἰφιγενείας ἡρῷον· ἀποθανεῖν γὰρ καὶ ταύτην ἐν Μεγάροις. ἐγὼ δὲ ἤκουσα μὲν καὶ ἄλλον ἐς Ἰφιγένειαν λόγον ὑπὸ Ἀρκάδων λεγόμενον· οἶδα δὲ Ἡσίοδον ποιήσαντα ἐν καταλόγῳ γυναικῶν, Ἰφιγένειαν οὐκ ἀποθανεῖν, γνώμῃ δὲ Ἀρτέμιδος Ἑκάτην εἶναι. τούτοις δὲ Ἡρόδοτος [1]) ὁμολογοῦντα ἐγραψε, Ταύρους τοὺς ἐν τῇ Σκυθικῇ θύειν παρθένῳ τοὺς ναυαγούς, Θόαντα δὲ αὐτοὺς τὴν παρθένον Ἰφιγένειαν εἶναι τὴν Ἀγαμέμνονος. ἔχει δὲ παρὰ Μεγαρεῦσι καὶ Ἄδραστος τιμάς· φασὶ δὲ ἀποθανεῖν παρὰ σφίσι καὶ τοῦτον, ὅτε ἑλὼν Θήβας ἀπῆγεν ὀπίσω τὸν στρατόν· αἰτία δέ οἱ τοῦ θανάτου γῆρας καὶ τὴν Αἰγιαλέως υἱοῦ λέγουσι [2]) γενέσθαι τελευτήν. καὶ Ἀρτέμιδος ἱερόν, ὃ Ἀγαμέμνων ἐποίησεν, ἡνίκα ἦλθε Κάλχαντα οἰκοῦντα ἐν Μεγάροις ἐς Ἴλιον ἔπεσθαι πείσων.

2 Ἐν δὲ τῷ πρυτανείῳ τετάφθαι Μένιππον [3]) Μεγαρέως παῖδα, τετάφθαι δὲ τὸν Ἀλκάθου λέγουσιν Ἐχέπολιν.

1) Ἡρόδοτος] Melpom. s. 103.

2) υἱοῦ λέγουσι] Cod. Vind. et Mosc. haec verba non habent, quae propter paullo supra antecedens φασὶ abesse possunt.

3) τετάφθαι Μένιππον] Praeclare *Kuhn.* scribendum esse conjicit τετάφθαι μὲν Μένιππ.

λιν. ἔστι δὲ τοῦ πρυτανείου πέτρα πλησίον, Ἀνάκληθρα [4]) τὴν πέτραν ὀνομάζουσιν, ὡς Δημήτης (εἴ τῳ πιστὰ), ὅτε τὴν παῖδα ἐπλανᾶτο ζητοῦσα, καὶ ἐνταῦθα ἀνεκάλεσεν αὐτήν. εἰκότα δὲ τῷ λόγῳ δρῶσιν ἐς ἡμᾶς ἔτι αἱ Μεγαρέων γυναῖκες. εἰσὶ δὲ τάφοι Μεγαρέων [5]) ἐν τῇ πόλει· καὶ τὸν μὲν τοῖς ἀποθανοῦσιν ἐποίησαν κατὰ τὴν ἐπιστρατείαν τοῦ Μήδου· τὸ δὲ Αἰσύμνιον καλούμενον μνῆμα ἦν καὶ τοῦτο ἡρώων. Ὑπερίονος δὲ τοῦ Ἀγαμέμνονος, (οὗτος γὰρ Μεγα- 3
ρέων ἐβασίλευσεν ὕστατος) τούτου τοῦ ἀνδρὸς ἀποθανόντος ὑπὸ Σανθίονος διὰ πλεονεξίαν καὶ ὕβριν, βασιλεύεσθαι μὲν οὐκέτι ὑπὸ ἑνὸς ἐδόκει σφίσιν, εἶναι δὲ ἄρχοντας αἱρετοὺς, καὶ ἀνὰ μέρος ἀκούειν ἀλλήλων. ἐνταῦθα Αἴσυμνος οὐδενὸς τὰ ἐς δόξαν [6]) Μεγαρέων δεύτερος παρὰ τὸν θεὸν ἦλθεν ἐς Δελφοὺς, ἐλθὼν δὲ ἠρώτα τρόπον τίνα εὐδαιμονήσουσι· καί οἱ καὶ ἄλλα ὁ θεὸς ἔχρησε, καὶ Μεγαρέας εὖ πράξειν, ἢν μετὰ τῶν πλειόνων βουλεύσωνται. τοῦτο τὸ ἔπος ἐς τοὺς τεθνεῶτας ἔχειν νομίζοντες, βουλευτήριον ἐνταῦθα ᾠκοδόμησαν, ἵνα σφίσιν ὁ τάφος τῶν ἡρώων ἐντὸς τοῦ βουλευτηρίου γένηται. Ἐντεῦθεν πρὸς τὸ Ἀλκά- 4
θου βαδίζουσιν ἡρῷον, ᾧ Μεγαρεῖς ἐς γραμμάτων φυλακὴν ἐχρῶντο ἐπ' ἐμοῦ, μνῆμα ἔλεγον τὸ μὲν Πυργοῦς εἶναι γυναικὸς Ἀλκάθου, πρὶν ἢ τὴν Μεγαρέως αὐτὸν λαβεῖν Εὐαίχμην, τὸ δὲ Ἰφινόης Ἀλκάθου θυγατρός· ἀποθανεῖν δέ φασιν αὐτὴν ἔτι παρθένον.

4) Ἀνάκληθρα] Cod. Vind. Ἀνακλήθραν.

5) τάφοι Μεγαρέων] Cod. Vind. Μεγαρεῦσιν et Cod. Mosc. Μεγαρῶσιν. Sic paullo infra ἔστι δὲ Μεγαρεῦσι καὶ Κοροίβου τάφος.

6) τὰ ἐς δόξαν] Cod. Mosc. τῶν ἐς δόξαν.

καθέστηκε δὲ ταῖς κόραις, χοὰς πρὸς τὸ τῆς Ἰφινόης μνῆμα προσφέρειν πρὸ γάμου, καὶ ἀπάρχεσθαι τῶν τριχῶν, καθὰ καὶ τῇ Ἑκαέργῃ καὶ ὅπῃ δὴ 7) αἱ θυγατέρες ποτὲ ἀπεκείραντο αἱ Δηλίων. Παρὰ δὲ τὴν εἴσοδον τὴν ἐς τὸ Διονύσιον τάφος ἐστὶν Ἀγυκρατείας καὶ Μαντοῦς· θυγατέρες δὲ ἦσαν Πολυείδου τοῦ Κοιράνου τοῦ Ἄβαντος τοῦ Μελάμποδος, ἐς Μέγαρα δ' ἐλθόντος Ἀλκάθουν ἐπὶ τῷ Φόνῳ τῷ Καλλιπόλιδος καθῆραι τοῦ παιδός. ᾠκοδόμησε δὴ καὶ τῷ Διονύσῳ τὸ ἱερὸν ὁ Πολύειδος, καὶ ξόανον ἀνέθηκεν ἀποκεκρυμμένον ἐφ' ἡμῶν, πλὴν τοῦ προσώπου· τοῦτο δέ ἐστι τὸ φαιερόν· Σατυρος δὲ παρέστηκεν αὐτῷ Πραξιτέλους ἔργον, Παρίου λίθου· τοῦτον μὲν δὴ πατρῷον καλοῦσιν, ἕτερον δὲ Διονύσιον Δασύλλιον ἐπονομάζοντες· Εὐχήνορα τον Κοιράνου τοῦ Πολυείδου τὸ ἄγαλμα ἀναθεῖναι λέγουσι. Μετὰ δὲ τοῦ Διονύσου τὸ ἱερόν ἐστιν Ἀφροδίτης ναός· ἄγαλμα δὲ ἐλέφαντος Ἀφροδίτη 8) πεποιημένον, Πράξις ἐπίλησιν. τοῦτό ἐστιν ἀρχαιότατον ἐν τῷ νεῷ. Πειθῶ δὲ καὶ ἑτέρα θεὸς, ἣν Παρηγορον 9) ὀνομάζουσιν, ἔργα Πραξιτέλους. Σκόπα

7) ὅπῃ δὴ] Haec turbata et mendosa esse, quisque videt. Cod. Mosc. exhibet ὁπηδὴ et L. V. C. 7 Ὅπην pro Ὅπιν. Genuina lectio restituenda est ex hoc altero Pausaniae loco et ex Herodot. L. IV. §. 35., ubi videndi Valken. et Wesseling. Inde igitur Ὅπιδι vel Ὅπιδι hic scribendum esse, jam omnes interpretes monuerunt. Sed ob formam accusativi Ὅπιν et genitivi Ὅπιος apud Herodotum hic potius emendandum esset Ὅπι δή. De Ope et Hecaërge vid. praeter Herodotum Callimach. hymn. in Del v. 292. et ibi Schol. Conf. Ruhnk. epist. Crit. p. 161.

8) Ἀφροδίτῃ] Bene Cod. Vind. exhibet Ἀφροδίτης.

9) Παρήγορον] Uterque Codex Παρηγόρα.

Σκόπα δὲ Ἔρως, καὶ Ἵμερος, καὶ Πόθος, εἴδη διάφορά ἐστι [10]) κατὰ ταυτὰ τοῖς ὀνόμασι καὶ τὰ ἔργα σφίσι. πλησίον δὲ τοῦ τῆς Ἀφροδίτης ναοῦ Τύχης ἐστὶν ἱερὸν, Πραξιτέλους καὶ αὕτη τέχνη. καὶ ἐν τῷ ναῷ τῷ πλησίον Μούσας καὶ χαλκοῦν Δία ἐποίησε Λύσιππος. Ἔστι δὲ Μεγαρεῦσι καὶ Κοροίβου τάφος· τὰ δὲ ἐς αὐτὸν ἔπη κοινὰ ὅμως τοῖς Ἀργείων ἐνταῦθα δηλώσω. ἐπὶ Κροτώπου λέγουσιν ἐν Ἄργει βασιλεύοντος, Ψαμάθην τὴν Κροτώπου τεκεῖν παῖδα ἐξ Ἀπόλλωνος· ἐχομένην δὲ ἰσχυρῶς τοῦ πατρὸς δείματι τὸν παῖδα ἐκθεῖναι· καὶ τὸν μὲν διαφθείρουσιν ἐπιτυχόντες ἐκ τῆς ποίμνης κύνες τῆς Κροτώπου. Ἀπάλλων δὲ Ἀργείοις ἐς τὴν πόλιν πέμπει Ποινήν [11])· ταύτην τοὺς παῖδας ἀπὸ τῶν μητέρων φασὶν ἁρπάζειν, ἐς ὃ Κόροιβος ἐς χάριν Ἀργείοις φονεύει τὴν Ποινήν. Φονεύσας δὲ (οὐ γὰρ ἀνίει σφᾶς δευτέρα ἐπιπεσοῦσα νόσος λοιμώδης) Κόροιβος ἐκὼν ἦλθεν ἐς Δελφοὺς, ὑφέξων δίκας τῷ θεῷ τοῦ φόνου τῆς Ποινῆς. ἐς μὲν δὴ τὰ Ἄργος ἀναστρέφειν οὐκ εἴα Κόροιβον ἡ Πυθία, τρίποδα δὲ ἀράμενον φέρειν ἐκέλευεν ἐκ τοῦ ἱεροῦ, καὶ ἔνθα ἂν ἐκπέσῃ οἱ φέροντι ὁ τρίπους, ἐνταῦθα Ἀπόλλωνος οἰκοδομῆσαι ναὸν, καὶ αὐτὸν οἰκῆσαι. καὶ ὁ τρίπους κατὰ τὸ ὄρος τὴν Γερανίαν ἀπολισθών, ἔλαθεν αὐτοῦ ἐκπε-

10) εἴδη διάφορά ἐστι etc.] εἴδη hic non *simulacra* significat, sed *faciem et habitum externum*. Sic sententia erit: *facies et habitus externus, eaque, quibus vim et indolem suam exserunt, pariter cum nominibus iis diversa sunt*. Loescher. εἰ δὲ divisim legit, ut Pausanias de diversa horum Cupidinum potestate dubitare videatur. Sed equidem vulgatam praeferrem.

11) Ποινήν] *Furiarum unam, vel deam poenarum exactricem*. Paus. L. III. C. 15. ὅτι τὰς τιμωρίας οἱ παλαιοὶ τῶν ἀνθρώπων ὠνόμαζον ποινάς. Hesych. ποιναῖς — ἐρινυῦσι, τιμωρίαις.

ἐκπεσών· καὶ Τριποδίσκους κώμην ἐνταῦθα οἰκίσαι [12]). Κορυβῶ δέ ἐστι τάφος ἐν τῇ Μεγαρέων ἀγορᾷ· γέγραπται δὲ ἐλεγεῖα τὰ ἐς Ψαμάθην, καὶ τὰ ἐς αὐτὸν ἔχοντα Κορυβῶν· καὶ δὴ καὶ ἐπίθημά ἐστι τῷ τάφῳ Κορυβος Φονεύων τὴν Ποινήν. τούτων ἀγάλματα παλαιότατα, ὁπόσα λίθου πεποιημένα ἐστὶν Ἕλλησιν, ἰδὼν οἶδα.

12) οἰκίσαι] Nihil eſt, unde hic infinitivus pendere poſſit; quare paullo durius φασὶ vel λέγουσι ſupplendum eſſet. Sed forte ſcribendum eſt ᾤκισε.

CAPUT

CAPUT XLIV.

De Orsippo — Apollinis Prostaterii templo et signis in eo — memorandis in gymnasio Megarensi. — memorandis in navali Megarensi. dicto Nisaea — arce Nisaea — urbe Pegis et memorandis in ea — Aegialei sepulcro — Melampodis cultu — Autonoës sepulcro in vico Erinea — sepulcro Telephanis tibicinis — lapide conchite — via Scirone et petra Moluride — Ino et Melicerte — Scirone latrone a Theseo in mare dejecto — templo Jovis Aphesii et aliis signis — Eurysthei sepulcro — templo Apollinis Latoi.

Κορυνθίου δὲ τέθαπται πλησίον Ὀρσιππος, ὃς περιεζωσμένος ἐν τοῖς ἀγῶσι κατὰ δὴ παλαιὸν ἔθος τῶν ἀθλητῶν Ὀλύμπια ἐνίκα στάδιον δρομὴν γυμνός [1]). Φασὶ δὲ καὶ στρατηγοῦντα ὕστερον τὸν Ὀρσιππον ἀποτεμέσθαι χώραν τῶν προσοίκων. δοκῶ δέ οἱ καὶ ἐν Ὀλυμπίᾳ τὸ περίζωμα ἑκόντι περιρυῆναι [2]), γνόντι, ὡς ἀνδρὸς περιεζωσμένου δρομεῖν ῥᾴων ἐστὶν ἀνὴρ γυμνός. Ἐκ δὲ τῆς ἀγορᾶς κατιοῦσι τῆς ὁδοῦ τῆς 2
εὐθείας καλουμένης, Ἀπόλλωνος ἱερόν ἐστιν ἐν δεξιᾷ Προστατηρίου· τοῦτο ὀλίγον ἐκτραπέντα ἐστὶν ἐκ τῆς ὁδοῦ ἀνευρεῖν. Ἀπόλλων δὲ ἐν αὐτῷ κεῖται θέας ἄξιος, καὶ Ἄρτεμις, καὶ Λητὼ, καὶ ἄλλα ἀγάλματά ἐστι Πραξιτέλους ποιήσαντος, Λητὼ καὶ οἱ παῖδες. Ἔστι δὲ ἐν τῷ γυμνασίῳ τῷ ἀρχαίῳ πλησίον πυλῶν 3
καλουμένων Νυμφάδων λίθος παρεχόμενος πυραμίδος

1) Ὀρσιππος — γυμνός] Vid. Etymolog. Magn. v. γυμνάσια, et Schol. ad Homer. Il. Ψ., quae paullulum ab his discrepant. Palmer. Exerc. p. 368. pro περιεζωσμένος mavult περιεζωσμένων.

2) περιρυῆναι] Cod. Mosc. περιῤῥυῆναι.

μίδος σχῆμα οὐ μεγάλης· τοῦτον Ἀπόλλωνα ὀνομάζουσι Καρινὸν, καὶ Εἰλειθυίας [3]) ἐστὶν ἐνταῦθα ἱερόν.
4 τοσαῦτά σφισιν ἐπιδείξειν παρέχετο ἡ πόλις: Ἐς δὲ τὸ ἐπίνειον, καλούμενον καὶ ἐς ἡμᾶς ἔτι Νισαίαν, ἐς τοῦτο κατελθοῦσιν, ἱερὸν Δήμητρός ἐστι Μαλοφόρου· λέγεται δὲ καὶ ἄλλα ἐς τὴν ἐπίκλησιν, καὶ τοὺς πρώτους πρόβατα ἐν τῇ γῇ θρέψαντας Δήμητρα ὀνομάσαι Μαλοφόρον. καταρυῆναι [4]) δὲ τῷ ἱερῷ τὸν ὄροφον
5 τεκμαίροιτο ἄν τις ἀπὸ τοῦ χρόνου. Καὶ ἀκρόπολίς ἐστιν ἐνταῦθα, ὀνομαζομένη καὶ αὐτὴ Νισαία. καταβᾶσι δὲ ἐκ τῆς ἀκροπόλεως, μνῆμά ἐστι πρὸς θαλάσσῃ Λέλεγος, ὃν ἀφικόμενον βασιλεῦσαι λέγουσιν ἐξ Αἰγύπτου, παῖδα δὲ εἶναι Ποσειδῶνος καὶ Λιβύης τῆς Ἐπάφου. παρήκει δὲ παρὰ τὴν Νισαίαν νῆσος οὐ μεγάλη· Μίνως ἐνταῦθα ἐν τῷ πολέμῳ τῷ πρὸς Νῖ-
6 σον παρώρμει τὸ ναυτικὸν τῶν Κρητῶν. Ἡ δὲ ὀρεινὴ τῆς Μεγαρίδος τῆς Βοιωτῶν ἐστιν ὅμορος, ἐν ᾗ Μεγαρεῦσι Πηγαὶ πόλις, ἑτέρα δὲ Αἰγίσθαινα [5]) ὤκισαι. ἰοῦσι δὲ ἐς τὰς Πηγὰς ἐκτραπομένοις ὀλίγον τῆς λεωφόρου, πέτρα δείκνυται διὰ πάσης ἔχουσα ἐμπεπηγότας οἴστους, ἐς ἣν οἱ Μῆδοί ποτε ἐτόξευον ἐν τῇ
7 νυκτί [6]). Ἐν δὲ ταῖς Πηγαῖς θέας ὑπελίπετο ἄξιον Ἀρτέμιδος Σωτείρας ἐπίκλησιν χαλκοῦν ἄγαλμα, μεγέ-

3) Εἰλειθυίας] Uterque Cod. Εἰλιθυιῶν. Hom. Il A. v. 270. Εἰλείθυιαι Ἥρης θυγατέρες, ubi vid Schol Conf. Hesych. h. v. et ibi interpret. Mox pro ἐπιδείξειν παρέχετο Cod. Mosc. ἐπιδείξιν παρείχετο, quod posterius *Sylb.* conjecerat.

4) καταρυῆναι] Cod. Mosc. καταῤῥυῆναι.

5) Αἰγίσθαινα] Variat scriptura; paullo infra est ἐν Αἰγισθένοις, ubi Cod Vind. Αἰγοσθένοις. Stephanus habet Αἰγόσθενα et Pausaniam excitat. Vid. ibi Berkel.

6) οἱ Μῆδοι — νυκτί] De his vid. C. XL. Paullo post pro ὑπελίπετο Cod. Mosc. ὑπελείπετο.

μεγέθει τῷ παρὰ Μεγαρεῦσιν ἴσον, καὶ σχῆμα οὐδὲν διαφόρως ἔχον. καὶ Αἰγιαλέως ἐνταῦθά ἐστιν ἠρῷον τοῦ Ἀδράστου. τοῦτον γὰρ, ὅτε Ἀργεῖοι τὸ δεύτερον ἐς Θήβας ἐστράτευσαν, ὑπὸ τὴν πρώτην μάχην πρὸς Γλισᾶντι [7]) ἀποθανόντα οἱ προσηκοντες ἐς Πηγὰς τῆς Μεγαρίδος κομίσαντες θάπτουσι, καὶ Αἰγιάλειον ἔτι καλεῖται τὸ ἠρῷον. Ἐν Αἰγισθένοις δὲ Μελάμποδος [8]) τοῦ Ἀμυθάονός ἐστιν ἱερὸν, καὶ ἀνὴρ οὐ μέγας ἐπειργασμένος ἐν σήλῃ· καὶ θύουσι τῷ Μελάμποδι, καὶ ἀνὰ πᾶν ἔτος ἑορτὴν ἄγουσι. μανθάνεσθαι δὲ οὔτε δι' ὀνειράτων αὐτὸν, οὔτε ἄλλως λέγουσι. καὶ τόδε ἄλλο ἤκουσα ἐν Ἐρενείᾳ τῇ Μεγαρέων κώμῃ, Αὐτονόην τὴν Κάδμου τῷ τε Ἀκταίωνος θανάτῳ συμβάντι, ὡς λέγεται, καὶ τῇ πάσῃ τοῦ οἴκου τοῦ πατρῴου τύχῃ περισσότερον ἀλγοῦσαν ἐνταῦθα ἐκ Θηβῶν μετοικῆσαι· καὶ Αὐτονόης μνῆμά ἐστιν ἐν τῇ κώμῃ ταύτῃ. Ἰοῦσι δὲ ἐκ Μεγάρων εἰς 9
Κόρινθον, ἄλλοι τέ εἰσι τάφοι, καὶ αὐλητοῦ Σαμίου Τηλεφάνους· ποιῆσαι δὲ τὸν τάφον Κλεοπάτραν τὴν Φιλίππου τοῦ Ἀμύντου λέγουσι. καὶ Καρὸς τοῦ Φορωνέως μνῆμά ἐστι, τὸ μὲν ἐξ ἀρχῆς χῶμα γῆς, ὕστερον δὲ, τοῦ θεοῦ χρήσαντος, ἐκοσμήθη λίθῳ κογχίτῃ [9]). μόνοις δὲ Ἑλλήνων Μεγαρεῦσιν ὁ κογχίτης οὗτός ἐστι, καί σφισι καὶ ἐν τῇ πόλει πεποίηται πολλὰ ἐξ αὐτοῦ. Ἔστι δὲ ἄγαν λευκὸς, καὶ ἄλλου λίθου μαλακώτερος· κόγχοι

7) Γλισᾶντι] Urbs Boeotiae Γλισσὰς, sic enim a Stephano et ab Eustathio ad Il. β. scribitur.

8) Μελάμποδος] De hoc vid. Heyne V. C. ad Apollodor. p. 157. sq.

9) λίθῳ κογχίτῃ] Hesych. κογχίτης, εἶδος λίθου. Idem esse videtur cum lapide, qui κογχυλίας et κογχυλιάτης dicitur Polluci VII. s. 100., ubi vid. Interpr. Conf. Hesych. v. κογχυλίας.

κόγχοι δὲ αἱ θαλάσσιαι διὰ παντὸς ἔνεισίν οἱ. αὐτὸς μὲν τοιοῦτός ἐστιν ὁ λίθος. Τὴν δὲ ὀνομαζομένην ἀπὸ Σκίρωνος [10]) καὶ ἐς τόδε Σκιρώνην, ἡνίκα Μεγαρεῦσιν ἐπολεμάρχει, πρῶτος, ὡς λέγουσιν, ἐποίησεν ἀνδράσιν εὐζώνοις ὁδεύειν. Ἀδριανὸς δὲ ὁ βασιλεὺς καὶ οὕτως, ὡς καὶ ἅρματα ἐναντία ἐλαύνεσθαι [11]), καλέσηΙσεν εὐρυχωρῆ τε καὶ ἐπιτηδείαν εἶναι. Λόγοι δέ εἰσιν ἐς τὰς πέτρας, αἳ κατὰ τὸ στενὸν τῆς ὁδοῦ μάλιστα ἀνέχουσιν, ἐς μὲν τὴν Μολουρίδα [12]), ὡς ἀπὸ ταύτης αὐτὴν ἐς θάλασσαν Ἰνὼ ῥίψαι, Μελικέρτην ἔχουσα τῶν παίδων νεώτερον· τὸν γὰρ δὴ πρεσβύτερον αὐτῶν Λέαρχον ἀπέκτεινεν ὁ πατήρ. λέγεται μὲν δὴ καὶ μανέντα δρᾶσαι ταῦτα Ἀθάμαντα· λέγεται δὲ καὶ ὡς εἰς τὴν Ἰνὼ καὶ τοὺς ἐξ αὐτῆς παῖδας χρήσαιτο ἀκρατεῖ τῷ θυμῷ, τὸν συμβάντα Ὀρχομενίοις λοιμὸν [13]) καὶ τὸν δοκοῦντα Φρίξου θάνατον αἰσθόμενος, οὐ [14]) τὸ θεῖον αἴτιον ὂν γενέσθαι, βουλεῦσαι δὲ ἐπὶ τούτοις πᾶσιν Ἰνὼ μηχανᾶσθαι οὖσαν. τότε δὲ φεύγουσα ἐς θάλασσαν αὐτὴν καὶ τὸν παῖδα ἀπὸ τῆς πέτρας τῆς Μολουρίδος ἀφῆσιν. ἐξενεχθέντος δὲ ἐς τὸν Κορινθίων Ἰσθμὸν ὑπὸ δελφῖνος, ὡς λέγεται, τοῦ παιδός,

10) Σκίρωνος] De hoc Scirone diverso ab altero latrone vid. Heyne V. C. ad Apollod. p. 871. 872.

11) ὡς καὶ ἅρματα ἐναντία ἐλαύνεσθαι] Cod. uterque et Vind. et Mosc. ὡς καὶ ἂν ἅρματα ἐναντία ἐλαύνηται, quae bene ferri possunt.

12) Μολουρίδα] De hac petra vid. Hemsterh. ad Lucian. T. I. p. 307.

13) λοιμὸν] Cod. Vindob. I., *Amas.* et *Loescher.* dant λιμὸν, *famem.*

14) οὐ] Hoc rescripsi pro vulgata οὗ, ex Cod. Mosc. et Amasaei interpretatione, sententiae ratione ita suadente. Saepius οὗ et οὐ confusa sensum verborum turbarunt. Vid. not. ad L. II. C. 21.

δὸς, τιμαὶ καὶ ἄλλαι τῷ Μελικέρτῃ δίδονται μετοναμασθέντι Παλαίμονι, καὶ τῶν Ἰσθμίων ἐπ' αὐτῷ τὸν ἀγῶνα ἄγουσι [15]). Τὴν μὲν δὴ Μολουρίδα πέτραν 12
Λευκοθέας καὶ Παλαίμονος ἱερὰν ἤγηντο· τὰς δὲ μετὰ ταύτην νομίζουσιν εὐεργεῖς, ὅτι παροικῶν σφίσιν ὁ Σκίρων, ὁπόσοις τῶν ξένων ἐπετύγχανεν, ἠφίει σφᾶς ἐς τὴν θάλασσαν. χελώνη δὲ ὑπενήχετο ταῖς πέτραις, τοὺς ἐσβληθέντας ἀρπάζειν· εἰσὶ δὲ αἱ θαλάσσιαι, πλὴν μεγέθους καὶ ποδῶν, ὅμοιαι ταῖς χερσαίαις, πόδας δὲ ἐοικότας ἔχουσι ταῖς φώκαις. τούτων περιῆλθεν ἡ δίκη Σκίρωνα ἀφεθέντα ἐς θάλασσαν τὴν αὐτὴν ὑπὸ Θησέως. Ἐπὶ δὲ τοῦ ὄρους 13
τῇ ἄκρᾳ Διός ἐστιν Ἀφεσίου καλουμένου ναός. Φασὶ δὲ ἐπὶ τοῦ συμβάντος ποτὲ τοῖς Ἕλλησιν αὐχμοῦ, θύσαντος Αἰακοῦ κατά τι δὴ λόγιον τῷ Πανελληνίῳ Διὶ ἐν Αἰγίνῃ, κομίσαντα δὲ ἀφεῖναι [16]) καὶ διὰ τοῦτο Ἀφέσιον καλεῖσθαι τὸν Δία. ἐνταῦθα καὶ Ἀφροδίτης ἄγαλμα καὶ Ἀπόλλωνός ἐστι καὶ Πανός. Προσελθοῦσι [17]) δὲ ἐς τὸ πρόσω, μνῆμά ἐστιν Εὐρυ- 14
σθέως.

15) τῶν Ἰσθμίων — ἄγουσι] Idem legere licet L. II. C. 1. Conf. Olear. ad Philoſtr. vit. Apoll. III. 31. p. 122. 5.

16) κομίσαντα δὲ ἀφεῖναι] In his verbis explicandis incaſſum ſudavi et alſi. Nihil enim abſurdius eſſe poteſt interpretatione Kuhnii: *Aeacum hoſtiam caeſam in Aegina detuliſſe ad hujus montis cacumen, et inde abjeciſſe in mare.* Licet Codices collati nihil hic opis ferant, nec a vulgata diſcrepent, attamen perſuaſum habeo, verba κομίσαντα δὲ inveterato mendo corrupta et ſic ſananda ac reſtituenda eſſe: καὶ ὕσαντά τε ἀφεῖναι etc, *et Jovem pluendo eos a ſiccitate liberaſſe et hanc ob cauſam* Ἀφέσιον (Liberatorem) *vocari.* Eadem de Aeaco pluribus exhibet L. II. C. 29., et multi alii iſtas Aeaci preces memorant. Vid. Diodor. IV. f. 61., Apollodor. III. 12. 6., Iſocrat. Euagorae laud.

17) Προσελθοῦσι] Sylb. legendum conjicit προσελθοῦσι, ſicuti etiam Amaſ. interpretatur.

σθέως. Φεύγοντα δὲ ἐκ τῆς Ἀττικῆς μετὰ τὴν πρὸς Ἡρακλείδας μάχην ἐνταῦθα ἀποθανεῖν αὐτὸν ὑπὸ Ἰολάου λέγουσιν. ἐκ ταύτης τῆς ὁδοῦ καταβᾶσιν Ἀπόλλωνος ἱερόν ἐστι Λατῴου. καὶ μετὰ αὐτὸ Μεγαρεῦσιν ὅροι πρὸς τὴν Κορινθίαν, ἔνθα Ὕλλον τὸν Ἡρακλέους μονομαχῆσαι πρὸς τὸν Ἀρκάδα Ἔχεμον [18]) λέγουσιν.

18) Ἔχεμον] Hoc Xylander pro vitiose vulgato Ἐχεμο.α, quod et Cod. Vind. exhibet, recte restituit. De Echemo Tegeatarum rege ejusque cum Hyllo certamine vid. Diodor. IV. f. 58. Conf. Pausan. L. VIII. C. 5. et 45.

НБ ОНУ імені І.І.Мечникова

ΠΑΥΣΑΝΙΟΥ

ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΕΩΣ

ΚΟΡΙΝΘΙΑΚΑ.

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

CORINTHIACA SEU LIB. II.

CAPUT I.

De terrae Corinthiacae appellatione et originibus — incolis Corinthi — Achaeorum bello contra Romanos — Corintho a Mummio eversa et a Caesare restituta — Cromyone vico et memorandis in eo — Isthmo — Sini Pityocampte et Periphete — Isthmi perfodiendi conaminibus factis — certamine Neptuni cum Sole de Corintho — memorandis in Isthmo — templo Neptuni et signis in eo.

Ἡ δὲ Κορινθία χώρα, μοῖρα οὖσα τῆς Ἀργείας, ἀπὸ Κορίνθου τὸ ὄνομα ἔσχηκε. Διὸς δὲ εἶναι Κόρινθον οὐδένα οἶδα εἰπόντα πω σπουδῇ [1]), πλὴν Κορινθίων τῶν πολλῶν. Εὔμηλος [2]) δὲ ὁ Ἀμφιλύτου τῶν Βακχιαδῶν καλουμένων, ὃς καὶ τὰ ἔπη λέγεται ποιῆσαι, φησὶν ἐν τῇ Κορινθίᾳ συγγραφῇ, (εἰ δὴ Εὐμήλου γε ἡ συγγραφὴ) Ἐφύραν Ὠκεανοῦ θυγατέρα οἰκῆσαι πρῶτον ἐν τῇ γῇ ταύτῃ· Μαραθῶνα δὲ ὕστερον

1) Διὸς δὲ εἶναι Κόρινθον — σπουδῇ] Forte jocose tantum et proverbialiter, non serio illud dici significat, et alludit ad proverbium Διὸς ὁ Κόρινθος, de quo Erasm. Schmid. ad Pindari Nem. Od. VII. v. ult.

2) Εὔμηλος] Hunc poëtam ex antiquissimorum et cyclicorum numero aliquoties excitat Pausanias, vid. Indic Copiosius de eo agit Heyne V. C. ad Apollodor. p. 983. et Salmas. Exercit. p. 858. Mox pro τὰ ἔπη uterque Cod. ἔπη omisso τά.

ὕστερον τὸν Ἐπωπέως τοῦ Ἀλωέως τοῦ Ἡλίου, φεύγοντα ἀνομίαν καὶ ὕβριν τοῦ πατρὸς [3]), ἐς τὰ παραθαλάσσια μετοικῆσαι τῆς Ἀττικῆς· ἀποθανόντος δὲ Ἐπωπέως, ἀφικόμενον ἐς Πελοπόννησον, καὶ τὴν ἀρχὴν διανείμαντα τοῖς παισὶν, αὐτὸν ἐς τὴν Ἀττικὴν αὖθις ἀναχωρῆσαι· καὶ ἀπὸ μὲν Σικυῶνος τὴν Ἀσωπίαν, ἀπὸ δὲ Κορίνθου τὴν Ἐφυραίαν μετονομασθῆναι [4]).

2 Κόρινθον δὲ οἰκοῦσι Κορινθίων μὲν οὐδεὶς ἔτι τῶν ἀρχαίων, ἔποικοι δὲ ἀποκαλέντες ὑπὸ Ῥωμαίων· αἴτιον δὲ τὸ συνέδριον τὸ Ἀχαιῶν. συντελοῦντες γὰρ ἐς αὐτὸ καὶ Κορινθίοι [5]) μετέσχον τοῦ πολέμου τοῦ πρὸς Ῥωμαίους, ὃν Κριτόλαος στρατηγεῖν Ἀχαιῶν ἀποδειχθεὶς παρεσκεύασε γενέσθαι, τούς τε Ἀχαιοὺς ἀναπείσας ἀποστῆναι καὶ τῶν ἔξω Πελοποννήσου τοὺς πολλούς· Ῥωμαῖοι δὲ ὡς ἐκράτησαν τῷ πολέμῳ, παρείλοντο μὲν καὶ τῶν ἄλλων Ἑλλήνων τὰ ὅπλα, καὶ τείχη περιεῖλον, ὅσαι τετειχισμέναι πόλεις ἦσαν. Κόρινθον δὲ ἀνάστατον Μομμίου [6]) ποιήσαντος, τοῦ τότε ἡγουμένου τῶν ἐπὶ στρατόπεδον Ῥωμαίων, ὕστερον λέγουσιν ἀνοικίσαι Καίσαρα, ὃς πολιτείαν ἐν Ῥώμῃ πρῶτος

3) ἀνομίαν καὶ ὕβριν τοῦ π.] Vid. L. II. C. 6. ibique not. de Antiope.

4) ἀπὸ μὲν Σικυῶνος — μετονομασθῆναι] A Sicyone Asopiam regionem Sicyoniam vocatam esse, declarat, et Ephyraeam regionem Corinthiam a Corintho De Asopia, Sicyoniae parte, vid. Strab. L. VIII. p 586 587. L. IX. p. 627 Plures Ephyrae urbes fuere, vid. Stephan. et Strab. L. VIII. 520. ibique Berkel.

5) καὶ Κορίνθιοι] Uterque Cod. καὶ οἱ Κορίνθιοι.

6) Μομμίου] Antea mendose scriptum fuit Μιμμίου, uti etiam C. 2., ubi Cod. Vindob. dat Μομμίου, quae vera scriptura in reliquis Pausaniae locis reperitur; a Mummio enim Corinthum esse eversam ex historicis latinis satis constat. Pluribus de hoc bello et de Corinthi excidio agit Paus. L. VII. C. 14—16.

πρῶτος τὴν ἐφ' ἡμῶν κατεσήσατο· ἀνοικίσαι δὲ καὶ Καρχηδόνα ἐπὶ τῆς ἀρχῆς τῆς αὐτοῦ. Τῆς δὲ Κορινθίας ἐστὶ γῆς καὶ ὁ καλούμενος Κρωμύων [7]), ἀπὸ τοῦ Κρώμου τοῦ Ποσειδῶνος. ἐνταῦθα τραφῆναι λέγουσι καὶ τὸν λεγόμενον Θησέως Πιτυοκάμπτην, καὶ κατ' αὐτὸν τὸν τόπον ἐστὶν ἔργον· προϊοῦσι γὰρ ἡ πίτυς ἄχρι τε ἐμοῦ ἐπεφύκει παρὰ τὸν αἰγιαλόν. καὶ Μελικέρτου βωμὸς ἦν. ἐς τοῦτον τὸν τόπον ἐκκομισθῆναι τὸν παῖδα ὑπὸ δελφῖνος λέγουσι. κειμένῳ δὲ ἐπιτυχόντα Σίσυφον θάψαι τε ἐν τῷ Ἰσθμῷ, καὶ τὸν ἀγῶνα ἐπ' αὐτῷ ποιῆσαι τῶν Ἰσθμίων. 3

Ἔστι δὲ ἐπὶ τοῦ Ἰσθμοῦ τῆς ἀρχῆς, ἔνθα ὁ λῃστὴς Σίνις λαμβανόμενος πιτύων ἤγεν ἐς τὸ κάτω σφᾶς· ὁπόσων δὲ μάχῃ κρατήσειεν, ἀπ' αὐτῶν δήσας ἀφῆκεν ἂν τὰ δένδρα ἄνω φέρεσθαι· ἐνταῦθα ἑκατέρα τῶν πιτύων τὸν δεθέντα ἐπ' αὐτῇ εἶλκε, καὶ τοῦ δεσμοῦ μηδ' ἑτέρωσε εἴκοντος, ἀλλ' ἀμφοτέρωθεν ἐπίσης βιαζομένου διεσπᾶτο ὁ δεδεμένος. τοιούτῳ διεφθάρη τρόπῳ καὶ αὐτὸς ὑπὸ Θησέως ὁ Σίνις· ἐκάθηρε γὰρ Θησεὺς τῶν κακούργων τὴν ὁδὸν τὴν ἐς Ἀθήνας ἐκ Τροιζῆνος, οὕς τε πρότερον κατηρίθμησα [8]), ἀνελὼν, καὶ ἐν Ἐπιδαύρῳ τῇ ἱερᾷ Περιφήτην [9]) Ἡφαίστου νομιζόμενον, κορύνῃ χαλκῇ χρώμενον εἰς τὰς μάχας. 4

Καθήκει δὲ ὁ τῶν Κορινθίων Ἰσθμὸς τῇ μὲν ἐς τὴν ἐπὶ Κεγχρέας, τῇ δὲ ἐς τὴν ἐπὶ Λεχαίῳ [10]) θάλασσαν· 5

7) Κρωμύων] L. I. C. 27. est ἐν Κρομμυῶνι. Stephan. scribit Κρεμμύων, κώμη Κορίνθου, et Κρομμύων urbem Libyae esse dicit. Κρομμύων autem vera scriptura esse videtur; sic enim hoc nomen est in Strabone L. VIII p. 583., Thucyd. L. IV. f. 45., Plutarch. Thes. f. 9.

8) οὕς — κατηρίθμησα] Cercyonem L. I. C. 39., Scironem L. I. C. 44.

9) Περιφήτην] De hoc vid. Heyne V. C. ad Apollod. p. 896.

10) Κεγχρέας — Λεχαίῳ] Variat scriptura Κεγχρεῖαι et Κεγχρέαι, quae posterior in Strab.

τοῦτο γὰρ ἤπειρον ποιεῖ τὴν ἐντὸς χώραν. ὃς δὲ ἐπεχείρησε Πελοποννησον ἐργάσασθαι νῆσον, προαπέλιπε διορύσσων Ἰσθμόν· καὶ ὅθεν μὲν διορύσσειν ἤρξαντο, δῆλόν ἐστιν, ἐς δὲ τὸ πετρῶδες οὐ προεχώρησαν ἀρχήν [11]). μένει δὲ, ὡς ἐπεφύκει, καὶ νῦν ἤπειρος ὤν. Ἀλεξάνδρῳ τε τῷ Φιλίππου, διασκάψαι Μίμαντα ἐθελήσαντι, μόνον τοῦτο οὐ προεχώρησε τὸ ἔργον· Κνιδίους δὲ ἡ Πυθία τὸν Ἰσθμὸν ὀρύσσοντας ἔπαυσεν [12]). οὕτω χαλεπὸν ἀνθρώπῳ, τὰ θεῖα βιά-
6 σασθαι. Τὸ δὲ οὐ Κορινθίοις μόνον περὶ τῆς χώρας ἐστὶν εἰρημένον, ἀλλὰ, ἐμοὶ δοκεῖ, Ἀθηναῖοι πρῶτοι περὶ τῆς Ἀττικῆς ἐσεμνολόγησαν. λέγουσι δὲ καὶ οἱ Κορίνθιοι, Ποσειδῶνα ἐλθεῖν Ἡλίῳ περὶ τῆς γῆς ἐς ἀμφισβήτησιν· Βριάρεων [13]) δὲ διαλλακτὴν γενέσθαι σφίσιν, Ἰσθμὸν μὲν καὶ ὅσα ταύτῃ δικάσαντα εἶναι Ποσειδῶνος, τὴν δὲ ἄκραν Ἡλίῳ δόντα [14]) τὴν ὑπὲρ τῆς πόλεως. ἀπὸ μὲν τούτου λέγουσιν εἶναι τὸν
7 Ἰσθμὸν Ποσειδῶνος. Θέας δὲ αὐτόθι ἄξια ἔστι μὲν θέατρον, ἔστι δὲ σάδιον λιθου λευκοῦ. ἐλθόντι δὲ ἐς τοῦ θεοῦ τὸ ἱερὸν, τοῦτο μὲν ἀθλητῶν νικησάντων τὰ Ἴσθμια

Strab. et Steph. est. De Lechaeo mox C. 2.

11) προεχώρησαν ἀρχήν] Cod. Mosc. προεχώρησε ἀρχ. et Cod. Vind προεχώρησε ἔργον, quae verba paullo infra occurrunt, et inde huc delata esse videntur. Isthmum a Corinthiis perfossum memorat quoque Strabo L. I. p. 102. De Neronis et aliorum irrito Isthmum Corinth. perfodiendi conamine vid. Olear. ad Philostr. p. 162. 7.

12) Κνιδίους — ἔπαυσεν] Isthmus Cnidiorum, non Corinthi, intelligendus; de quo vid. Herodot. L. I. f. 174., qui etiam oraculum servavit.

13) Βριάρεων] De hoc Briareo vid. *Kuhn.* et *Perizon.* ad Aeliani V. H. L. V. C. 3.

14) δόντα] Hoc restitui ex Cod. Vind pro vulgata δόντος, orationis structura ita postulante.

Ἰσθμια ἑστήκασιν εἰκόνες, τοῦτο δὲ πιτύων δένδρα ἐστὶ πεφυτευμένα ἐπὶ τοίχου [15]) τὰ πολλὰ ἐς εὐθὺ αὐτῶν ἀνήκοντα. τῷ ναῷ δὲ ὄντι μέγεθος οὐ μείζονι ἐφεστήκασι Τρίτωνες χαλκοῖ. καὶ ἀγάλματά ἐστιν ἐν τῷ προναῴῳ, δύο μὲν Ποσειδῶνος, τρίτον δὲ Ἀμφιτρίτης, καὶ Θάλασσα [16]) καὶ αὕτη χαλκῆ. τὰ δὲ ἔνδον ἐφ' ἡμῶν ἀνέθηκεν Ἡρῴδης Ἀθηναῖος, ἵππους τέσσαρας ἐπιχρύσους πλὴν τῶν ὁπλῶν· ὁπλαὶ δέ σφισιν εἰσὶν ἐλέφαντος. καὶ Τρίτωνες δύο παρὰ τοὺς ἵππους εἰσὶ χρυσοῖ, τὰ μετ' ἰξὺν καὶ οὗτοι ἐλέφαντος· τῷ δὲ ἅρματι Ἀμφιτρίτη καὶ Ποσειδῶν ἐφεστήκασι. καὶ παῖς ὀρθός ἐστιν ἐπὶ δελφῖνος ὁ Παλαίμων· ἐλέφαντος δὲ καὶ χρυσοῦ καὶ οὗτοι πεποίηνται. τῷ βάθρῳ δὲ, ἐφ' οὗ τὸ ἅρμα, μέση μὲν ἐπείργασται Θάλασσα, ἀνέχουσα Ἀφροδίτην παῖδα· ἑκατέρωθεν δέ εἰσιν αἱ Νηρηίδες καλούμεναι. ταύταις καὶ ἑτέρωθι τῆς Ἑλλάδος βωμοὺς οἶδα ὄντας. τοὺς δὲ καὶ τεμένη σφίσιν ἀναθέντας ποιμαίνεσιν [17]), ἔνθα καὶ Ἀχιλλεῖ τιμαί.

15) τοίχου] Uterque Cod. ϛίχου cum ſuprafcripto οι, et paullo inferius pro χαλκοί Cod. Moſc. λευκοί.

16) Θάλασσα] Non maris undas aenea imagine expreſſas intelligendas eſſe, ſed perſonam maris attributis conſpicuam, veluti deam, ex ſequentibus liquere videtur, ubi Θάλασσα ἀνέχουσα Ἀφροδίτην παῖδα, et ſignum Γαλήνης ac Θαλάσσης.

17) ποιμαίνεσιν] Cod. uterque exhibet ποιμαίνισιν. Stephano Ποιμὴν eſt Ponticae regionis mons; ſed quid iſte ad Nereidas? Ex ſubſequenti ἔνθα patet, illa corrupta voce regionem vel locum indicari debere, in quo Nereides potiſſimum cultae fuerint. Quare in *Kuhnii* emendatione, donec potior proferatur, acquieſcendum puto, qui pro ποιμαίνεσιν ſcribendum eſſe ἐπὶ λιμέσι ingenioſe conjicit. Graecos enim Nereidibus et Achilli ad littora et portus fana lucosque ſtatuere ſolitos fuiſſe, admodum credibile eſt. Sic Pauſ L. III. C. 26. οὐ πόῤῥω τοῦ αἰγιαλοῦ τέμενος ἱερὸν τῶν Νηρέως θυγατέρων ἐστίν. conf.

Δωτοῖς δὲ ἐν Γαβάλοις [18]) ἱερόν ἐστιν ἄγιον, ἔνθα πέπλος ἔτι ἐλείπετο, ὃν Ἕλληνες Ἐριφύλην λέγουσιν
8 ἐπὶ τῷ παιδὶ λαβεῖν Ἀλκμαίωνι [19]). Τοῦ Ποσειδῶνος δέ εἰσιν ἐπειργασμένοι τῷ βάθρῳ καὶ οἱ Τυνδάρεω παῖδες, ὅτι δὴ σωτῆρες καὶ οὗτοι νεῶν καὶ ἀνθρώπων εἰσὶ ναυτιλλομένων. τὰ δὲ ἄλλα ἀνάκειται Γαλήνης ἄγαλμα [20]) καὶ Θαλάσσης, καὶ ἵππος εἰκασμένος κήτει τὰ μετὰ τὸ στέρνον, Ἰνώ τε καὶ Βελλεροφόντης, καὶ ὁ ἵππος ὁ Πήγασος.

conf Schol. ad Apollon. L. IV. v. 1217. L. III. C. 25. est λιμὴν Ἀχίλλειος; L. III. C. 19. insula Leuce Achilli sacra, et L. III. C. 24. Brasiis, quae urbs ad mare sita fuit, Achillis fanum. A Thetide vero Nerei filia istam Achillis necessitudinem cum Nereidibus repetendam esse, vix commemorare opus est.

18) Δωτοῖς δὲ ἐν Γαβάλοις] Scribendum esse Δωτεῖ, Canter. nov lect. L. VI. C. 1. praeclare conjecit. *Doto* Nereidis nomen est, quod Hesiod. Theog., Apollodor. in Nereidum catalogo p. 7. et Virg. exhibent. De *Gabalis*, oppidulo prope Laodiceam, vid Strab. XVI. p. 1093. et Steph.

19) πέπλος — Ἀλκμαίωνι] Ad bellum contra Thebas haec pertinent, ubi Eriphyle peplo corrupta Alcmaeonem filium sollicitasse ferebatur, ut contra Thebas pugnaret. Sic Apollodor. L. III. C. 6. p. 205. De *peplo* vid. Winkelm. *Storia delle arti etc.* T. I. p. 319. sq. et *Descript. etc.* p. 150. n. 845. et Spanheim ad Jul. Caes. p. 124.

20) ἄγαλμα] Uterque Cod. ἀγάλματα.

CAPUT

CAPUT II.

De templo Palaemonis — templo Cyclopum — ſepulcris Siſyphi et Nelei — Iſthmicis ludis — Cenchreis et Lechaeo, navalibus Corinthiorum — Helenae balneo — ſepulcris prope viam — Craneo et memorandis in eo — Laïde — memorandis in urbe Corintho — Pentheo.

Τοῦ περιβόλου δέ ἐστιν ἐντὸς Παλαίμονος ἐν ἀριστερᾷ ναός. ἀγάλματα δὲ ἐν αὐτῷ Ποσειδῶν καὶ Λευκοθέα καὶ αὐτὸς ὁ Παλαίμων. ἔστι δὲ καὶ ἄλλο ἄδυτον καλούμενον, κάθοδος δὲ ἐς αὐτὸ ὑπόγεως, ἔνθα δὴ τὸν Παλαίμονα κεκρύφθαι φασίν. ὃς δ' ἂν ἐνταῦθα ἢ Κορινθίων ἢ ξένος ἐπίορκα ὀμόσῃ, οὐδεμία ἐστὶ μηχανὴ διαφυγεῖν τοῦ ὅρκου. Καὶ δὴ ἱερόν ἐστιν 2
ἀρχαῖον Κυκλώπων καλούμενος βωμὸς, καὶ θύουσιν ἐπ' αὐτῷ Κύκλωψι. τάφους δὲ Σισύφου καὶ Νηλέως (καὶ γὰρ Νηλέα ἀφικόμενον ἐς Κόρινθον νόσῳ τελευτῆσαί φασι, καὶ περὶ τὸν Ἰσθμὸν ταφῆναι) οὐκ ἂν οὐδ' εἰ ζητοίη τις ἐπιλεξάμενος εὕροι τὰ Εὐμήλου. Νηλέως μὲν γὰρ οὐδὲ Νέστορι ἐπιδειχθῆναι τὸ μνῆμα ὑπὸ τοῦ Σισύφου φασί· χρῆναι γὰρ ἄγνωστον τοῖς πᾶσιν ὁμοίως εἶναι· Σίσυφον δὲ ταφῆναι μὲν ἐν τῷ Ἰσθμῷ, τὸν δέ οἱ τάφον καὶ τῶν ἐφ' ἑαυτοῦ Κορινθίων ὀλίγους εἶναι τοὺς εἰδότας. ὁ δὲ Ἰσθμικὸς ἀγὼν οὐδὲ ἀνασάντων [1]) ὑπὸ Μομμίου Κορινθίων ἐξέλιπεν, ἀλλ' ὅσον μὲν χρόνον ἠρήμωτο ἡ πόλις, Σικυωνίοις ἄγειν ἐπετέτραπτο τὰ Ἴσθμια· οἰκισθείσης δὲ αὖθις, εἰς τοὺς νῦν οἰκήτορας περιῆλθεν ἡ τιμή. Κορινθίοις δὲ τοῖς 3

1) ἀνασάντων] Cod. Moſc. ἀνασάτων.

ἐπινείοις τὰ ὀνόματα Λέχης καὶ Κεγχρίας [2]) ἔδοσαν, Ποσειδῶνος εἶναι καὶ Πειρήνης τῆς Ἀχελώου λεγόμενοι· πεποίηται δὲ ἐν Ἠοίαις μεγάλαις [3]), Οἰβάλου θυγατέρα εἶναι καὶ Πειρήνην. ἔστι δὲ ἐν Λεχαίῳ μὲν Ποσειδῶνος ἱερὸν καὶ ἄγαλμα χαλκοῦν· τὴν δὲ ἐς Κεγχρείας ἰόντων ἐξ Ἰσθμοῦ, ναὸς Ἀρτέμιδος καὶ ξόανον ἀρχαῖον. ἐν δὲ Κεγχρείαις Ἀφροδίτης τέ ἐστι ναὸς καὶ ἄγαλμα λίθου· μετὰ δὲ αὐτὸ ἐπὶ τῷ ῥεύματι τῷ διὰ τῆς θαλάσσης [4]) Ποσειδῶνος χαλκοῦν. κατὰ δὲ τὸ ἕτερον πέρας [5]) τοῦ λιμένος Ἀσκληπιοῦ καὶ Ἴσιδος ἱερά. Κεγχρειῶν δὲ ἀπ' ἀντικρὺ τὸ Ἑλένης ἐστὶ λουτρόν. ὕδωρ ἐς θάλασσαν ἐκ πέτρας ῥεῖ πολὺ καὶ ἁλμυρόν, ὕδατι ὅμοιον ἀρχομένῳ θερμαίνεσθαι.

4 Ἀνιοῦσι δὲ ἐς Κόρινθον, καὶ ἄλλα ἐστὶ κατὰ τὴν ὁδὸν μνήματα, καὶ πρὸς τῇ πύλῃ Διογένης τέθαπται ὁ Σινωπεύς, ὃν κύνα ἐπίκλησιν καλοῦσιν Ἕλληνες [6]).

πρὸ

2) Κεγχρίας] Cod. Vind. Κεγχρείας. L. II. C. 24. in fine est Κεγχρεώς. Sed Κεγχρίας vera scriptura esse videtur, et sic etiam C. 3. ab init. est.

3) Ἠοίαις μεγάλαις] Carmen, cujus auctor Hesiodus perhibebatur vid L. IX. C. 31. Plura de eo vid in not. ad Hesych. v. ἠοῖαι.

4) ἐπὶ τῷ ῥεύματι τῷ διὰ τῆς θαλάσσης] Mendum hic esse in ῥεύματι, res ipsa satis declarat. *Kuhn.* pro eo ζεύγματι vel διαζευγματι τῆς θαλάσσης scribendum conjicit, *in aggere, qui in mare excurrit.* Quod probandum sane esset, nisi a vulgatis litteris nimis discreparet, et, leviori mutatione adhibita, genuina lectio in promtu esset. Litterae scilicet ρε perperam sunt trajectae, et sic emendandum est: ἐπὶ τῷ ἐρύματι τῷ δ. τ. θ., *in margine*, h. e. *aggere* (muro), *qui in mare excurrit.* Ἔρυμα est *quodlibet, quod arcet, tuetur, margo erectior, murus, agger*, et sic h. l. *der Molo des Havens.* Similiter L. IV. C. 35. init. scopulus portum efficiens et fluctus frangens ἔρυμα dicitur.

5) πέρας] *Amas.* κέρας legisse videtur, vertens *in altero portus cornu.*

6) ὃν κύνα — Ἕλληνες] Vid. Diog. Laërt. VI. s. 55. 60.

πρὸ δὲ τῆς πόλεως κυπαρίσσων ἐστὶν ἄλσος ὀνομαζόμενον Κράνειον. ἐνταῦθα Βελλεροφόντου τέ ἐστι τέμενος, καὶ Ἀφροδίτης ναὸς Μελανίδος, καὶ τάφος Λαΐδος [7]), ᾧ δὴ λέαινα ἐπίθημά ἐστι κριὸν ἔχουσα ἐν τοῖς προτέροις ποσίν. ἔστι δὲ καὶ ἄλλο ἐν Θεσσαλίᾳ Λαΐδος φαμένων μνῆμα εἶναι· παρεγένετο [8]) γὰρ καὶ ἐς Θεσσαλίαν ἐρασθεῖσα Ἱπποστράτου. τὸ δὲ ἐξαρχῆς ἐξ Ὑκκάρων αὐτὴν τῶν ἐν Σικελίᾳ λέγεται παῖδα οὖσαν ὑπὸ Νικίου καὶ Ἀθηναίων ἁλῶναι· πραθεῖσαν δὲ ἐς Κόρινθον ὑπερβάλλεσθαι [9]) κάλλει τὰς τότε ἑταίρας, θαυμασθῆναί τε οὕτως παρὰ Κορινθίοις, ὡς ἀμφισβητεῖν σφᾶς καὶ νῦν ἔτι Λαΐδος.

Λόγου δὲ ἄξια ἐν τῇ πόλει τὰ μὲν λειπόμενα ἔτι τῶν ἀρχαίων ἐστίν· τὰ δὲ πολλὰ αὐτῶν ἐπὶ τῆς ἀκμῆς ἐποιήθη τῆς ὕστερον. ἔστιν οὖν ἐπὶ τῆς ἀγορᾶς (ἐνταῦθα γὰρ πλεῖστά ἐστι τῶν ἱερῶν) Ἀρτεμίς τε ἐπίκλησιν Ἐφεσία, καὶ Διονύσου ξόανα ἐπίχρυσα πλὴν τῶν προσώπων· τὰ δὲ πρόσωπα ἀλοιφῇ σφισιν ἐρυθρᾷ [10]) κεκό-

7) τάφος Λαΐδος etc.] Quae hic de Laïde ejusque sepulcris legimus, pluribus habet Athen. Deipn. L. XIII. p. 588. 589., qui ob Pausaniae Thessali amorem a Thessalis mulieribus occisam et ad Peneum sepultam esse refert; ibi etiam Veneris Melanidos sit mentio. Duas Laïdas, matrem et filiam, confusas esse, *Palmerius* demonstrat Exercit. p. 368. De rapaci et avaro Laïdis ingenio, quod forte isto sepulcri insigni significari videtur, vid. Aelian. V. H. L. XII. C. 5., L. XIV. C. 35.

8) παρεγένετο] Ex Cod. M. posui pro vulgata παραγένετο. *Sylb.* illud jam conjecerat.

9) ὑπερβάλλεσθαι] *Sylb.* haud temere mavult ὑπερβαλέσθαι.

10) ἀλοιφῇ — ἐρυθρᾷ] *Cinnabari* aut *minio*. Sic L. VII. C. 26. est Bacchus cinnabari oblitus, et L. VIII. C. 39 in fine. Conf. Plin H. N. L XXXIII. C. 7. init. et L. XXXV. C. 12. p. 711., nec non Virg. Eclog. X. v. 27.

κεκόσμηται. Λύσιον δὲ, τόνδε Βάκχειον ὀνομά-
6 ζουσι [11]). Τὰ δὲ λεγόμενα ἐς τὰ ξόανα καὶ ἐγὼ
γράφω. Πενθέα ὑβρίζοντα ἐς Διόνυσον καὶ ἄλλα
τολμᾶν λέγουσι, καὶ τελος ἐς τὸν Κιθαιρῶνα ἐλθεῖν
ἐπὶ κατασκοπῇ τῶν γυναικῶν· ἀναβάντα δὲ ἐς δέν-
δρον θεάσασθαι τὰ ποιούμενα· τὰς δὲ, ὡς ἐφώρα-
σαν, καθελκύσαι τε αὐτίκα Πενθέα, καὶ ζῶντος
ἀποσπᾶν ἄλλο ἄλλην τοῦ σώματος. Ὕστερον δὲ, ὡς
Κορίνθιοι λέγουσιν, ἡ Πυθία χρᾷ σφισιν ἀνευρόντας
τὸ δενδρον ἐκεῖνο ἴσα τῷ θεῷ σέβειν· καὶ ἀπ' αὐτοῦ
7 διὰ τόδε τὰς εἰκόνας πεποίηνται ταύτας. Ἔστι δὲ καὶ
Τύχης ναὸς, ἄγαλμα ὀρθὸν Παρίου λίθου. παρὰ
δὲ αὐτὸ [12]) θεοῖς πᾶσίν ἐστιν ἱερόν. πλησίον δὲ ᾠκο-
δόμηται κρήνη καὶ Ποσειδῶν ἐπ' αὐτῇ χαλκοῦς, καὶ
δελφὶς ὑπὸ τοῖς ποσὶν ἐστι τοῦ Ποσειδῶνος ἀφιεὶς ὕδωρ.
καὶ Ἀπόλλων ἐπίκλησιν Κλάριος χαλκοῦς. ἔστι καὶ
ἄγαλμα Ἀφροδίτης, Ἑρμογένους Κυθηρίου ποιήσαν-
τος. Ἑρμοῦ τέ ἐστιν ἀγάλματα χαλκοῦ μὲν καὶ ὀρ-
θὰ ἀμφότερα, τῷ δὲ ἑτέρῳ καὶ ναὸς πεποίηται. τὰ
δὲ τοῦ Διὸς καὶ ταῦτα ὄντα ἐν ὑπαίθρῳ, τὸ μὲν ἐπί-
κλησιν οὐκ εἶχε, τὸν δὲ αὐτῶν Χθόνιον, καὶ τὸν τρίτον
καλοῦσιν Ὕψιστον.

11) Λύσιον δὲ τόνδε Βάκχειον ὀνομάζουσι] Hic si nihil excidit, Pausaniam ambigua brevitate usum esse, non est infitiandum. Sed *Kuhn.* haud absurde emendari vult τὸν μὲν Λύσιον, τὸν δὲ Β. De utroque hoc Baccho a Sicyoniis culto agit C. 7., ubi est Βακχειον.

12) παρὰ δὲ αὐτὸ] Ad ναὸς, referendum est αὐτὸ, non ad ἄγαλμα. Quare mallem παρὰ δὲ αὐτόν.

CAPUT

CAPUT III.

De memorandis in urbe Corintho continuatio — Octaviae templo — Pirene fonte — aere Corinthio — balneis Corinthiorum et fontibus — Medeae liberorum sepulcro — Medea et Jasone, et primis Corinthi regibus.

Ἐν μέσῳ δὲ τῆς ἀγορᾶς ἐστιν Ἀθηνᾶ χαλκῆ· τῷ βάθρῳ δὲ αὐτῆς ἐστι Μουσῶν ἀγάλματα ἐπειργασμένα. ὑπὲρ δὲ τὴν ἀγοράν ἐστιν Ὀκταβίας ναὸς ἀδελφῆς Αὐγούστου βασιλεύσαντος Ῥωμαίων μετὰ Καίσαρα τὸν οἰκιστὴν Κορίνθου τῆς νῦν. Ἐκ δὲ τῆς ἀγορᾶς ἐξιόντων τὴν ἐπὶ Λέχαιον [1]) προπύλαιά ἐστι, καὶ ἐπ' αὐτῶν ἅρματα ἐπίχρυσα, τὸ μὲν Φαέθοντα Ἡλίου παῖδα, τὸ δὲ Ἥλιον αὐτὸν φέρον. ὀλίγον δὲ ἀπωτέρω τῶν προπυλαίων εἰσιοῦσιν ἐν δεξιᾷ ἐστιν Ἡρακλῆς χαλκοῦς. Μετὰ δὲ αὐτὸν [2]) ἔσοδός ἐστι τῆς Πειρήνης ἐς τὸ ὕδωρ. ἐπὶ δὲ αὐτῇ λέγουσιν, ὡς ἡ Πειρήνη γένοιτο ὑπὸ δακρύων ἐξ ἀνθρώπου πηγή, τὸν παῖδα ὀδυρομένη Κεγχρίαν ὑπὸ Ἀρτέμιδος ἀκούσης ἀποθανόντα. κεκόσμηται δὲ ἡ πηγὴ λίθῳ λευκῷ, καὶ πεποιημένα ἐστὶν οἰκήματα σπηλαίοις κατὰ ταυτὰ, ἐξ ὧν τὸ ὕδωρ ἐς κρήνην ὕπαιθρον ῥεῖ, πιεῖν τε ἡδύ, καὶ τὸν Κορίνθιον χαλκὸν διάπυρον καὶ θερμὸν ὄντα ὑπὸ ὕδατος τούτου βάπτεσθαι [3]) λέγουσιν· ἐπεὶ χαλκός γε οὐκ

1) τὴν ἐπὶ Λέχαιον] Cod. V. et Mosc. τὴν ἐπὶ Λεχαίου.

2) μετὰ δὲ αὐτὸν] Ex utroque Cod Vind. et Mosc hanc lectionem restitui pro vulgata μετὰ τὸ αὐτό.

3) βάπτεσθαι] Noli vertere *immergi*, uti *Amas.* habet, sed *tingi*, scil. aeris colore; quare Corinthiis aes nativum non esse addit Similis ferri tinctura apud Gallaecos memoratur a Justino

οὐκ ἔστι Κορινθίοις. ἔστι γε δὴ καὶ Ἀπόλλωνος ἄγαλμα πρὸς τῇ Πειρήνῃ, καὶ περίβολός ἐστιν· ἐν δὲ αὐτῷ γραφὴ τὸ τοῦ Ὀδυσσέως [4]) ἐς τοὺς μνηστῆρας ἔχουσα τόλμημα. Αὖθις δ' ἰοῦσιν ἐπὶ Λεχαίου τὴν εὐθείαν, χαλκοῦς καθήμενός ἐστιν Ἑρμῆς, παρέστηκε δέ οἱ κριός· ὅτι Ἑρμῆς μάλιστα δοκεῖ θεῶν ἐφορᾶν καὶ αὔξειν ποίμνας, καθὰ δὴ καὶ Ὅμηρος ἐν Ἰλιάδι [5]) ἐποίησεν·

Υἱὸν Φόρβαντος πολυμήλου, τόν ῥα μάλιστα
Ἑρμείας Τρώων ἐφίλει, καὶ κτῆσιν ὄπασσε.

τὸν δὲ ἐν τελετῇ Μητρὸς ἐπὶ Ἑρμῇ λεγόμενον καὶ τῷ κριῷ λόγον ἐπιτάμενος, οὐ λέγω. μετὰ δὲ τὸ ἄγαλμα τοῦ Ἑρμοῦ Ποσειδῶν καὶ Λευκοθέα καὶ ἐπὶ δελφῖνός ἐστιν ὁ Παλαίμων. Λουτρὰ δὲ ἔστι μὲν πολλαχοῦ Κορινθίοις καὶ ἄλλα, τὰ μὲν ἀπὸ τοῦ κοινοῦ, τὸ δὲ βασιλέως Ἀδριανοῦ κατασκευάσαντος· τὸ δὲ ὀνομαστότατον αὐτῶν πλησίον τοῦ Ποσειδῶνος. τοῦτο δὲ Εὐρυκλῆς ἐποίησεν ἀνὴρ Σπαρτιάτης, λίθοις κοσμήσας καὶ ἄλλοις, καὶ ὧν ἐν Κρόκαις [6]) χώρας τῆς Λακωνικῆς ὀρύσσουσιν. ἐν ἀριστερᾷ δὲ τῆς εἰσόδου Ποσειδῶν, καὶ μετ' αὐτὸν Ἄρτεμις θηρεύουσα ἕστηκε. Κρῆναι δὲ πολλαὶ μὲν ἀνὰ τὴν πόλιν πεποίηνται πᾶσαν, ἄτε ἀφθόνου ῥέοντος σφισιν ὕδατος· καὶ ὁ δὴ βασιλεὺς Ἀδρια-

Justino Hist. L XLIV. C 3. in fine. De aeris Corinthii origine et natura vid. Plin. H. N. L XXXIV C. 11. f 3. p. 640. Mox γε post καλκός in utroque Codice deest.

4) τὸ τοῦ Ὀδυσσέως] τοῦ in utroque Cod non est et paullo infra pro ἐπὶ Λιχαίου in Cod. Vind. ἐπὶ Λεχαῖον. De re ipsa vid. Odyss. X.

5) ἐν Ἰλιάδι] Ξ. v. 490. Narrationem de Mercurio et ariete, quam hic silere velle dicit Pausanias, vide in Clementis Alex. Protrept.

6) Κρόκαις] Scribendum est Κροκέαις, uti L. III C. 21. legitur et apud Stephanum.

Ἀδριανὸς ἐσήγαγεν ἐκ Στυμφήλου [7]). Θέας δὲ μάλιστα ἄξια παρὰ τὸ ἄγαλμα τὸ τῆς Ἀρτέμιδος, καὶ ὁ Βελλεροφόντης ἔπεστι, καὶ τὸ ὕδωρ ὃ [8]) δι' ὁπλῆς ἵππου ῥεῖ τοῦ Πηγάσου. ἑτέραν δὲ ἐκ τῆς ἀγορᾶς τὴν ἐπὶ Σικυῶνα ἐρχομένοις ἐστὶν ἰδεῖν δεξιᾷ [9]) τῆς ὁδοῦ ναὸς καὶ ἄγαλμα χαλκοῦν Ἀπόλλωνος· καὶ ὀλίγον ἀπωτέρω κρήνη καλουμένη Γλαύκης· ἐς γὰρ ταύτην ἔρριψεν αὐτὴν (ὡς λέγουσι) τῶν Μηδείας ἔσεσθαι φαρμάκων τὸ ὕδωρ νομίζουσα ἴαμα [10]). Ὑπὲρ ταύτην 6
πεποίηται τὴν κρήνην καὶ τὸ καλούμενον Ὠιδεῖον. παρὰ δὲ αὐτὸ μνῆμά ἐστι τοῖς Μηδείας παισὶν, ὧν ὀνόματα μέν σφισι Μέρμερος καὶ Φέρης, καταλιθωθῆναι δὲ ὑπὸ Κορινθίων λέγονται τῶν δώρων εἵνεκα, ὧν τῇ Γλαύκῃ κόμισαι φασὶν αὐτούς· ἅτε δὲ τοῦ θανάτου βιαίου καὶ οὐ σὺν τῷ δικαίῳ γενομένου, τὰ τέκνα Κορινθίων τὰ νήπια ὑπ' αὐτῶν ἐφθείρετο [11]), πρὶν ἢ, χρήσαντος τοῦ θεοῦ, θυσίαι τε αὐτῶν ἐπέτειοι κατέστησαν, καὶ Δεῖμα ἐπεστάθη [12]). τοῦτο μὲν δὴ καὶ ἐς ἡμᾶς ἔτι λείπε-

7) Στυμφήλου] Ex utroque Codice pro vulgata Στεμφυλου reſcripſi, ſuffragante Pauſania L. VIII. C. 4. et 22., Stephano et Strabone. Plura de Stymphalo vid. L. VIII. C. 22. et in ſchol. ad Apollon. L. II. v. 1055.

8) ὃ] Sententiam turbat haec vocula et ſine dubio eſt delenda.

9) ἰδεῖν δεξιᾷ] Scribendum ἰδεῖν ἐν δεξιᾷ. Mox pro ναὸς Cod. Vind. bene exhibet ναόν.

10) Γλαυκης — ἴαμα] Glauce Creontis, regis Corinthi, filia, de cujus dira morte vid Diodor. L. IV. ſ. 54. et Apollodor. L. I. C. 9. p. 74. ibique not. Heynii V. C. Conf. Palmer. exercit. p. 369. 370.

11) τὰ τέκνα κ. — ὑπ' αὐτῶν ἐφθείρετο] Non ab iis, ſed *ob illos* Medeae pueros lapidatos interemti ſunt. De uſu praepoſitionis ὑπὸ cauſam denotantis vid. Olear. ad Philoſtrat. p. 745. 23.

12) θυσίαι τε αὐτῶν — Δεῖμα ἐπεστάθη] Pro αὐτῶν Cod Vind. et Moſc. bene dant αὐτοῖς, uti paullo inferius eſt. Notanda hic Δείματος imago muliebri habitu expreſſa.

λείπεται γυναικὸς ἐς τὸ φοβερώτερον εἰκὼν πεποιημένη. Κορίνθου δὲ ἀνασάτου γενομένης ὑπὸ Ῥωμαίων, καὶ Κορινθίων τῶν ἀρχαίων ἀπολομένων [13]), οὐκέτι ἐκεῖναι καθεζήκασιν αὐτοῖς αἱ θυσίαι παρὰ τῶν ἐποίκων, οὐδὲ ἀποκείρονται σφισιν οἱ παῖδες, οὐδὲ μέλαιναν
7 φοροῦσιν ἐσθῆτα. Μήδεια δὲ τότε μὲν ἐλθοῦσα ἐς Ἀθήνας συνώκησεν Αἰγεῖ· χρόνῳ δὲ ὕστερον φωραθεῖσα ἐπιβουλεύειν Θησεῖ καὶ ἐξ Ἀθηνῶν ἔφυγε. παραγενομένη δὲ ἐς τὴν λεγομένην τότε Ἀρίαν τοῖς ἀνθρώποις ἔδωκε τὸ ὄνομα καλεῖσθαι Μήδους ἀπ' αὐτῆς [14]). τὸν δὲ παῖδα, ὃν ἐπήγετο φεύγουσα ἐς τοὺς Ἀρίους, γενέσθαι λέγουσιν ἐξ Αἰγέως, ὄνομα δέ οἱ Μῆδον εἶναι. Ἑλλάνικος [15]) δὲ αὐτὸν Πολύξενον καλεῖ, καὶ πατρὸς Ἰάσονός φησιν εἶναι. Ἔπη δέ ἐστιν ἐν Ἕλλησι Ναυπάκτια ὀνομαζόμενα [16])· πεποίηται δὲ ἐν αὐτοῖς, Ἰάσονα ἐξ Ἰωλκοῦ μετὰ τὸν Πελίου θάνατον ἐς Κορκύραν [17]) μετοικῆσαι, καί οἱ Μέρμερον μὲν τὸν πρεσβύτερον τῶν παίδων ὑπὸ λεαίνης διαφθαρῆναι, θηρεύοντα ἐν τῇ πέραν ἠπείρῳ· Φέρητι δὲ οὐδέν ἐστιν ἐς μνήμην προσκείμενον. Κιναίθων δὲ ὁ Λακεδαιμόνιος (ἐγενεαλόγησε γὰρ καὶ οὗτος ἔπεσι) Μῆδον καὶ

13) ἀπολομένων] Uterque Cod. ἀπολουμένων.

14) καλεῖσθαι Μήδους ἀπ' αὐτ.] Vid. Herodot. L. VII. f. 62. et Steph. v. Μηδία.

15) Ἑλλάνικος] Lesbius, qui ante Herodotum vixit et praeter alia in Athenaeo et scholiis veterum saepius laudata ἱστορίας scripsit, Athen X. p. 410. f.; ad quas Pausanias hic respicere videtur. De eo vid. Heyne V. C. ad Apollodor. p. 237.

16) Ναυπάκτια ὀνομαζόμενα] De his carminibus copiose et docte egit Heyne V. C. ad Apollodor. p. 988. 989. Conf. Pausan. L. X. C. 38. in fine.

17) Κορκύραν] Variat scriptura, apud Strab. et alios est Κέρκυρα.

καὶ θυγατέρα Ἐριῶπιν [18]) Ἰάσονος εἶπεν ἐκ Μηδείας γενέσθαι· πέρας δὲ ἐς τοὺς παῖδας οὐδὲ τούτῳ πεποιημένα ἐστίν. Εὔμηλος δὲ Ἥλιον ἔφη δοῦναι τὴν χώραν Ἀλωεῖ μὲν τὴν Ἀσωπίαν, Αἰήτῃ δὲ τὴν Ἐφυραίαν [19]) · καὶ Αἰήτην ἀπιόντα ἐς Κόλχους παρακαταθέσθαι Βούνῳ τὴν γῆν· Βοῦνον δὲ Ἑρμοῦ καὶ Ἀλκιδαμείας εἶναι, καὶ ἐπεὶ Βοῦνος ἐτελεύτησεν, οὕτως Ἐπωπέα τὸν Ἀλωέως καὶ τὴν Ἐφυραίων σχεῖν ἀρχήν· Κορίνθου δὲ ὕστερον τοῦ Μαραθῶνος, οὐδένα ὑπολειπομένου παῖδα, τοὺς Κορινθίους Μήδειαν μεταπεμψαμένους ἐξ Ἰωλκοῦ παραδοῦναί οἱ τὴν ἀρχήν· βασιλεύειν μὲν δὴ δι' αὐτὴν Ἰάσονα ἐν Κορίνθῳ, Μηδείᾳ δὲ παῖδας μὲν γίγνεσθαι, τὸ δὲ ἀεὶ γινόμενον [20]) κατακρύπτειν αὐτὸ εἰς τὸ ἱερὸν φέρουσαν τῆς Ἥρας· κατακρύπτειν δὲ ἀθανάτους ἔσεσθαι νομίζουσαν· τέλος δὲ αὐτήν τε μαθεῖν, ὡς ἡμαρτήκοι τῆς ἐλπίδος, καὶ ἅμα ὑπὸ τοῦ Ἰάσονος φωραθεῖσαν, (οὐ γὰρ αὐτὸν ἔχειν δεομένῃ συγγνώμην ἀποπλέοντα ἐς [21]) Ἰωλκὸν οἴχεσθαι) τούτων δὲ εἵνεκα ἀπελθεῖν καὶ Μήδειαν παραδοῦσαν Σισύφῳ τὴν ἀρχήν. τάδε μὲν οὕτως ἔχοντα ἐπεξελεξάμην. 8

18) Ἐριῶπιν] Uterque Codex habet Ἐριώπην. Paullo inferius pro πέρας δὲ *Kuhn.* mavult πέρα δέ.

19) Εὔμηλος — Ἐφυραίαν] Eumeli hac de re versus servasse videtur scholiast. ad Lycophron. v. 174.

20) γινόμενον] Cod. Mosc. τικτόμενον.

21) ἀποπλέοντα ἐς etc.] Mallem cum *Sylb.* ἀποπλέοντα δ' ἐς.

CAPUT

CAPUT IV.

De templo Minervae Chalinitidis — Bellerophonte — Sisyphi posteris Corinthi regibus — Bacchiadis Corinthi regnum obtinentibus et a Cypselo expulsis — Cypseli stirpe — Daedali artis operibus — templo Jovis Capitolini seu Coryphaei — fonte Lerna ac templis et signis prope illum — templis et signis in via ad Corinthi arcem.

Τοῦ μνήματος δέ ἐστιν οὐ πόρρω Χαλινίτιδος Ἀθηνᾶς ἱερόν. Ἀθηνᾶν γὰρ θεῶν μάλιστα συγκατεργάσασθαι τά τε ἄλλα Βελλεροφόντῃ φασὶ, καὶ ὡς τὸν Πήγασόν οἱ παραδοίη, χειρωσαμένη τε καὶ ἐνθεῖσα αὐτὴ τῷ ἵππῳ χαλινόν. Τὸ δὲ ἄγαλμα τοῦτο [1]) ξόανόν ἐστι, πρόσωπόν τε καὶ χεῖρες καὶ ἀκρόποδές εἰσι λευκοῦ λίθου. Βελλεροφόντην δὲ οὐκ αὐτοκράτορα 2
ὄντα βασιλεύειν, εἶναι δὲ ἐπὶ Προίτῳ καὶ Ἀργείοις ἐγώ τε πείθομαι, καὶ ὅσις τὰ Ὁμήρου [2]) μὴ πάρεργον ἐξελέξατο. Φαίνονται δὲ καὶ Βελλεροφόντου μετοικήσαντος ἐς Λυκίαν οὐδὲν ἧσσον οἱ Κορίνθιοι τῶν ἐν Ἄργει δυνατῶν [3]) ἢ Μυκήναις ὑπακούοντες· ἰδίᾳ τε οὐδένα παρέσχοντο ἄρχοντα τῆς ἐπὶ Τροίαν στρατιᾶς, συντεταγμένοι δὲ Μυκηναίοις καὶ ὅσων ἄλλων 3
Ἀγαμέμνων ἡγεῖτο, μετέσχον τοῦ στόλου. Σισύφῳ δὲ οὗτοι Γλαῦκος μόνον ὁ Βελλεροφόντου πατὴρ, ἀλλὰ καὶ ἕτερος υἱὸς ἐγένετο Ὀρνυτίων, ἐπὶ δὲ αὐτῷ Θέρσανδρός τε καὶ Ἅλμος. Ὀρνυτίωνος δὲ ἦν Φῶκος, Ποσειδῶνος δὲ ἐπίκλησιν. καὶ ὁ μὲν ἀπῴκησεν ἐπὶ Θυραίαν [4]) τῆς νῦν καλουμένης Φωκίδος, Θόας δὲ Ὀρνυτίω-

1) ἄγαλμα τοῦτο] Cod Vind. ἄγαλμά οἱ τοῦτο.
2) τὰ Ὁμήρου] Il. Z. v. 155. sq.
3) δυνατῶν] Uterque Cod. δυναστῶν.
4) Θυραίαν] *Sylb.* Τιθορέαν scri-

ψυτίωνος υἱὸς νεώτερος κατέμεινεν ἐν τῇ Κορίνθῳ. Θόαντος δὲ Δαμοφῶν· Δαμοφῶντος δὲ ἦν Προπόδας· Προπόδα δὲ Δωρίδας καὶ Ὑανθίδας. τούτων βασιλευόντων, Δωριεῖς στρατεύουσιν ἐπὶ Κόρινθον· ἡγεῖτο δὲ Ἀλήτης Ἱππότου τοῦ Φύλαντος τοῦ Ἀντιόχου τοῦ Ἡρακλέους. Δωρίδας μὲν οὖν καὶ Ὑανθίδας παραδόντες τὴν βασιλείαν Ἀλήτῃ καταμένουσιν αὐτοῦ· τῶν δὲ Κορινθίων ὁ δῆμος ἐξέπεσεν, ὑπὸ Δωριέων κρατηθεὶς μάχῃ. Ἀλήτης δὲ [5]) αὐτός τε καὶ οἱ ἀπόγονοι βασιλεύουσιν ἐς μὲν Βάκχιν τὸν Προύμνιδος ἐπὶ γενεας πέντε. Ἀπὸ 4
τούτου δὲ οἱ Βακχιάδαι [6]) καλούμενοι πέντε ἄλλας γενεὰς ἐς Τελεστὴν τὸν Ἀριστοδήμου. καὶ Τελεστὴν μὲν κατὰ ἔχθος Ἀριεὺς καὶ Περάντας κτείνουσιν· βασιλεὺς δὲ οὐδεὶς ἔτι ἐγένετο, πρυτάνεις δὲ ἐκ Βακχιαδῶν ἐνιαυτὸν ἄρχοντες, ἐς ὃ Κύψελος τυραννήσας ὁ Ἠετίωνος ἐξέβαλε τοὺς Βακχιάδας· ἀπόγονος δὲ ἦν ὁ Κύψελος Μέλανος τοῦ Ἀντάσου. Μέλανα δὲ ἐκ Γονεούσης [7]) τῆς ὑπὲρ Σικυῶνος στρατεύοντα σὺν Δωριεῦσιν ἐπὶ Κόρινθον Ἀλήτης τὸ μὲν παραυτίκα, ἀπειπόντος

scribendum esse bene conjicit. In hac enim Phocidis urbe Phoci et Antiopes sepulcrum fuit, Pausan. L. IX. C. 17., L. X. C. 32. In Stephan. Τιθορεία est Boeotiae urbs.

5) Ἀλήτης δὲ etc.] De his vid. Diodor. fragm. VI. p. 635. T. II.

6) Βακχιάδαι] Uterque Cod. Βακχίδαι, uti et Aldina. Eadem scriptura in Diodoro est l. c, ubi vid Wesseling et Sylb. ad Paus. L. V. C. 17. In schol. ad Apollon. L. IV. v. 1212 Bacchiadae posteri sunt Bacchii, filii Bacchi, et cur a Corinthiis ejecti fuerint, causa adfertur, nulla Cypseli mentione facta. Conf. Herodot. L. V. s. 3. sq. Mox Telestae pater Aristodemus Diodoro dicitur Aristomedes.

7) Γονεούσης] Cod. Vind. Γονούσης, quod etiam est L. V. C. 18. in fine: Γονούσης τῆς Σικυῶνος. Homer. Il. B. v. 573. Γονόεσσα.

πόντος τοῦ θεοῦ[8]), παρ' ἄλλους τῶν Ἑλλήνων ἐκέλευσεν ἀποχωρεῖν, ὕστερον δὲ ἀμαρτὼν τοῦ χρησμοῦ δέχεται σύνοικον. τοιαῦτα μὲν ἐς τοὺς Κορινθίων βασι-
5 λέας συμβάντα εὕρισκον. Τὸ δὲ ἱερὸν τῆς Ἀθηνᾶς τῆς Χαλινίτιδος πρὸς τῷ θεάτρῳ σφίσιν ἐστίν. Καὶ πλησίον ξόανον γυμνὸν Ἡρακλέους· Δαιδάλου δὲ αὐτό φασιν εἶναι τέχνην. Δαίδαλος δὲ ὁπόσα εἰργάσατο, ἀποπώτερα μέν ἐστιν ἐς τὴν ὄψιν, ἐπιπρέπει δὲ ὅμως τι καὶ ἔνθεον τούτοις. ὑπὲρ δὲ τὸ θέατρόν ἐ-
6 στιν ἱερὸν Διὸς Καπετωλίου Φωνῇ τῇ Ῥωμαίων· κατὰ ἑλλάδα δὲ γλῶσσαν Κορυφαῖος ὀνομάζοιτ' ἄν. Τοῦ θεάτρου δέ ἐστι τοῦδε πόρρω γυμνάσιον τὸ ἀρχαῖον, καὶ πηγὴ καλουμένη Λέρνα· κίονες δὲ ἑστήκασι περὶ αὐτὴν, καὶ καθέδραι πεποίηνται τοὺς εἰσελθόντας ἀναψύχειν ὥρᾳ θέρους. πρὸς τούτῳ τῷ γυμνασίῳ ναοὶ θεῶν εἰσιν, ὁ μὲν Διὸς, ὁ δὲ Ἀσκληπιοῦ. τὰ δὲ ἀγάλματα, Ἀσκληπιὸς μὲν καὶ Ὑγεία λευκοῦ λίθου, τὸ δὲ τοῦ Διὸς χαλκοῦν ἐστιν.

7 Ἀνιοῦσι δὲ εἰς τὸν Ἀκροκόρινθον (ἡ δέ ἐστιν ὄρους ὑπὲρ τὴν πόλιν κορυφὴ, Βριάρεω μὲν Ἡλίῳ δόντος αὐτὴν, ὅτε ἐδίκαζεν, Ἡλίου δὲ, ὡς οἱ Κορίνθιοί φασιν, Ἀφροδίτῃ παρέντος) ἐς δὴ τὸν Ἀκροκόρινθον τοῦτον ἀνιοῦσίν ἐστιν Ἴσιδος τεμένη· ὧν τὴν μὲν Πελαγίαν, τὴν δὲ Αἰγυπτίαν αὐτῶν ἐπονομάζουσιν. καὶ δύο Σαράπιδος, ἐν Κανώβῳ καλουμένου τὸ ἕτερον. Μετὰ δὲ

8)-ἀπειπόντος τ. 9.] *Kuhn.* nulla neceſſitate urgente ἀνειπόντος ſcribendum cenſet, *deo oraculo monente.* Sententia enim: *oraculum, Melana recipere, vetare viſum eſſe Aletae, poſtea vero eum ab illius vero ſenſu aberraſſe intellexiſſe etc.* Quae interpretario firmatur L. V. C. 18. in fine, ubi eadem habes.

δὲ αὐτὰ Ἡλίῳ πεποίηνται βωμοὶ, καὶ Ἀνάγκης καὶ Βίας ἐστὶν ἱερόν· ἐσιέναι δὲ ἐς αὐτὸ οὐ νομίζουσιν. ὑπὲρ τοῦτο μητρὸς θεῶν ναός ἐστι, καὶ στήλη καὶ θρόνος· λίθων καὶ ἡ στήλη [9]) καὶ ὁ θρόνος. Ὁ δὲ τῶν Μοιρῶν καὶ Δήμητρος καὶ Κόρης οὐ φανερὰ ἔχουσι τὰ ἀγάλματα. Ταύτῃ καὶ τὸ τῆς Βουναίας ἐστὶν Ἥρας ἱερὸν, ἱδρυσαμένου Βούνου τοῦ Ἑρμοῦ· καὶ δι' αὐτὸ ἡ θεὸς καλεῖται Βουναία. Ἀνελθοῦσι δὲ ἐς τὸν Ἀκροκόρινθον, ναός ἐστιν ΑΦροδίτης· ἀγάλματα δὲ αὐτή τε ὡπλισμένη, καὶ Ἥλιος, καὶ Ἔρως ἔχων τόξον.

CAPUT V.

De Sisyphi indicio de Aegina a Jove rapta et illius poena apud inferos — Asopo fluvio ejusque progenie — Maeandro, Inopo, Nilo fluviis — Tenea urbe — templo Apollinis incenso — Sicyonia terra — Aegialeo ejusque posteris, Aegialeae imperium obtinentibus.

Τὴν δὲ πηγὴν, ἥ ἐστιν ὄπισθε τοῦ ναοῦ, δῶρον μὲν Ἀσωποῦ λέγουσιν εἶναι, δοθῆναι δὲ Σισύφῳ· τοῦτον γὰρ εἰδότα, ὡς εἴη Ζεὺς ἁρπακὼς Αἴγιναν θυγατέρα Ἀσωποῦ, μὴ πρότερον φάναι ζητοῦντι μηνύσειν, πρὶν ἢ οἱ καὶ ἐν Ἀκροκορίνθῳ γένοιτο ὕδωρ. δόντος δὲ Ἀσωποῦ, μηνύει τε οὗτος, καὶ ἀντὶ τοῦ μηνύματος δίκην (ὅτῳ πιστὰ) ἐν ᾅδου δίδωσιν. ἠκουσα δὲ ἤδη τὴν Πειρήνην Φαμένων εἶναι [1]) ταύτην, καὶ τὸ ὕδωρ αὐτόθεν ὑπορρεῖν ἐν τῇ πόλει. Ὁ δὲ Ἀσωπὸς οὗτος ἄρ- 2

9) ἡ στήλη] Cod. Mosc. pro his habet αὐτή.

1) τὴν Πειρήνην Φαμένων εἶναι etc.] Ex his Strabo est, quem vid. L. VIII. p. 582.

χεται μὲν ἐκ τῆς Φλιασίας, ῥεῖ δὲ διὰ τῆς Σικυωνίας, καὶ ἐκδίδωσιν ἐς τὴν ταύτης θάλασσαν [2]). Θυγατέρας δὲ αὐτοῦ γενέσθαι Φλιάσιοί φασι Κόρκυραν, καὶ Αἴγιναν, καὶ Θήβην· ἀπὸ μὲν δὴ Κορκύρας καὶ Αἰγίνης τὰς νήσους, Σχερίαν καὶ Οἰνώνην καλουμένας, μετονομασθῆναι· ἀπὸ δὲ Θήβης τὴν ὑπὸ τῇ Καδμείᾳ κληθῆναι. Θηβαῖοι δὲ οὐχ ὁμολογοῦσι, φάμενοι τοῦ Βοιωτίου τὴν Θήβην Ἀσωποῦ, καὶ οὐ τοῦ Φλιασίου [3]) εἶναι. τὰ δὲ ἄλλα ἐς τὸν ποταμὸν Φλιάσιοι καὶ Σικυώνιοι λέγουσι, τὸ ὕδωρ ἔπηλυ, καὶ οὐκ ἐγχώριον εἶναι σφίσι· Μαίανδρον γὰρ κατιόντα ἐκ Κελαινῶν διὰ Φρυγίας καὶ Καρίας, καὶ ἐκδιδόντα ἐς τὴν πρὸς Μιλήτῳ θάλασσαν, ἐς Πελοπόννησον ἔρχεσθαι, καὶ ποιεῖν τὸν Ἀσωπόν. οἶδα δὲ καὶ Δηλίων τοιοῦτο ἀκούσας ἕτερον, ὕδωρ, ὃ καλοῦσιν Ἴνωπον, εἶναί σφισιν ἐκ τοῦ Νείλου [4]). καὶ δὴ καὶ αὐτὸν ἔχει τὸν Νεῖλον λόγος Εὐφράτην ὄντα ἐς ἕλος ἀφανίζεσθαι [5]), καὶ αὖθις ἀνιόντα ὑπὲρ Αἰθιοπίας Νεῖλον γίνεσθαι. Ἀσωποῦ μὲν πέρι τοιαῦτα ἤκουσα. Ἐκ δὲ τοῦ Ἀκροκορίνθου τραπεῖσι τὴν ὀρεινὴν, πύλη τέ ἐστιν ἡ Τενεατικὴ, καὶ Εἰληθυίας [6]) ἱερόν· ἑξήκοντα δὲ ἀπέχει μάλιστα στάδια ἡ καλουμένη Τενέα.

3

2) ἐκ τῆς Φλ., ῥεῖ δὲ διὰ τῆς Σικ., καὶ ἐκδίδωσιν etc.] Codices hic varie a vulgatis discedunt. Pro ἐκ τῆς Φλ. Cod. Vind. dat ἀπὸ τῆς Φλ., et Cod. Mosc. pro sequentibus habet ῥέων δὲ καὶ διὰ τῆς Σικ. ἐκδίδωσιν. Pro ἐς τὴν ταύτης θάλασσαν *Kuhn.* emendandum censet ἐς τὴν ταύτῃ θάλασσαν.

3) οὐ τοῦ Φλιασίου] Cod. Vind. οὐ τοῦ παρὰ Φλιασίοις.

4) ὕδωρ — ἐκ τοῦ Νείλου] Eadem fere refert de Inopo Plin. H. N. L. II. C. 103. p. 120.

5) ἐς ἕλος ἀφανίζεσθαι etc.] Eadem legi possunt L. V. C. 7.

6) Εἰληθυίας] Mallem scribere Εἰλειθυίας, ut scripturae ratio in Pausania sibi constet; in aliis enim interdum Εἰλήθυια reperitur.

Τενέα. Οἱ δὲ ἄνθρωποί φασιν οἱ ταύτῃ, Τρῶες εἶναι, αἰχμάλωτοι δὲ ὑπὸ Ἑλλήνων ἐκ Τενέδου γενόμενοι ἐνταῦθα, Ἀγαμέμνονος δόντος, οἰκῆσαι· καὶ διὰ τοῦτο θεῶν μάλιστα Ἀπόλλωνα τιμῶσιν.

Ἐκ Κορίνθου δὲ οὐκ ἐς μεσόγαιαν, ἀλλὰ ἐς τὴν 4
ἐπὶ Σικυῶνα ἰοῦσι, ναὸς ἐμπεπρησμένος ἐστὶν οὐ πόρρω τῆς πόλεως, ἐν ἀριστερᾷ δὲ τῆς ὁδοῦ. γεγόνασι μὲν δὴ καὶ ἄλλοι πόλεμοι περὶ τὴν Κορινθίαν, καὶ πῦρ ἐπέλαβεν (ὡς τὸ εἰκὸς) καὶ οἰκίας, καὶ ἱερὰ τὰ ἔξω τείχους, ἀλλὰ τοῦτόν γε τὸν ναὸν Ἀπόλλωνος εἶναι λέγουσι, καὶ ὅτι Πύρρος κατακαύσειεν ὁ Ἀχιλλέως αὐτόν. χρόνῳ δὲ ὕστερον ἤκουσα καὶ ἄλλο τοιόνδε, ὡς οἱ Κορίνθιοι Διὶ ποιήσαιντο [7]) Ὀλυμπίῳ τὸν ναὸν, καὶ ὡς ἐξαίφνης πῦρ ποθεν ἐμπεσὸν διαφθείρειεν αὐτόν.

Σικυώνιοι δὲ (οὗτοι γὰρ ταύτῃ Κορινθίοις εἰσὶν ὅμο- 5
οροι) περὶ τῆς χώρας τῆς σφετέρας λέγουσιν, ὡς Αἰγιαλεὺς αὐτόχθων πρῶτος ἐν αὐτῇ γένοιτο· καὶ Πελοποννήσου δὲ ὅσον ἔτι καὶ νῦν καλεῖται Αἰγιαλὸς, ἀπ' ἐκείνου βασιλεύοντος ὀνομασθῆναι, καὶ Αἰγιάλειαν [8]) αὐτὸν οἰκίσαντα πρῶτον ἐν τῷ πεδίῳ πόλιν· οὗ δέ ἐστι νῦν σφισι τὸ ἱερὸν τῆς Ἀθηνᾶς, ἀκρόπολιν τοῦτο εἶναι. Αἰγιαλέως δὲ Εὔρωπα γενέσθαι φασὶν, Εὔρωπος δὲ Τελχῖνα, Τελχῖνος δὲ Ἄπιν. οὗτος ὁ Ἄπις ἐς τοσόνδε ἠυξήθη δυνάμεως, πρὶν ἢ Πέλοπα ἐς Ὀλυμπίαν ἀφικέσθαι, ὡς τὴν ἐντὸς Ἰσθμοῦ χώραν Ἀπίαν ἀπ' ἐκείνου καλεῖσθαι. Ἄπιδος δὲ ἦν Θελξίων, Θελξί-

7) ποιήσαιντο] Uterque Codex ἐποιήσαντο.

8) Αἰγιάλειαν] Cap. 6. haec urbs vocatur Αἰγιάλη, ubi vero Cod. Vind. Αἰγιαλείας habet, et C. 7. iterum Αἰγιάλειαν. Conf. Strabo L. VIII. p. 587. 88.

ονος δὲ Αἴγυρος· τοῦ δὲ Θουρίμαχος· Θουριμάχου δὲ Λεύκιππος· Λευκίππῳ δὲ ἄῤῥενες παῖδες οὐκ ἐγένοντο, θυγάτηρ δὲ Καλχινία. ταύτῃ τῇ Καλχινίᾳ Ποσειδῶνα συγγενέσθαι φασὶ, καὶ τὸν τεχθέντα ὑπ' αὐτῆς ἐθρεψεν ὁ Λεύκιππος, καὶ τελευτῶν παρέδωκέν οἱ τὴν ἀρχήν· ὄνομα δὲ ἦν Πέρατος τῷ παιδί. τὰ δὲ ἐς Πλημναῖον τὸν Περάτου μάλιστα ἐφαίνετό μοι θαύματος ἄξια. τὰ γὰρ οἱ τικτόμενα ὑπὸ τῆς γυναικὸς, αὐτίκα ὁπότε πρῶτον κλαύσειεν, ἠφίει τὴν ψυχὴν, ἐς ὃ Δημήτηρ ἔλεον ἴσχει [9]) Πλημναίου, παραγενομένη δὲ ἐς τὴν Αἰγιάλειαν ὡς δὴ γυνὴ ξένη Πλημναίῳ παῖδα ἀνέθρεψεν Ὀρθόπολιν. Ὀρθοπόλιδι δὲ θυγάτηρ γίνεται Χρυσόρθη. ταύτην τεκεῖν νομίζουσιν ἐξ Ἀπόλλωνος, καὶ ὁ παῖς ὠνομάσθη Κορωνός· Κορωνοῦ δὲ γίνονται Κόραξ, καὶ νεώτερος Λαμέδων.

CAPUT VI.

De Epopei adventu e Theſſalia — Antiopes raptu et Epopei bello cum Nycteo geſto — Lamedonte — Sicyone ejusque natalibus et poſteris — reliquis Sicyoniorum regibus et rebus.

Κόρακος δὲ ἀποθανόντος ἄπαιδος, ὑπὸ τοῦτον τὸν καιρὸν Ἐπωπεὺς ἀφικόμενος ἐκ Θεσσαλίας ἔσχε τὴν ἀρχήν. ἐπὶ τούτου βασιλεύοντος στρατὸν σφισι πολεμιον λέγουσιν ἐς τὴν χώραν τότε ἐλθεῖν πρῶτον, τὰ πρὸ τούτου [1]) πάντα τὸν χρόνον διατελέσασιν ἐν εἰρήνῃ. Αἰτία

9) ἴσχει] *Sylb.* mavult εἶχε, vel ἔσχε.

1) τὰ πρὸ τούτου] Reſtitui τούτου ex Cod. Vind. pro vulgata τοῦ Mox pro διατελέσασιν Cod. Moſc. dat ἐκτελέσασιν.

Αἰτία δὲ ἥδε. Ἀντιόπης [2]) ἐν Ἕλλησι τῆς Νυκτέως 2
ὄνομα ἦν ἐπὶ πάλλει· καί οἱ καὶ Φήμη προσῆν, Ἀσω-
ποῦ θυγατέρα, ὃς τὴν Θηβαΐδα καὶ Πλαταιΐδα ὁρίζει,
καὶ οὐ Νυκτέως εἶναι. ταύτην οὐκ οἶδα εἴτε γυναῖκα
αἰτήσας, εἴτε θρασύτερον ἐξ ἀρχῆς βουλευσάμενος,
Ἐπωπεὺς ἁρπάζει. ὡς δὲ οἱ Θηβαῖοι σὺν ὅπλοις ἦλ-
θον, ἐνταῦθα τιτρώσκεται μὲν Νυκτεὺς, ἐτρώθη δὲ
κρατῶν τῇ μάχῃ καὶ Ἐπωπεύς. Νυκτέα μὲν δὴ κά-
μνοντα ὀπίσω κομίζουσιν ἐς Θήβας· καὶ ὡς ἔμελλε
τελευτᾶν, Λύκον ἀδελφὸν [3]) ὄντα παραδίδωσι Θη-
βαίων ἐν τῷ παρόντι ἄρχειν. Λάβδακον γὰρ τοῦ Πο-
λυδώρου τοῦ Κάδμου παῖδα ἔτι αὐτός τε ἐπετρόπευεν
ὁ Νυκτεὺς, καὶ τότε ἀπέλιπεν ἐπιτροπεύειν ἐκείνῳ.
τοῦτον οὖν τὸν Λύκον ἱκέτευσε στρατῷ μείζονι ἐπὶ τὴν
Αἰγιάλειαν ἐλάσαντα τιμωρήσασθαι μὲν Ἐπωπέα,
κακοῦν δὲ, εἰ λάβοι, καὶ αὐτὴν Ἀντιόπην. Ἐπωπεὺς δὲ
τὸ μὲν παραυτίκα ἐπινίκια ἔθυε, καὶ Ἀθηνᾶς ὠκοδό-
μει ναόν· ἐπ' ἐξειργασμένῳ [4]) δὲ εὔξατο ἐνδείξα-
σθαι τὴν θεὸν, εἰ οἱ τετελεσμένος ἐστὶν ὁ ναὸς κατὰ
γνώμην. μετὰ δὲ τὴν εὐχὴν ἔλαιον λέγουσι ῥυῆναι
πρὸ τοῦ ναοῦ. ὕστερον δὲ καὶ Ἐπωπέα κατέλαβεν ἀ-
ποθανεῖν ὑπὸ τοῦ τραύματος ἀμεληθέντος καταρχὰς,
ὡς μηδὲν ἔτι Λύκῳ δῆσαι πολέμου. Λαμέδων γὰρ ὁ

2) Ἀντιόπης] Confusae videntur a veteribus de Antiope narrationes et ipsae Antiopae. Duas enim fuisse, scholia Apollonii L. I. v. 735. declarant, et Nyctei filiam a Jove compressam ad Epopea confugisse, eadem referunt ad L. IV. v. 1090. Conf. Heyne V. C. ad Apollodor. p. 585. 586.

3) Λύκον ἀδελφὸν etc.] Quae hic sequuntur, paullo copiosius relata leguntur L. IX. C. 5.

4) ἐπ' ἐξειργασμένῳ] Cod. Vind. ἐπεξεργασμένων et Cod. Mosc. ἐπεξεργασμένῳ. Sed vulgata rectior; sic L. I. C. 33. similiter ὡς ἐπ' ἐξειργασμένοις.

Κορωνοῦ βασιλεύσας μετὰ Ἐπωπέα ἐξέδωκεν Ἀντιοπην. ἡ δὲ ὡς ἐς Θήβας ἤγετο τὴν ἐπ' Ἐλευθερῶν, ἐνταῦθα καθ' ὁδὸν τίκτει. καὶ ἔπη τούτῳ πεποίηκεν Ἄγις ὁ Ἀμφιπτολέμου [5]).

Ἀντιόπη δ' ἔτεκε Ζῆθον, κ' Ἀμφίονα δῖον,
Ἀσωποῦ κούρη ποταμοῦ βαθυδινήεντος,
Ζηνί τε κυσαμένη, καὶ Ἐπωπῆϊ ποιμένι λαῶν.

Ὅμηρος [6]) δὲ σφᾶς ἀνήγαγεν ἐπὶ τὸ σεμνότερον τοῦ γένους, καὶ Θήβας φησὶν οἰκίσαι πρώτους, ἀποκρίνων τὴν κάτω πόλιν (ἐμοὶ δοκεῖν) ἀπὸ τῆς Καδμείας. Λαμέδων δὲ βασιλεύσας ἐγημεν ἐξ Ἀθηνῶν γυναῖκα Φηνω Κλυτίου· καὶ ὕστερον γενομενου οἱ πολέμου πρὸς Ἄρχανδρον καὶ Ἀρχιτέλη τοὺς Ἀχαιοὺς, συμμαχήσοντα ἐπηγάγετο [7]) Σικυῶνα ἐκ τῆς Ἀττικῆς· καὶ θυγατέρα τε συνῴκισεν αὐτῷ Ζευξίππην· καὶ ἀπὸ τουτου βασιλεύσαντος ἡ γῆ Σικυωνία καὶ Σικυὼν ἀντὶ Αἰγιάλης ἡ πόλις ὠνομασθη. Σικυῶνα δὲ οὐ Μαραθῶ-

5) ἔπη τούτῳ πεποίηκεν Ἄγις ὁ Ἀμφιπτολεμιν] In his corrupti aliquid ineſſe in dubium vocare non auſim. *Sylb.* ἐπὶ τούτῳ, uti L II C. 12. ἐπὶ τῶδε Ὅμηρος — ἐποίησεν. Quae emendatio probanda eſſet, niſi verius conjeciſſet et emendaſſet *Valkenar.* Diatr. in Euripidis dram. deperd. p. 59. 1 ἔπη ἐς τοῦτο πεποίηκεν Ἄσιος ὁ Ἀμφιπτ. De quo Aſio poëta, filio Amphiptolemi, v. paullo infra. Pro Ἀμφιπτολεμου uterque Codex Vind hic exhibet Ἀμφιπολέμου et Cod. Moſc Ἐμφιπολέμου.

6) Ὅμηρος] Odyſſ. Λ. v. 261. ſq. Conf. Pauſ L. IX. C. 5., ubi hic Homeri locus in medium profertur.

7) Ἄρχ. καὶ Ἀρχιτέλη τοὺς Ἀχαιοὺς, συμμαχήσοντα ἐπηγ.] Cod. Vind. Ἄρχ. καὶ Ἀρχ τοὺς Ἀχαιοὺς συμμαχήσοντας et Cod. Moſc Ἄρχ. κ. Ἀρχ. τοὺς Ἀχαιοῖς συμμαχήσαντας. Licet haec Cod. Moſc. lectio non prorſus abſurda ſit, mihi tamen magis arridet *Sylburgii* conjectura τοὺς Ἀχαιοῦ, ſc. υἱούς· iſtos enim Achaei filios fuiſſe, ex Pauſ. L. VII. C. 1. conſtat, ubi plura de iis.

ραθῶνος τοῦ Ἐπωπέως, Μητίωνος δὲ εἶναι τοῦ Ἐρεχθέως φασίν. ὁμολογεῖ δέ σφισι καὶ Ἄσιος [8]). ἐπεὶ Ἡσίοδός τε καὶ Ἴβυκος, ὁ μὲν ἐποίησεν, ὡς Ἐρεχθέως εἴη Σικυών· Ἴβυκος [9]) δὲ εἶναι Πέλοπός φησιν αὐτόν. Σικυῶνος δὲ γίνεται Χθονοφύλη· Χθονοφύλης δὲ καὶ Ἑρμοῦ Πόλυβον γενέσθαι λέγουσιν· ὕστερον δὲ αὐτὴν Φλίας ὁ Διονύσου γαμεῖ, καὶ οἱ παῖς Ἀνδροδάμας γίνεται. Πόλυβος δὲ Ταλαῷ [10]) τῷ Βίαντος βασιλεύοντι Ἀργείων Λυσιάνασσαν τὴν θυγατέρα ἔδωκε· καὶ ὅτε Ἄδραστος ἔφυγεν ἐξ Ἄργους, παρὰ Πόλυβον ἦλθεν ἐς Σικυῶνα· καὶ ὕστερον ἀποθανόντος Πολύβου, τὴν ἐν Σικυῶνι ἀρχὴν ἔσχεν. Ἀδράστου δὲ ἐς Ἄργος κατελθόντος, Ἰανίσκος ἀπόγονος Κλυτίου τοῦ Λαμέδοντι κηδεύσαντος ἐλθὼν ἐκ τῆς Ἀττικῆς ἐβασίλευσεν. Ἀποθανόντος δὲ Ἰανίσκου, Φαῖσος τῶν Ἡρακλέους λεγόμενος παίδων καὶ οὗτος εἶναι. Φαίσου δὲ κατὰ μαντείαν μετοικήσαντος ἐς Κρήτην, βασιλεῦσαι λέγεται Ζεύξιππος Ἀπόλλωνος υἱὸς καὶ νύμφης Συλλίδος. Μετὰ δὲ Ζεύξιππον τελευτήσαντα Ἀγαμέμνων στρατὸν ἤγαγεν ἐπὶ Σικυῶνα καὶ τὸν βασιλέα Ἱππόλυτον Ῥοπάλου παῖδα τοῦ Φαίσου. δείσας δὲ τὸν στρατὸν ἐπιόντα Ἱππόλυτος συνεχώρησεν Ἀγαμέμνονος κατήκοος καὶ Μυκηναίων εἶναι· Ἱππολύτου δὲ ἦν τούτου Λακεσάδης. Φάλκης [Ταμφάλκης] δὲ [11]) ὁ Τημένου 4

8) Ἄσιος] Poëta Samius, Amphiptolemi filius, Paus. L. VII. C. 4. init., ex quo plura habet Pausanias. (Vid. Indic.) Vid. de eo Valkenar. Diatrib. p. 58. 59. 1.

9) Ἴβυκος] De hoc poëta Rhegino plura memorat Suidas h. v. Sex libros μελῶν scripsit, e quibus versus quosdam servavit Athen. L. II. C. 16. p. 57. et alibi. Conf. Cicero Tuscul. IV. 71.

10) Ταλαῷ] Cod. Vind. Ταλαύσῳ et Cod. Mosc. Ταλύσῳ.

11) Φάλκης [Ταμφάλκης] δὲ etc.] Locum luxatum et mendosum esse, multis demonstra-

re

μένου καταλαβὼν νύκτωρ Σικυῶνα σὺν Δωριεῦσι κακὸν μὲν ἄτε Ἡρακλείδην καὶ αὐτὸν ἐποίησεν οὐδέν, κοινωνὸν δὲ ἔσχε τῆς ἀρχῆς. καὶ Δωριεῖς μὲν Σικυώνιοι γεγόνασιν ἀπὸ τούτου καὶ μοῖρα τῆς Ἀργείας.

CAPUT VII.

De Demetrio Sicyonis arci urbem adſtruente — terrae motu Sicyonem vaſtante — Sicyoniorum ſepulcris et mortuos humandi more — Eupolidis, comici poëtae, et aliorum ſepulcris — memorandis in arce Sicyon. — theatro ſub arce — templo Bacchi ejusque ſignis Baccheo et Lyſio — templo Dianae Limnaeae — templo Suadae ejusque cultus origine — templo Apollinis et Marſyae tibiis ibi conditis.

Τὴν δὲ τοῦ Αἰγιαλέως ἐν τῷ πεδίῳ πόλιν Δημήτριος κἀθελὼν ὁ Ἀντιγόνου τῇ πάλαι ποτὲ ἀκροπόλει προσῴκισε τὴν νῦν πόλιν [1]). ἐχόντων δὲ ἀσθενῶς ἤδη τῶν Σικυωνίων (αἰτίαν δὲ οὐκ ὀρθῶς ποιοῖ τις ἂν ζητῶν, ἀποχρῆτο δὲ τῷ Ὁμήρῳ λελεγμένῳ [2]) περὶ Διός·

Ὅς

re ſupervacaneum eſſet. Codices nullam medelam hic afferunt, ſed vitium vitio cumulant; nam Cod. Vind. exhibet Ταμφλάκης. Phalcem Temeni filium fuiſſe, ex Pauſ. L. II. C. 11. 13. 28. conſtat, et a Strabone L. VIII. p. 597. Phalces Σικυῶνος εἰκιστὴς vocatur; Tamphalces autem nullibi memoratur. Quare *Kuhnius* ita legendum ſuſpicatur: Ἱππολ. δὲ ἦν Λακεδάδης, τούτου φάλκης. μετὰ δὲ φάλκης ὁ Τημ. *Sylb.* vero Ταμφάλκης tanquam monſtrum librariorum oſcitantia enatum expungendum cenſet; quam ſententiam probandam ratus Ταμφάλκης uncinis incluſi.

1) Δημήτριος — πόλιν] De hoc videndus eſt Diodorus L. XX. f. 102. et Plutarch. vita Demetr.

2) τῷ Ὁμήρῳ λελεγμένῳ] Uterque Codex λελεγμένον. Locus Homeri eſt Il. B. v. 117.

Ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα,)

διακειμένοις οὖν ἀδυνάτως, ἐπιγενόμενος σεισμὸς ὀλίγου τὴν πόλιν ἐποίησεν ἀνδρῶν ἔρημον, πολλὰ δὲ σφᾶς καὶ τῶν ἐς ἐπίδειξιν ἀφείλετο· ἐκάκωσε δὲ καὶ περὶ Καρίαν καὶ Λυκίαν τὰς πόλεις, καὶ Ῥοδίοις ἔσεῖσθη μάλιστα ἡ νῆσος· ὥστε καὶ τὸ λόγιον τετελέσθαι Σιβύλλῃ τὸ ἐς τὴν Ῥόδον ἔδοξεν.

Ἐκ δὲ τῆς Κορινθίας ἐλθοῦσιν ἐς τὴν Σικυωνίαν, 2
Λύκου Μεσσηνίου μνῆμά ἐστιν, ὅστις δὴ οὗτος ὁ Λύκος· οὐ γάρ τινα Λύκον εὑρίσκω Μεσσήνιον ἀσκήσαντα πένταθλον [3]), οὐδὲ Ὀλυμπικὴν ἀνηρημένον νίκην· τοῦτο μὲν δὴ χῶμά ἐστι γῆς. Αὐτοὶ δὲ Σικυώνιοι τὰ 3
πολλὰ ἐοικότι τρόπῳ θάπτουσι. τὸ μὲν σῶμα γῇ κρύπτουσιν, λίθου δὲ ἐποικοδομήσαντες κρηπῖδα κίονας ἐφιστᾶσι, καὶ ἐπ' αὐτοῖς ἐπίθημα ποιοῦσι κατὰ τοὺς ἀετοὺς μάλιστα τοὺς ἐν τοῖς ναοῖς· ἐπίγραμμα δὲ ἄλλο μὲν γράφουσιν [4]) οὐδέν, τὸ δὲ ὄνομα ἐφ' ἑαυτοῦ καὶ οὐ πατρόθεν ὑπεισπόντες κελεύουσι τὸν νεκρὸν χαίρειν [5]). Μετὰ δὲ τὸ μνῆμα τοῦ Λύκου διαβεβηκό- 4
σιν ἤδη τὸν Ἀσωπόν ἐστιν ἐν δεξιᾷ τὸ Ὀλύμπιον· ὀλίγον δὲ ἔμπροσθεν ἐν ἀριστερᾷ τῆς ὁδοῦ τάφος Εὐπόλιδι Ἀθηναίῳ ποιήσαντι κωμῳδίαν [6]). προελθοῦσι δὲ

3) ἀσκήσαντα πένταθλον] Cod. Vind. ἀθλήσαντα πένταθλος. Posterius mendosum, prius vero probandum et forte sic legendum — ἀθλήσαντα πενταάθλου οὐδὲ Ὀλ. ἀνηρ. νίκην.

4) ἄλλο μὲν γράφουσιν] Cod. Vind. ἄλλο μὲν ἔτι γράφ., et Cod. Mosc. ἄλλο μὲν ἐπιγράφουσιν, quae posterior lectio vera esse videtur.

5) τὸ δὲ ὄνομα ἐφ' ἑαυτοῦ — χαίρειν] Pro ἑαυτοῦ Cod. Vind. αὐτοῦ ex more Pausaniae, et Cod. Mosc. pro πατρόθεν dat πρόθεν. Sylb. haec recte interpretatur: *sed defunctum suo tantum nomine, omissa patris mentione, appellatum valere jubent.*

6) κωμῳδίαν] Forte scribendum sit κωμῳδίας.

δὲ καὶ ἐπιστρέψασιν ὡς ἐπὶ τὴν πόλιν, Ξενοδίκης μνῆμά ἐστιν ἀποθανούσης ἐν ὠδῖσι· πεποίηται δὲ οὐ κατὰ τὸν ἐπιχώριον τρόπον, ἀλλ' ὡς ἂν τῇ γραφῇ μάλιστα ἁρμόζοι· γραφὴ δὲ, εἴπερ ἄλλη τις, καὶ αὕτη ἐστὶ θέας ἀξία. προελθοῦσιν ἐντεῦθεν τάφος Σικυωνίοις ἐστὶν, ὅσοι περὶ Πελλήνην καὶ Δύμην τὴν Ἀχαιῶν, καὶ ἐν Μεγάλῃ πόλει, καὶ περὶ Σελασίαν ἐτελεύτησαν· τὰ δὲ ἐς αὐτοὺς σαφέστερον ἐν τοῖς ἐφεξῆς δηλώσω [7]). πρὸς δὲ τῇ πύλῃ πηγή ἐστι σφίσιν ἐν σπηλαίῳ, ἧς τὸ ὕδωρ οὐκ ἄνεισιν ἐκ γῆς [8]), ἐπιῤῥεῖ δὲ ἐκ τοῦ ὀρόφου τοῦ σπηλαίου· καὶ καλεῖται δι' αὐτὸ σάζουσα ἡ πηγή. Ἐν δὲ τῇ νῦν ἀκροπόλει Τύχης ἱερόν ἐστιν Ἀχραίας, μετὰ δὲ αὐτὸ Διοσκούρων· ξόανά τε οὗτοι καὶ τὸ ἄγαλμα τῆς Τύχης ἐστί. τοῦ θεάτρου δὲ ὑπὸ τὴν ἀκρόπολιν ᾠκοδομημένου τὸν ἐν τῇ σκηνῇ πεποιημένον ἄνδρα ἀσπίδα ἔχοντα Ἄρα-
6 τόν φασιν εἶναι τὸν Κλεινίου. Μετὰ δὲ τὸ θέατρον Διονύσου ναός ἐστι· χρυσοῦ μὲν καὶ ἐλέφαντος ὁ θεὸς, παρὰ δὲ αὐτὸν Βάκχαι λίθου λευκοῦ. ταύτας τὰς γυναῖκας ἱερὰς εἶναι, καὶ Διονύσῳ μαίνεσθαι λέγουσιν. ἄλλα δὲ ἀγάλματα ἐν ἀπορῥήτῳ Σικυωνίοις ἐστί· ταῦτα μιᾷ καθ' ἕκαστον ἔτος νυκτὶ ἐς τὸ Διονύσιον ἐκ τοῦ καλουμένου Κοσμητηρίου κομίζουσι· κομίζουσι δὲ μετὰ δᾴδων τε ἡμμένων καὶ ὕμνων ἐπιχωρίων. ἡγεῖται μὲν οὖν, ὃν Βακχεῖον ὀνομάζουσιν, (Ἀνδροδάμας σφίσιν ὁ Φλίαντος τοῦτον ἱδρύσατο) ἕπεται δὲ ὁ καλούμενος Λύσιος, ὃν Θηβαῖος Φάνης, εἰπούσης τῆς Πυθίας, ἐκόμισεν ἐκ Θηβῶν. ἐς δὲ Σικυῶνα ἦλθεν

7) ἐν τοῖς ἐφιξῆς δηλώσω] Vid. L. II. C. 9.

8) ἐκ γῆς] Cod. Vind. ἐκ τῆς γῆς.

ἦλθεν ὁ Φάνης, ὅτε Ἀριστόμαχος ὁ Κλεοδάμου [9]). τῆς γάρ οἱ γενομένης μαντείας ἁμαρτὼν, δι' αὐτὸ καὶ καθόδου τῆς ἐς Πελοπόννησον ἥμαρτεν. ἐκ δὲ τοῦ Διονυσίου βαδίζουσιν ἐς τὴν ἀγοράν ἐστι ναὸς Ἀρτέμιδος ἐν δεξιᾷ Λιμναίας. καὶ ὅτι μὲν κατερρύηκεν ὁ ὄροφος, δῆλά ἐστιν ἰδόντι· περὶ δὲ τοῦ ἀγάλματος, οὔτε ὡς κομισθέντος ἐτέρωσε [10]), οὔτε ὅντινα αὐτοῦ διεφθάρη τρόπον, εἰπεῖν ἔχουσιν. Ἐς δὲ τὴν ἀγορὰν 7
ἐσελθοῦσι, Πειθοῦς ἐστιν ἱερὸν, οὐδὲ τοῦτο ἄγαλμα ἔχον. Πειθὼ δὲ ἐπὶ λόγῳ τοιῷδε αὐτοῖς κατέστη σέβεσθαι. Ἀπόλλων καὶ Ἄρτεμις ἀποκτείναντες Πύθωνα παρεγένοντο ἐς τὴν Αἰγιάλειαν καθαρσίων εἵνεκα. γενομένου δὲ σφισι δείματος, ἔνθα καὶ νῦν Φόβον ὀνομάζουσι τὸ χωρίον, οἱ μὲν ἐς Κρήτην παρὰ Καρμάνορα [11]) ἀπετράποντο, τοὺς δὲ ἀνθρώπους ἐν τῇ Αἰγιαλείᾳ νόσος ἐπέλαβε· καὶ σφᾶς ἐκέλευον οἱ μάντεις Ἀπόλλωνα ἱλάσασθαι καὶ Ἄρτεμιν. οἱ δὲ παῖδας ἑπτὰ καὶ ἴσας παρθένους ἐπὶ τὸν Σύθαν ποταμὸν ἀποστέλλουσιν ἱκετεύοντας· ὑπὸ τούτων δὲ πεισθέντας τοὺς θεοὺς φασιν ἐς τὴν τότε ἀκρόπολιν ἐλθεῖν·

9) Κλεοδάμου] Cod. Mosc. Κλεοδαίμου, in quo vera scriptura latere videtur. Κλεοδαίου enim legendum esse, admodum credibile est. Sic enim apud Herodot. VI. s. 52. Ἀριστομάχου τοῦ Κλεοδαίου τοῦ Ὕλλου, et apud Pausan. L. III. C. 15. Κλεοδέου τοῦ Ὕλλου, ubi quoque scribendum Κλεοδαίου. Saepius scilicet et varie hoc nomen corruptum est, de quo vid. Heyne V. C. ad Apollodor. p. 505. 506. et Valkenar. ad Herodot. l. c.

10) κομισθέντος ἐτέρωσε] Ex utroque Codice rescripsi ἐτέρωσε pro ἐτέρωθεν, uti *Kuhn.* jam suspicatus erat. Cod. Mosc. dat κομισθὲν ἐτέρωσε, quod commode locum habere potest. Paullo infra pro ἐσελθοῦσι Cod. Vind. dat ἐπελθοῦσι. Similiter C. 10. παρελθοῦσι δὲ ἐς τὸν περίβολον.

11) Καρμάνορα] Ad fabulas Creticas hoc pertinet. Carmanor Apollinem ob caedem Pythonis purgasse dicebatur, Paus. L. II. C. 30. conf. L. X. C. 15.

θεῖν· καὶ ὁ τόπος, ἔνθα πρῶτον ἀφίκοντο, Πειθοῦς ἐστιν ἱερόν. τούτοις δὲ ἐοικότα καὶ νῦν ἔτι ποιεῖται. καὶ γὰρ ἐπὶ τὸν Σύθαν ἴασιν οἱ παῖδες τῇ ἑορτῇ τοῦ Ἀπόλλωνος, καὶ ἀγαγόντες δὴ τοὺς θεοὺς εἰς τὸ τῆς Πειθοῦς ἱερὸν αὖθις ἀπάγειν εἰς τὸν ναόν φασι τοῦ Ἀπόλλωνος. ὁ δὲ ναὸς ἔστι μὲν ἐν τῇ νῦν ἀγορᾷ· τὸ δὲ ἐξ ἀρχῆς λέγουσιν αὐτὸν ὑπὸ Προίτου [12]) ποιηθῆναι· τὰς γάρ οἱ θυγατέρας ἐνταῦθα τῆς μανίας παύ-
8 σασθαι. λέγουσι δὲ καὶ τάδε· ὡς Μελέαγρος ἐς τοῦτον τὸν ναὸν ἀνέθηκε τὴν λόγχην, ἣ τὸν ὖν κατειργάσατο. καὶ αὐλοὺς ἀνατεθῆναί φασιν ἐνταῦθα τοὺς Μαρσύου. γενομένης γὰρ τῆς συμφορᾶς τῷ Σιληνῷ, τὸν ποταμὸν τὸν Μαρσύαν κατενεγκεῖν αὐτοὺς ἐς τὸν Μαίανδρον· ἀναφανέντας δὲ ἐν τῷ Ἀσωπῷ, καὶ κατὰ τὴν Σικυωνίαν ἐκπεσόντας, ὑπὸ ποιμενος τοῦ εὑρόντος ὁσθῆναι τῷ Ἀπόλλωνι. τούτων τῶν ἀναθημάτων οὐδὲν ἔτι ἐλείπετο· συγκατεκαύθη γὰρ ἐμπιπραμένῳ τῷ ναῷ. τὸν δὲ ἐπ' ἐμοῦ ναὸν καὶ τὸ ἄγαλμα Πυθοκλῆς ἀνέθηκε.

CAPUT VIII.

De templo imperatoribus Romanis consecrato, antea Cleonis domo — Sicyoniorum tyrannis et republica ab Arato restituta — Arato Achaeorum duce ejusque magnis rebus gestis.

Τῷ δὲ τῆς Πειθοῦς ἱερῷ τὸ ἐγγὺς τέμενος ἀνειμένον βασιλεῦσι Ῥωμαίων οἰκία ποτὲ ἦν Κλεωνος τυράννου. Κλει-

12) Προίτου] De Proeti filiabus vid. Apollodor. II. 2. 2., ibique Heyne V. C. Conf. Perizon. ad Aelian. V. H. III. 42.

Κλεισθένης μὲν γὰρ ὁ Ἀριστωνύμου τοῦ Πύῤῥωνος [1]) ἐχόντων ἔτι τὴν κάτω πόλιν Σικυωνίων ἐτυράννησε· Κλέων δὲ ἐν τῇ νῦν πόλει. Πρὸ ταύτης τῆς οἰκίας ἡ- 2
ρῷόν ἐστιν Ἀράτου μέγιστα Ἑλλήνων ἐργασαμένου τῶν ἐφ' αὐτοῦ· ἔχει δὲ ὧδε τὰ ἐς αὐτόν. μετὰ Κλέωνα μοναρχήσαντα ἐνέπεσε τῶν ἐν τέλει πολλοῖς ἐπιθυμία τυραννίδος οὕτω δή τι ἀκάθεκτος, ὡς καὶ ἄνδρας δύο Εὐθύδημον καὶ Τιμοκλείδαν ὁμοῦ τυραννῆσαι. τούτους μὲν οὖν ἐξέβαλεν ὁ δῆμος, Κλεινίαν τὸν πατέρα Ἀράτου προσησάμενος· ἔτεσι δὲ ὕστερον οὐ πολλοῖς ἐτυράννησεν Ἀβαντίδας. Κλεινίᾳ μὲν οὖν συνεβεβήκει πρότερον ἔτι ἡ τελευτή· Ἄρατον δὲ Ἀβαντίδας φυγάδα ἐποίησεν, ἢ καὶ αὐτὸς ἀπεχώρησεν Ἄρατος ἐθελοντής. Ἀβαντίδαν μὲν οὖν κτείνουσιν ἄνδρες τῶν ἐπιχωρίων· τύραννος δὲ αὐτίκα ἐγεγόνει ὁ Ἀβαντίδου πατὴρ Πασέας. Νικοκλῆς δὲ ἐκεῖνον ἀνελὼν ἐτυράννησεν αὐτός. ἐπὶ τοῦτον τὸν Νικοκλέα Ἄρατος ἀφικόμενος Σικυωνίων φυγάσι καὶ Ἀργείοις μισθωτοῖς [2]), τοὺς μὲν ἔλαθεν ἅτε ἐν σκότῳ, (νύκτωρ γὰρ δὴ τὴν ἐπιχείρησιν ἐποιεῖτο) τοὺς δὲ καὶ βιασάμενος τῶν φυλασσόντων ἐγένετο ἐντὸς τείχους· καὶ (ὑπέφαινε γὰρ ἕως ἤδη) προσλαβὼν τὸν δῆμον ἐπὶ τὴν οἰκίαν σπουδῇ τὴν τυραννικὴν τρέπεται. καὶ ταύτην μὲν εἷλεν οὐ χαλεπῶς, ὁ δὲ Νικοκλῆς αὐτὸς ἔλαθεν ἀποδράς.

1) Κλεισθένης — τοῦ Πύῤῥωνος] De Clisthene Sicyonio, Clisthenis Athenienſis avo, vid. Herodot. V. ſ. 66 — 69. et VI. ſ. 126. ſq., ubi eſt Ἀριστωνύμου τοῦ Μύρωνος, quare et in Pauſania pro Πύῤῥ. legendum videtur Μύρωνος, qui Sicyon. tyrannus memoratur a Pauſan. L. VI. C. 19. Conf. Weſſeling. ad Herod. l. c. et Wyttenbach. V. C. ad Plutarch. de ſera num. vind. p. 44. 45.

2) Ἀργείοις μισθωτοῖς] Cod. Vind. Ἀργείων μισθωτοῖς.

3 δράς. Σικυωνίοις δὲ ἀπέδωκεν Ἄρατος ἐξίσου πολιτεύεσθαι διαλλάξας τοῖς φεύγουσιν· οἰκίας μὲν φυγάσι καὶ ὅσα τῶν κτημάτων ἄλλα ἐπεπρατο ἀποδούς· τιμὴν δὲ τοῖς πριαμένοις διέλυσεν [3]). αὐτὸς δὲ (καὶ ἦν γὰρ [4]) δέος τοῖς πᾶσιν Ἕλλησι Μακεδόνων καὶ Ἀντιγόνου Φίλιππον ἐπιτροπεύοντος τὸν Δημητρίου) τοῦδε οὕνεκα τοὺς Σικυωνίους ἐς τὸ Ἀχαιῶν συνέδριον ἐσήγαγε Δωριεῖς ὄντας, αὐτίκα δὲ στρατηγὸς ὑπὸ τῶν Ἀχαιῶν ἥρητο· καὶ σφᾶς ἐπὶ Λοκροὺς τοὺς Ἀμφισσέας ἀγαγὼν, καὶ ἐς τὴν [5]) Αἰτωλῶν πολεμί-
4 ων ὄντων, τὴν γῆν ἐπόρθησε. Κόρινθον δὲ ἔχοντος Ἀντιγόνου, καὶ Φρουρᾶς Μακεδόνων ἐνούσης, τοὺς Μακεδόνας τῷ αἰφνιδίῳ τῆς ἐπιθέσεως κατέπληξε, καὶ ἄλλους τε κρατήσας μάχῃ διέφθειρε καὶ Περσαῖον [6]) ἐπὶ τῇ Φρουρᾷ τεταγμένον, ὃς παρὰ Ζήνωνα τὸν Μνασέα [7]) κατὰ μάθησιν σοφίας ἐφοίτησεν. ἐλευθερώσαντος δὲ Ἄρατου Κόρινθον, προσεχώρησαν μὲν ἐς τὸ συνέδριον Ἐπιδαύριοι καὶ Τροιζήνιοι, οἱ τὴν Ἀργολίδα ἀκτὴν οἰκοῦντες, καὶ τὴν ἐκτὸς Ἰσθμοῦ Μεγαρεῖς· συμμαχίαν δὲ πρὸς Ἀχαιοὺς Πτολεμαῖος ἐποιήσατο. Λακεδαιμόνιοι δὲ καὶ Ἄγις ὁ Εὐδαμίδου βασιλεὺς ἔφθησαν μὲν Πελλήνην ἑλόντες ἐξ ἐπιδρομῆς,

3) τιμὴν — διέλυσεν] Pecunia a Ptolem. Philadelpho accepta. Vid. Cicer. Offic. L. II.

4) καὶ ἦν γὰρ] In Cod. M. καὶ abeſt, et paullo infra pro οὕνεκα eſt εἵνεκα, et in Cod. Vind. ἕνεκα, quod utrumque in Pauſania uſitatius.

5) καὶ ἐς τὴν] Pro his *Kulm.* legendum eſſe ſuſpicatur καὶ ἔτι, ſed vulgata bene ſe habet.

6) Περσαῖον] De hoc duce philoſopho vid. Suid. et Periz. ad Aeliani V. H. L. III. C. 17. 32.

7) Μνασέα] L. I. C 29. fuit Μνασείου, ubi vid. not. Μνασέα Doricam formam eſſe pro Μνασέου, *Sylb.* contendit, ut Σκόπα pro Σκόπου.

δρομῆς, ἥκοντι δὲ Ἀράτῳ καὶ τῇ στρατιᾷ συμβαλόντι ἐκρατήθησαν, καὶ τὴν Πελλήνην ἐκλιπόντες ἀναχωροῦσιν οἴκαδε ὑπόσπονδοι. Ἄρατος δὲ, ὡς οἱ τὰ ἐν Πελοποννήσῳ προεκεχωρήκει, δεινὸν ἡγεῖτο Πειραιᾶ καὶ Μουνυχίαν, ἔτι δὲ Σαλαμῖνα καὶ Σούνιον ἐχόμενα ὑπὸ Μακεδόνων περιοφθῆναι, καὶ (οὐ γὰρ ἤλπιζε δύνασθαι πρὸς βίαν αὐτὰ ἐξελεῖν) Διογένην πείθει τὸν ἐν τοῖς Φρουροῖς ἄρχοντα, ἀφεῖναι τὰ χωρία ἐπὶ ταλάντοις πεντήκοντα καὶ ἑκατὸν, καὶ τῶν χρημάτων συνετέλεσεν αὐτοῖς Ἀθηναίοις ἕκτον μέρος. ἔπεισε δὲ καὶ Ἀριστόμαχον τυραννοῦντα ἐν Ἄργει, δημοκρατίαν ἀποδόντα Ἀργείοις ἐς τὸ Ἀχαϊκὸν συντελεῖν, Μαντίνειάν τε, Μακεδόνων ἐχόντων [8]), εἶλεν. ἀλλὰ γὰρ οὐ πάντα ἀνθρώπῳ τελεῖται κατὰ γνώμην, εἰ δὴ καὶ Ἄρατον κατέλαβεν ἀνάγκη γενέσθαι Μακεδόνων καὶ Ἀντιγόνου σύμμαχον· ἐγένετο δὲ οὕτως. 5

CAPUT IX.

De Cleomene Lacedaemoniorum rege Achaeis bellum inferente — Arato cum Antigono ſocietatem ineunte — Cleomenis fuga et morte — Arati caede a Philippo facta — Philippi morte — de memorandis in foro Sicyoniorum continuatio — Apolline Lycaeo.

Κλεομένης ὁ Λεωνίδου τοῦ Κλεωνύμου, παραλαβὼν τὴν βασιλείαν ἐν Σπάρτῃ, Παυσανίαν ἐμιμεῖτο, τυραννίδος τε ἐπιθυμῶν, καὶ νόμοις τοῖς καθεστηκόσιν οὐκ ἀρεσκόμενος. ἅτε δὲ ὄντι αὐτῷ Παυσανίου θερμοτέρῳ καὶ οὐ φιλοψύχῳ, ταχὺ τὰ πάντα ὑπὸ Φρονήματος

8) Μακεδόνων ἐχόντων] In utroque Codice ἐχόντων abeſt.

νήματος καὶ τόλμης κατείργασο· καὶ βασιλέα τε οἰκίας τῆς ἑτέρας Εὐρυδαμίδαν παῖδα ἔτι ἀνηλῶν φαρμάκῳ διὰ τῶν ἐφορευόντων ἐς Ἐπικλείδαν [1]) τὸν ἀδελφὸν μετέστησε τὴν ἀρχήν· καὶ τὸ κράτος τῆς γερουσίας καταλύσας Πατρονόμους τῷ λόγῳ κατέστησεν ἀντ' αὐτῶν. ἐπιθυμῶν δὲ πραγμάτων μειζόνων καὶ ἀρχῆς τῶν Ἑλλήνων ἐπέθετο Ἀχαιοῖς πρώτοις, συμμάχους ἐλπίζων ἕξειν, ἣν κρατήσῃ, καὶ μάλιστα ἐμποδὼν οὐκ ἐθέλων εἶναί οἱ τοῖς δρωμένοις. Συμβαλὼν δὲ περὶ Δύμην τὴν ὑπὲρ Πατρῶν [2]), Ἀράτου καὶ
2 τότε ἡγουμένου τῶν Ἀχαιῶν, νικᾷ τῇ μάχῃ. τοῦτο Ἄρατον ἠνάγκασεν ὑπέρ τε Ἀχαιῶν καὶ αὐτῆς Σικυῶνος δείσαντα, Ἀντίγονον ἐπάγεσθαι, Κλεομένους δὲ [3]) παραβάντος, ἣν πρὸς Ἀντίγονον συνέθετο εἰρήνην, καὶ παράσπονδα ἐκ τοῦ φανεροῦ καὶ ἄλλα δράσαντος, καὶ Μεγαλοπολίτας ποιήσαντος ἀνασάτους. οὕτω δὴ διαβάντος ἐς Πελοπόννησον Ἀντιγόνου, συμβάλλουσιν Ἀχαιοὶ Κλεομένει περὶ Σελασίαν [4]). νικησάντων δὲ τῶν Ἀχαιῶν, Σελασία τε ἠνδραποδίσθη, καὶ αὐτὴ Λακεδαίμων ἑάλω. Λακεδαιμονίοις μὲν οὖν ἀπέδωκεν Ἀντίγονος καὶ Ἀχαιοῖς [5]) πολιτείαν τὴν πάτριον·

1) Ἐπικλείδαν] Plutarchus et Polybius conſtanter hoc nomen ſcribunt Εὐκλείδαν.

2) Δύμην τὴν ὑπὲρ Πατρῶν] Amaſ. depravatam lectionem πατρέων vel πατρίων, quam etiam Cod Moſc. habet, ſecutus eſſe videtur, vertens: *vicus ſupra agros Arati ipſius.* Sed Πατρῶν vera lectio eſt; Dyme enim et Patrae, vicinae urbes, ſaepius junguntur. Vid. Strab. VIII. p. 592. Plin. H. N. L. IV. C. 5. p. 192. *Ultra Patras oppidum Olenum, colonia Dyme.*

3) Κλεομένους δὲ] Mallem Κλεομένους τε.

4) Σελασίαν] Cod. Moſc. Σελλασίαν, ſicuti etiam in Pauſ. eſt L. IV. C. 29. et L. VII. C. 7., et ita variat ſcriptura apud Stephanum, Heſych. et alios. Rem ipſam ſaepius tangit Pauſanias.

5) καὶ Ἀχαιοῖς] Licet Codices collati vulgatam Ἀχαιοῖς tueantur,

πάτριον· τῶν δὲ Λεωνίδου παίδων Ἐπικλείδας μὲν 3
ἀπέθανεν ἐν τῇ μάχῃ, Κλεομένην δὲ φεύγοντα ἐς Αἴ-
γυπτον καὶ τιμῆς παρὰ Πτολεμαίῳ πρῶτα [6]) ἔχοντα
συνέβη δεθῆναι καταγνωσθέντα Αἰγυπτίων ἄνδρας
ἐπὶ τὸν βασιλέα συνιστάναι. καὶ ἀπέδρα μὲν ἐκ τοῦ
δεσμωτηρίου, καὶ τοῖς Ἀλεξανδρεῦσιν ἀρχὴν θορύβου
παρέσχε· τέλος δὲ, ὡς ἡλίσκετο, ἀπέσφαξεν ἑαυτόν [7]).
Λακεδαιμόνιοι δὲ ἄσμενοι Κλεομένους ἀπαλλαγέντες
βασιλεύεσθαι μὲν οὐκέτι ἠξίωσαν, τὰ δὲ λοιπὰ καὶ
ἐς τόδε διαμένει σφίσιν ἐκείνης τῆς πολιτείας. Ἀράτῳ
δὲ Ἀντίγονος, ἅτε ἀνδρὶ εὐεργέτῃ καὶ συγκατειργα-
σμένῳ λαμπρὰ, οὕτως διέμεινεν εὔνους. Φίλιππος 4
δὲ ὡς παρέλαβε τὴν ἀρχὴν (οὐ γὰρ αὐτὸν Ἄρατος θυ-
μῷ πολλὰ ἐς τοὺς ἀρχομένους χρώμενον ἐπῄνει, τὰ δὲ
καὶ ὡρμημένον ἐπεῖχε μὴ ποιεῖν) τούτων εἵνεκεν
ἀπέκτεινεν Ἄρατον, οὐδὲν προϊδομένῳ δούς οἱ φάρ-
μακον. καὶ τὸν μὲν ἐξ Αἰγίου (ταύτῃ γὰρ τὸ χρεὼν
ἐπέλαβεν αὐτὸν) ἐς Σικυῶνα κομίσαντες θάπτουσι,
καὶ τὸ ἡρῷον Ἀράτειον ἔτι ὀνομάζεται. Φιλίππῳ δὲ καὶ
ἐς Εὐρυκλείδην καὶ Μίκωνα Ἀθηναίους ὅμοια εἰργά-
σθη· καὶ γὰρ τούσδε ὄντας ῥήτορας καὶ οὐκ ἀπιθά-
νους τῷ δήμῳ φαρμάκοις ἔκτεινεν. Ἔμελλε δὲ ἄρα 5
καὶ αὐτῷ Φιλίππῳ τὸ ἀνδροφόνον φάρμακον ἔσεσθαι
συμφορά· τὸν γάρ οἱ παῖδα Δημήτριον ὁ νεώτερος
τῶν Φιλίππου παίδων [8]) Περσεὺς φαρμάκῳ διέφθειρε,

tueantur, corrigendum tamen esse Ἀχαιοὶ, dubium non est, uti *Kuhn.* recte monuit.

6) πρῶτα] *Kuhn* mavult τὰ πρῶτα, quod usitatius.

7) ἀπέσφ. ἑαυτὸν] αὐτὸν ex Pausaniae more legendum esse, Codd. declarant, quorum alter αὐτὸν, alter αὐτὸν exhibet.

8) ὁ νεώτερος τῶν Φιλ. παίδων] Cum Perseus natu major fuerit, Livio teste L. XXXIX. C. 47., Palmer. p. 372 hic scribendum censet νεώτερον τῶν Φιλ.

καὶ δι' αὐτὸ καὶ τῷ πατρὶ ἀθυμήσαντι παρέσχεν αἰτίαν ἀποθανεῖν. παρεδήλωσα δὲ τάδε ἀπιδὼν ἐς τὸ Ἡσιόδου [9]) σὺν θεῷ πεποιημένον, τὸν ἐπ' ἄλλον βουλεύοντα ἄδικα ἐς αὐτὸν πρῶτον τρέπειν.

6 Μετὰ δὲ Ἀράτου [10]) ἡρῷον ἔστι μὲν Ποσειδῶνι Ἰσθμίῳ βωμὸς, ἔστι δὲ Ζεὺς Μειλίχιος, καὶ Ἄρτεμις ὀνομαζομένη Πατρῴα, σὺν τέχνῃ πεποιημένα οὐδεμιᾷ· πυραμίδι δὲ ὁ Μειλίχιος, ἡ δὲ κίονί ἐστιν εἰκασμένη. ἐνταῦθα καὶ βουλευτήριόν σφισι πεποίηται, καὶ σοὰ καλουμένη Κλεισθένειος ἀπὸ τοῦ οἰκοδομήσαντος· ᾠκοδόμησε δὲ ἀπὸ λαφύρων ὁ Κλεισθένης αὐτὴν, τὸν πρὸς Σκίρωνα πόλεμον [11]) συμπολεμήσας Ἀμφικτύοσι. τῆς δὲ ἀγορᾶς ἐστιν ἐν τῷ ὑπαίθρῳ Ζεὺς χαλκοῦς, τέχνη Λυσίππου, παρὰ δὲ αὐτὸν Ἄρτεμις
7 ἐπίχρυσος. Πλησίον δὲ Ἀπόλλωνός ἐστιν ἱερὸν Λυκαίου [12]), κατερρυηκός τε ἤδη καὶ ἥκιστα θέας ἄξιον· φοιτώντων γὰρ λύκων σφίσιν ἐπὶ τὰς ποίμνας, ὡς μηδένα εἶναι καρπὸν ἔτι ἀπ' αὐτῶν, ὁ θεὸς τόπον [13]) ὅντινα εἰπὼν, ἔνθα

9) τὸ Ἡσιόδου] ἔργ. v. 263. εἷ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἑτέρῳ κακὰ τεύχων.

10) Μετὰ δὲ Ἀράτου] Cod. Vind. Μετὰ δὲ τὸ Ἀρ. Bene.

11) πρὸς Σκίρωνα πόλεμον] De Scirone latrone hic non esse cogitandum, ex re ipsa patet; nec Sciron, Polemarchus Megarensium, de quo Pausan. L. I. C. 39. in fine et C. 44., huc pertinere potest. Bellum enim Cirrhaeum hic tangitur, de quo Pausan. plura habet L. X. C. 37., eique Clisthenem Sicyonium ab Amphictyonibus praefectum fuisse refert. Quare cum aliis viris doctis hic πρὸς Κίρραν emendandum esse, nullus dubito.

12) Λυκαίου] Cod. Mosc. Λυκίου, uti C. 19. Apollo Λύκιος est, qui etiam a λύκος, lupus, nomen accepit. Mons vero Λύκαιος memoratur L. IV. C. 20. et apud Strab. L. VIII. p. 595. *Sylb.* Λύκαιος Doricam formam esse putat; a quo dissentio, Λύκειος veram scripturam, paullatim in Λύκιος, Λύκαιος depravatam, esse persuasus.

13) τόπον] Libri scripti collati vulgatam τρόπον agnoscunt; nihilominus τόπον reſcribere, religioni

ἔνθα ἔκειτο αὖον ξύλον, τούτου φλοιὸν ἔχρησε τοῦ ξύλου καὶ κρέας ὁμοῦ προθεῖναι τοῖς θηρίοις· καὶ τοὺς μὲν αὐτίκα, ὡς ἐγεύσαντο, διέφθειρεν ὁ φλοιός· τὸ ξύλον δὲ ἐκεῖνο ἔκειτο μὲν ἐν τῷ ἱερῷ τοῦ Λυκαίου· ὅ τι δὲ ἦν δένδρον, οὐδὲ οἱ τῶν Σικυωνίων ἐξηγηταὶ συνήδεσαν [14]). τούτου δέ εἰσιν εἰκόνες ἐφεξῆς χαλκαῖ· τὰς Προίτου θυγατέρας λέγουσιν εἶναι σφᾶς, τὸ δὲ ἐπίγραμμα ἐς γυναῖκας ἄλλας εἶχεν. ἐνταῦθα Ἡρακλῆς χαλκοῦς ἐστι· Λύσιππος ἐποίησεν αὐτὸν Σικυώνιος. καὶ πλησίον Ἑρμῆς ἕστηκεν ἀγοραῖος.

CAPUT X.

De templo Herculis ejusque ſacrorum ratione — templo Aeſculapii cum duplici aede et ſignis in iis Somni et Somnii — ſignis in Aeſculapii delubro — templo Veneris, ſignis in eo, mulieribus ſacerdotibus et ſacris — herba Paederote — gymnaſio Sicyoniorum.

Ἐν δὲ τῷ γυμνασίῳ τῆς ἀγορᾶς ὄντι οὐ μακρὰν Ἡρακλῆς ἀνάκειται λίθου, Σκόπα ποίημα. ἔστι δὲ καὶ ἑτέρωθι ἱερὸν Ἡρακλέους. τὸν μὲν πάντα ἐνταῦθα περίβολον Παιδιζὴν [1]) ὀνομάζουσιν· ἐν μέσῳ δέ ἐστι τοῦ περιβόλου τὸ ἱερόν, ἐν δὲ αὐτῷ ξόανον ἀρχαῖον, τέχνη Φλιασίου Λαφάους. ἐπὶ δὲ τῇ θυσίᾳ τοιάδε δρᾶν νομίζουσι· Φαῖσον [2]) ἐν Σικυωνίᾳ λέγουσιν

ἐλθόντα

religioni non habui, cum *Amaſ.* interpretaretur: *indicavit Apollo, quo loco etc.*, et res ipſa lectioni τρόπον repugnaret. ὄντινα in Cod. Vind. deeſt.

14) συνήδεσαν] Cod. Vindob. συνίεσαν, et Moſc. συνίδεσαν.

1) Παιδιζὴν] Cod. Moſc. Παιδιζῆν. Kuhn. olim Παιδικὴν ſcriptum fuiſſe ſuſpicatur.

2) Φαῖσον] Herculis filium fuiſſe, ſupra C. 6. legimus.

ἐλθόντα καταλαβεῖν Ἡρακλεῖ σφᾶς ὡς ἥρωϊ ἐναγίζοντας· οὔκουν ἠξίου δρᾶν οὐδὲν ὁ Φαῖστος τῶν αὐτῶν, ἀλλ' ὡς θεῷ θύειν. καὶ νῦν ἔτι ἄρνα οἱ Σικυώνιοι σφάξαντες, καὶ τοὺς μηροὺς ἐπὶ τοῦ βωμοῦ καύσαντες, τὰ μὲν ἐσθίουσιν ὡς ἀπὸ ἱερείου, τὰ δὲ ὡς ἥρωϊ τῶν κρεῶν ἐναγίζουσι. τῆς ἑορτῆς δὲ, ἣν ἄγουσι τῷ Ἡρακλεῖ, τὴν προτέραν τῶν ἡμερῶν Ὀνομάταν ὀνο-
2 μάζοντες, Ἡράκλειαν δὲ καλοῦσι τὴν ὑστέραν [3]). Ἐντεῦθέν ἐστιν ὁδὸς ἐς ἱερὸν Ἀσκληπιοῦ. παρελθοῦσι δὲ ἐς τὸν περίβολον ἐν ἀριστερᾷ, διπλοῦν ἐστιν οἴκημα· κεῖται δὲ Ὕπνος ἐν τῷ προτέρῳ, καί οἱ πλὴν τῆς κεφαλῆς ἄλλο οὐδὲν ἔτι λείπεται. τὸ ἐνδοτέρω Ἀπόλλωνι ἀνεῖται Καρνείῳ [4]), καὶ ἐς αὐτὸ οὐκ ἔστι πλὴν τοῖς ἱερεῦσιν ἔσοδος. κεῖται δὲ ἐν τῇ σοᾷ κήτους ὀστοῦν θαλασσίου μεγέθει μέγα, καὶ μετ' αὐτὸ ἄγαλμα Ὀνείρου, καὶ Ὕπνος κατακοιμίζων λέοντα, Ἐπιδώτης [5]) δὲ ἐπίκλησιν. ἐς δὲ τὸ Ἀσκληπιεῖον ἐσιοῦσι καθ' ἕτερον τῆς ἐσόδου [6]), τῇ μὲν Πανὸς καθήμενον
3 ἄγαλμά ἐστι, τῇ δὲ Ἄρτεμις ἕστηκεν. Ἐσελθοῦσι δὲ ὁ θεός ἐστιν οὐκ ἔχων γένεια, χρυσοῦ καὶ ἐλέφαντος, Καλάμιδος δὲ ἔργον· ἔχει δὲ καὶ σκῆπτρον, καὶ ἐπὶ τῆς

3) ὑστέραν] Cod. Vind. ὑστεραίαν.

4) Ἀπόλλωνι ἀνεῖται Καρνείῳ] Apollo *Carneus* aliquoties in Pausania, qui et cognominis originem adfert L. III. C. 13. Cum eo sentit Hesych. Καρνεῖος, ἐπίθετον Ἀπόλλωνος, ἴσως ἀπὸ Κάρνου τοῦ Διὸς νηὶ Εὐρώπης. Alii ἀπὸ τῶν κεράτων ἤγειν προσηγορίαν derivant. Vid. Alberti ad Hesych. h. v.

5) Ἐπιδώτης] *Augens, bona largiens;* quem cognominis significatum Pausanias ipse profert L. VIII. C. 9. de Jove Ἐπιδώτῃ, ἐπιδιδόναι γὰρ δὴ ἀγαθὰ αὐτὸν ἀνθρώποις. Inde et templum deorum est, οὓς Ἐπιδώτας ὀνομάζουσιν, L. II. C. 27., ac daemon Ἐπιδώτης L. III. C. 17. in fine. Vid. et Hesych. h. v.

6) τῆς ἐσόδου] Cod. Mosc. τῆς ὁδοῦ.

τῆς ἑτέρας χειρὸς πίτυος καρπὸν τῆς ἡμέρου. Φασὶ δὲ σφισιν ἐς Ἐπιδαύρου κομισθῆναι τὸν θεὸν ἐπὶ ζεύγους ἡμιόνων, δράκοντι εἰκασμένον, τὴν δὲ ἀγαγοῦσαν Νικαγόραν εἶναι Σικυωνίαν, Ἀγασικλέους μητέρα, γυναῖκα δὲ Ἐχετίμου. ἐνταῦθα ἀγάλματά ἐστιν οὐ μεγάλα ἀπηρτημένα τοῦ ὀρόφου. τὴν δὲ ἐπὶ τῷ δράκοντι Ἀριστοδάμαν Ἀράτου μητέρα εἶναι λέγουσι, καὶ Ἄρατον Ἀσκληπιοῦ παῖδα εἶναι νομίζουσιν. οὗτος μὲν δὴ παρείχετο ὁ περίβολος τοσάδε ἐς μνήμην. Δι' 4
αὐτοῦ δὲ ἄλλο ἐστὶν Ἀφροδίτης ἱερόν [7]· ἐν δὲ αὐτῷ πρῶτον ἄγαλμά ἐστιν Ἀντιόπης· εἶναι γάρ οἱ τοὺς παῖδας Σικυωνίους, καὶ δι' ἐκείνους ἐλθοῦσαν καὶ αὐτὴν Ἀντιόπην προσήκειν [8]) σφίσι· μετὰ τοῦτο ἤδη τὸ τῆς Ἀφροδίτης ἐστίν. ἱερὸν ἐπίασι μὲν δὴ ἐς αὐτὸ [9]) γυνή τε νεωκόρος, ἣ μηκέτι θέμις παρ' ἀνδρὶ φοιτῆσαι, καὶ παρθένος ἱερωσύνην ἐπέτειον ἔχουσα (λουτροφόρον τὴν παρθένον ὀνομάζουσι)· τοῖς δὲ ἄλλοις κατὰ ταυτὰ καὶ ὁρᾶν ἀπὸ τῆς ἐσόδου τὴν θεὸν, καὶ αὐτόθεν προσεύχεσθαι [10]).

7) δι' αὐτοῦ δὲ — Ἀφροδίτης ἱερόν] Amaſ. vertit, ac ſi eſſet δι' αὐτοῦ ἰοῦσι δὲ etc., *ex eo vero ad aliud Veneris templum tranſeas*; quae ſane eſt verborum ſententia, ſed ex Pauſaniae more juſto brevius enunciata. Sic L. X. C. 34. κῆποι τοῖσι κῆποι οἰκήσεις διὰ τῶν τοῦν, ἔνθα etc. Pro Ἀφροδίτης Cod. Vind. mendoſe dat ἐς μνήμην, quod paullo ante fuit.

8) εἶναι — προσήκειν] Supplendum λέγουσι, quod paullo durius omiſſum eſt, uti interdum in Pauſania.

9) μετὰ τοῦτο ἤδη — ἱερὸν ἐπίασι μ. δὴ ἐς αὐτὸ] Haec perverſa interpunctione turbata fuiſſe, lectori patebit, Kuhnii textum cum noſtro conferenti. Primum ſignum in Veneris templo Antiopes fuit, jam alterum Veneris memoratur. *Amaſ.* verba μετὰ — Ἀφροδίτης ἐστὶν omiſit, et Cod. Vind. pro ἐπίασι habet ἐσίασι.

10) προσεύχεσθαι] Forte hic ἔστι excidit.

τὸ μὲν δὴ ἄγαλμα καθήμενον Κάναχος Σικυώνιος ἐποίησεν, ὃς καὶ τὸν ἐν Διδύμοις τοῖς Μιλησίων καὶ Θηβαίοις τὸν Ἰσμήνιον εἰργάσατο Ἀπόλλωνα [11]). πεποίηται δὲ ἐκ χρυσοῦ καὶ ἐλέφαντος φέρουσα ἐπὶ τῇ κεφαλῇ πόλον [12]), τῶν χειρῶν δὲ ἔχει τῇ μὲν μήκωνα, τῇ δὲ ἑτέρᾳ μῆλον. τῶν δὲ ἱερείων τοὺς μηροὺς θύουσι πλὴν ὑῶν, τἆλλα δὲ ἀρκεύθου ξύλοις καθαγίζουσι, καιομένοις δὲ ὁμοῦ τοῖς μηροῖς Φύλλον τοῦ παιδέρωτος [13]) συγκαθαγίζουσιν. Ἔνεστι δὲ ὁ παιδέρως ἐν ὑπαίθρῳ τοῦ περιβόλου πόᾳ, φύεται δὲ ἀλλαχόθι οὐδαμοῦ γῆς, οὔτε ἄλλης, οὔτε τῆς Σικυωνίας. τὰ δὲ οἱ φύλλα ἐλάσσονα ἢ φηγοῦ, μείζονα δὲ ἐστιν ἢ πρίνου, σχῆμα δὲ σφίσιν οἷον τοῖς τῆς δρυὸς, καὶ τὸ μὲν ὑπομελαίνει, τὸ δὲ ἕτερον λευκόν ἐστι· φύλλοις ἂν λεύκης μάλιστα εἰκάζοις τὴν χροιάν. Ἀπὸ τούτων δὲ ἀνιοῦσιν ἐς τὸ γυμνάσιόν ἐστιν ἐν δεξιᾷ Φεραίας ἱερὸν Ἀρτέμιδος· κομισθῆναι δὲ τὸ ξόανον λέγουσιν ἐκ Φερῶν. τὸ δὲ σφίσι γυμνάσιον τοῦτο Κλεινίας ᾠκοδόμησε· καὶ παιδεύουσιν ἐνταῦθα ἔτι τοὺς ἐφήβους.

11) ἐν Διδύμοις — Ἰσμήνιον ἐλεγ. Ἀπόλλωνα] De Apolline Didymaeo vid Pauſan. L VII. C. 2. et de Ismenio L. IX. C. 10.

12) ἐπὶ τῇ κεφαλῇ πόλον] Sic *Fortunae* ſignum memoratur *polum* in capite ferens L. IV. C. 30., et *Minervae Poliadis* L. VII. C 5. Winkelm. *Storia delle arti del diſegno* T. II. p 175. ed. Mediol. hunc *polum* inſtar *limbi* fuiſſe cenſet, quo ſanctorum capita circumdata effinguntur. Sed mihi potius de *globi* vel *hemiſphaerii* imagine expreſſa cogitandum videtur.

13) παιδέρωτος] *Ceraefolium* Graecos vocaſſe *paederota*, ex Plin. conſtat L. XIX. C. 8. p. 131., item *acanthum* L XXII. C. 22. p. 277. Aliae etiam res *paederotis* nomine inſignibantur, de quo vid. Salmaſ. Exerc. Plin. et Voſſii Etymolog. h. v.

βους. κεῖται δὲ λίθου λευκοῦ καὶ Ἄρτεμις, τὰ ἐς ἰξὺν μόνον εἰργασμένη, καὶ Ἡρακλῆς τὰ κάτω τοῖς Ἑρμαῖς τοῖς τετραγώνοις εἰκασμένος.

CAPUT XI.

De memorandis ad portam ſacram — templo Minervae — diis Apotropaeis — aliis templis — templis ad viam verſus Phliuntem et Titanen — templo Eumenidum earumque feſto annuo — Titane — Aeſculapii templo in Titane ejusque et Hygiae ſigno — Alexanore et Euamerione — reliquis ſignis in templo Aeſculapii — Minervae templo.

Ἐντεῦθεν δὲ ἀποτραπεῖσιν ἐπὶ πύλην καλουμένην ἱερὰν, οὐ πόρρω τῆς πύλης ναός ἐστιν Ἀθηνᾶς, ὃν Ἐπωπεύς ποτε ἀνέθηκε, μεγέθει καὶ κόσμῳ τοὺς τότε ὑπερβεβλημένον. ἔδει δὲ ἄρα χρόνῳ καὶ τοῦδε ἀφανισθῆναι τὴν μνήμην· κεραυνοῖς θεὸς αὐτὸν κατέκαυσε. βωμὸς δὲ ἐκεῖνος (οὐ γάρ τι [1]) ἐς αὐτὸν κατέσκηψε) μένει καὶ ἐς τόδε, οἷον Ἐπωπεὺς ἐποίησε. πρὸ τοῦ 2
βωμοῦ δὲ αὐτῷ μνῆμα Ἐπωπεῖ κέχωσται, καὶ τοῦ τάφου πλησίον εἰσὶν Ἀποτρόπαιοι θεοί. παρὰ τούτοις δρῶσιν, ὅσα Ἕλληνες ἐς ἀποτροπὴν κακῶν νομίζουσιν. Ἐπωπέα δὲ καὶ Ἀρτέμιδι καὶ Ἀπόλλωνι τὸ πλησίον ἱερὸν ποιῆσαι λέγουσι, τὸ δὲ μετ' αὐτὸ [2]) Ἥρας Ἄδραστον· ἀγάλματα δὲ ὑπελείπετο οὐδετέρῳ. βωμοὺς δὲ ὄπισθεν τοῦ Ἡραίου, τὸν μὲν Πανὶ ᾠκοδό-

 μησεν,

1) τι] In Cod. Vind. deeſt, et paullo infra ante οἷον uterque Codex inſerit καί.

2) αὐτὸ] Pro vulgata αὐτὴν reſcripſi αὐτὸ, ſic enim exhibet Cod. Vindob., et Cod. Moſc. dat αὐτόν.

μησεν, Ἡλίῳ δὲ λίθου λευκοῦ. Καταβαίνουσι δὲ ὡς ἐπὶ τὸ πεδίον, ἱερόν ἐστιν ἐνταῦθα Δήμητρος. ἱδρύσαι δέ φασιν αὐτὸ Πλημναῖον [3]), ἀποδιδόντα χάριν τῇ θεῷ τοῦ παιδὸς τῆς τροφῆς. τοῦ δὲ ἱεροῦ τῆς Ἥρας, ἣν ἱδρύσατο Ἄδραστος, ὀλίγον ἀπωτέρω Καρνείου ναός ἐστιν Ἀπόλλωνος· κίονες δὲ ἑστήκασιν ἐν αὐτῷ μόνοι, τοίχους δὲ οὐκέτι οὐδὲ ὄροφον οὔτε ἐνταῦθα εὑρήσεις, οὔτε ἐν τῷ τῆς Προδομίας Ἥρας. τοῦτον γὰρ δὴ Φάλκης ἱδρύσατο ὁ Τημένου, τῆς ὁδοῦ οἱ τῆς ἐς Σικυῶνα Ἥραν φάμενος ὁδηγὸν ἔσεσθαι.

3 Ἐκ Σικυῶνος δὲ τὴν κατ' εὐθὺ ἐς Φλιοῦντα ἐρχομένοις, καὶ ἐν ἀριστερᾷ τῆς ὁδοῦ δέκα μάλιστα ἐκτραπεῖσι σάδια, Πυραία καλουμένου ἐστὶν ἄλσος, ἱερὸν δὲ ἐν αὐτῷ Προσασίας Δήμητρος καὶ Κόρης· ἐνταῦθα ἐφ' ἑαυτῶν οἱ ἄνδρες ἑορτὴν ἄγουσι· τὸν δὲ νυμφῶνα καλούμενον ταῖς γυναιξὶν ἑορτάζειν παρείκασι. καὶ ἀγάλματα Διονύσου καὶ Δήμητρος καὶ Κόρης τὰ πρόσωπα φαίνοντα ἐν τῷ νυμφῶνί ἐστιν. ἡ δὲ ἐς τὴν Τιτάνην [4]) ὁδὸς σαδίων μέν ἐστιν ἑξήκοντα, καὶ ζεύ-
4 γεσιν ἄβατος διὰ στενότητα. σαδίους δὲ προελθοῦσιν (ἐμοὶ δοκεῖν) εἴκοσι καὶ ἐν ἀριστερᾷ διαβᾶσι τὸν Ἀσωπόν ἐστιν ἄλσος πρίνων, καὶ ναὸς θεῶν, ἃς Ἀθηναῖοι Σεμνάς, Σικυώνιοι δὲ Εὐμενίδας ὀνομάζουσι· κατὰ δὲ ἔτος ἕκαστον ἑορτὴν ἡμέρᾳ μιᾷ σφισιν ἄγουσι θύοντες πρόβατα ἐγκύμονα, μελικράτῳ δὲ σπονδῇ καὶ ἄνθεσιν ἀντὶ στεφάνων χρῆσθαι νομίζουσιν. ἐοικότα δὲ καὶ ἐπὶ τῶν βωμῶν τῶν Μοιρῶν δρῶσιν ὧδε. σφίσιν

3) Πλημναῖον] De hoc supra C. 5. in fine.

4) ἐς τὴν Τιτάνην] Cod. V. ἐς Τιτάνην.

σφίσιν δ' αὐτὸ [5]) ἐν ὑπαίθρῳ τοῦ ἄλσους ἐστίν. Ἀναστρέψασι δὲ ἐς τὴν ὁδὸν, διαβᾶσί τε αὖθις τὸν Ἀσωπὸν, καὶ ἐς κορυφὴν ὄρους ἥξασιν, ἐνταῦθα λέγουσιν οἱ ἐπιχώριοι Τιτᾶνα οἰκῆσαι πρῶτον· εἶναι δὲ αὐτὸν ἀδελφὸν ἡλίου, καὶ ἀπὸ τούτου κληθῆναι Τιτάνην τὸ χωρίον. δοκεῖν δὲ ἐμοὶ [6]), δεινὸς ἐγένετο ὁ Τιτὰν τὰς ὥρας τοῦ ἔτους Φυλάξαι, καὶ ὁπότε ἥλιος σπέρματα καὶ δένδρων [7]) αὔξει καὶ πεπαίνει καρπούς, καὶ ἐπὶ τῷδε ἀδελφὸς ἐνομίσθη τοῦ ἡλίου. ὕστερον δὲ 6
Ἀλεξάνωρ ὁ Μαχάονος τοῦ Ἀσκληπιοῦ, παραγενόμενος ἐς Σικυωνίαν, ἐν Τιτάνῃ τὸ Ἀσκληπίειον ἐποίησε. περιοικοῦσι μὲν δὴ καὶ ἄλλοι, καὶ τὸ πολὺ οἱ ἱκέται [8]) τοῦ θεοῦ, καὶ κυπαρίσσων ἐστὶν ἐντὸς τοῦ περιβόλου δένδρα ἀρχαῖα. τὸ δὲ ἄγαλμα οὔτε ὁποίου ξύλου γέγονεν ἢ μετάλλου μαθεῖν ἐστιν, οὔτε τὸν ποιήσαντα ἴσασιν, πλὴν εἰ μή τις ἄρα ἐς αὐτὸν τὸν Ἀλεξάνορα ἀναφέροι. Φαίνεται δὲ τοῦ ἀγάλματος πρόσωπον μόνον,

5) σφίσιν δ' αὐτὸ] Cod. V. σφίσιν δ' αὐτά. Amasaeus legisse videtur σφίσιν δ' αὐτοὶ — εἰσὶν, scil. βωμοί. Quam lectionem admodum probandam duco.

6) δοκεῖν δὲ ἐμοὶ] Uterque Codex δοκεῖ δὲ ἐμοί. Paullo post pro φυλάξαι uterque Cod. exhibet φυλάξας.

7) δένδρων] Pro vulgata δένδρον reposui ex Cod. Vindob. δένδρων.

8) οἱ ἱκέται] Vulgata οἰκεῖται prorsus alieno loco erat; *Amas.* vero legisse videtur οἱ οἰκέται, vertens *dei ipsius servi*. Genuinam tamen lectionem οἱ ἱκέται, *supplices*, restituere non haesitavi, suffragantibus aliis Pausaniae locis. Sic L. II. C. 27. de templo Aesculapii τοῦ ναοῦ δέ ἐστι τέραν, ἔνθα οἱ ἱκέται τοῦ θεοῦ καθεύδουσιν, et L. X. C. 32. ἐκτὸς μὲν δὴ τοῦ περιβόλου τοῖς τε ἱκέταις καὶ ὅσοι τοῦ θεοῦ δοῦλοι, τούτοις μὲν ἐνταῦθά εἰσι καὶ οἰκήσεις. Similiter τοὺς ἱκέτας reponendum est pro τοὺς οἰκέτας L. II. C. 13., ubi vid. not. De crebra harum vocum permutatione vid. Alberti ad Hesych. v. ἱκέτης.

μόνον, καὶ ἄκρα, χεῖρες καὶ πόδες [9]). χιτὼν γάρ οἱ λευκὸς ἐρεοῦς καὶ ἱμάτιον ἐπιβέβληται. καὶ Ὑγείας δ' ἔστι κατὰ ταυτὸν [10]) ἄγαλμα· οὐκ ἂν οὐδὲ τοῦτο ἴδοις ῥᾳδίως, οὕτω περιέχουσιν αὐτὸ κόμαι τε γυναικῶν, αἳ κείρονται τῇ θεῷ, καὶ ἐσθῆτος Βαβυλωνίας τελαμῶνες. ᾧ δ' ἂν ἐνταῦθα τούτων ἱλάσασθαι θελήσῃ τις, ἀποδέδεικται οἱ τὸ αὐτὸ σέβεσθαι τοῦτο,
7 ὃ δὴ καὶ Ὑγίειαν καλοῦσι [11]). Τῷ δὲ Ἀλεξάνορι καὶ Εὐαμερίωνι (καὶ γὰρ τούτοις ἀγάλματά ἐστι) τῷ μὲν ὡς ἥρωϊ μετὰ ἥλιον δύνοντα [12]) ἐναγίζουσιν· Εὐαμερίωνι δὲ ὡς θεῷ θύουσιν. εἰ δὲ ὀρθῶς εἰκάζω, τὸν Εὐαμερίωνα τοῦτον Περγαμηνοὶ Τελεσφόρον ἐκ μαντεύματος, Ἐπιδαύριοι δὲ Ἀκέσιον ὀνομάζουσι. τῆς δὲ Κορωνίδος, ἔστι μὲν καὶ ταύτης [13]) ξόανον, καθίδρυται δὲ οὐδαμοῦ τοῦ ναοῦ. θυομένων δὲ τῷ θεῷ ταύρου καὶ ἀρνὸς καὶ ὗος, ἐς Ἀθηνᾶς ἱερὸν τὴν Κορωνίδα μετενεγκόντες, ἐνταῦθα τιμῶσιν. ὁπόσα δὲ τῶν θυομένων καθαγίζουσιν, οὐδὲ ἀποχρᾷ σφισιν ἐκτέμνειν τοὺς μηροὺς, καμαὶ δὲ καίουσι πλὴν τοὺς ὄρνιθας,
8 τούτους δὲ ἐπὶ τοῦ βωμοῦ. Τὰ δὲ ἐν τοῖς ἀετοῖς [14]), Ἡρακλῆς καὶ Νῖκαι πρὸς τοῖς πέρασίν εἰσιν. ἀνάκειται

9) κ. ἄκρα, χεῖρες etc.] Cod. Mosc. κ. ἄκραι χεῖρες.

10) κατὰ ταυτὸν] Forte κατὰ ταυτὸ scribendum sit.

11) ᾧ δ' ἂν ἐνταῦθα τούτων ἱλ. θ. τ. etc.] *Sylb.* et *Kuhn.* scribendum putant ὃ δ' ἂν etc, ut sententia sit: *quodcunque autem horum numinum placare hic aliquis voluerit, ei illud ipsum venerari declaratur, quod Ὑγιείαν vocant.*

12) δύναντα] Cod. Caſ. legit δύοντα, ſed δύναντα recte ſe habere, patet ex Kuhnii Indice ad Aelian. V. H. h. v.

13) κ. ταύτης] Forte malis ταύτῃ.

14) Τὰ δὲ ἐν τ. ἀετοῖς] ſcil. τοῦ Ἀσκληπιείου.

κειται δὲ ἀγάλματα ἐν τῇ στοᾷ, Διονύσου καὶ Ἑκάτης, Ἀφροδίτη τε καὶ Δημήτης καὶ θεῶν τύχη [15]). ταῦτα μὲν ξόανα, λίθου δὲ Ἀσκληπιὸς ἐπίκλησιν Γορτύνιος. παρὰ δὲ τοὺς δράκοντας εἰσιέναι τοὺς ἱεροὺς οὐκ ἐθέλουσιν ὑπὸ δείματος· καταθέντες δέ σφισιν πρὸ τῆς ἐσόδου τροφὴν, οὐκ ἔτι πολυπραγμονοῦσι. Κεῖται δὲ χαλκοῦς ἀνὴρ ἐντὸς τοῦ περιβόλου Γρανιανὸς Σικυώνιος, νίκας ὃς [16]) ἀνείλετο Ὀλυμπιάσι, δύο μὲν πενταθλου, καὶ σταδίου τὴν τρίτην, διαύλου δὲ ἀμφότερα, καὶ γυμνὸς καὶ μετὰ τῆς ἀσπίδος. Ἐν δὲ Τι- 9
τάνῃ καὶ Ἀθηνᾶς ἱερόν ἐστιν, ἐς ὃ τὴν Κορωνίδα ἀνάγουσιν· ἐν δὲ αὐτῷ ξόανον Ἀθηνᾶς ἐστιν ἀρχαῖον· κεραυνωθῆναι δὲ καὶ τοῦτο ἐλέγετο.

CAPUT XII.

De ventorum ara eorumque ſacris — Eliſſone et Sytha fluminibus — Phliaſia — Arante, urbis Arantiae conditore — Aſopo — Araethyrea — Phliante.

Ἐκ τούτου τοῦ λόφου καταβᾶσιν (ᾠκοδόμηται γὰρ ἐπὶ τῷ λόφῳ τὸ ἱερὸν) βωμός ἐστιν ἀνέμων, ἐφ' οἷς τοῖς ἀνέμοις ὁ ἱερεὺς μιᾷ νυκτὶ ἀνὰ πᾶν ἔτος θύει. δρᾷ δὲ καὶ ἄλλα ἀπόῤῥητα ἐς βόθρους τέσσαρας, ἡμερούμενος τῶν πνευμάτων τὸ ἄγριον, καὶ δὴ καὶ Μηδείας,

15) καὶ θεῶν τύχη] Cod. M. dat θεῶν καὶ τύχη, quod non repudiandum puto; ſic enim, ſi poſt θεῶν comma ponas, hoc ad ἀγάλματα referre, et novo nomine, *deorum fortuna*, ſupersedere poſſis. Si hariolari liceret, legendum eſſe conjicerem καὶ μήτης θεῶν καὶ τύχη.

16) ὃς] Vulgata ἃς nullo modo ferri poterat, quare ὃς reſcripſi, adſtipulantibus *Sylb.* et *Kuhnio.*

Μηδείας, ὡς λέγουσιν, ἐπῳδὰς ἐπάδει. ἐκ δὲ Τι-
τάνης ἐς Σικυῶνα ἀφικομένοις καὶ καταβαίνουσιν ἐς
θάλασσαν ἐν ἀριστερᾷ τῆς ὁδοῦ, ναὸς Ἥρας, οὐκ ἔχων
ἔτι οὔτε ἄγαλμα, οὔτε ὄροφον. τὸν δὲ ἀναθέντα
2 Προῖτον εἶναι τὸν Ἄβαντός φασι. Καταβᾶσι δὲ ἐς
τὸν Σικυωνίων καλούμενον λιμένα καὶ τραπεῖσιν ἐπ'
Ἀριστοναύτας τὸ ἐπίνειον τὸ Πελληναίων [1]) ἐστὶν ὀλίγον
ὑπὲρ τὴν ὁδὸν ἐν ἀριστερᾷ Ποσειδῶνος ἱερόν· προβλ-
θοῦσι δὲ κατὰ τὴν λεωφόρον Ἑλισσῶν τε καλούμε-
νος ποταμὸς, καὶ μετ' αὐτὸν Σύθας ἐστὶν, ἐκδιδόντες
ἐς θάλασσαν.

3 Ἡ δὲ Φλιασία τῆς Σικυωνίων ἐστὶν ὅμορος, καὶ
Τιτάνης μὲν τεσσαράκοντα σταδίους ἀπέχει μάλιστα ἡ
πόλις, ἐκ Σικυῶνος δὲ ἐς αὐτὴν ὁδός ἐστιν εὐθεῖα. καὶ
ὅτι μὲν Ἀρκάσι Φλιάσιοι προσήκουσιν οὐδὲν, δηλοῖ
τὰ ἐς τὸν Ἀρκάδων κατάλογον τῆς Ὁμήρου ποιήσεως,
ὅτι οὐκ εἰσὶν Ἀρκάσι καὶ οὗτοι συγκατειλεγμένοι· ὡς
δὲ Ἀργεῖοί τε ἦσαν ἐξ ἀρχῆς, καὶ ὕστερον Δωριεῖς γε-
γόνασιν Ἡρακλειδῶν κατελθόντων εἰς Πελοπόννησον,
φανεῖται προϊόντι ὁμοῦ τῷ λόγῳ. διάφορα δὲ ἐς
τοὺς Φλιασίους τὰ πολλὰ εἰδὼς εἰρημένα, τοῖς μά-
4 λιστα αὐτῶν ὡμολογημένοις χρήσομαι. Ἐν τῇ γῇ
ταύτῃ γενέσθαι πρῶτον Ἀραντά φασιν ἄνδρα αὐ-
τόχθονα· καὶ πόλιν τε ᾤκισε περὶ τὸν βουνὸν τοῦτον,
ὃς Ἀραντῖνος ἔτι καλεῖται καὶ ἐς ἡμᾶς, οὐ πολὺ ἑτέ-
ρου λόφου διεστηκώς, ἐφ' οὗ Φλιασίοις ἥ τε ἀκρόπολις
καὶ τῆς Ἥβης ἐστὶ τὸ ἱερόν. ἐνταῦθά τε δὴ πόλιν
ᾤκισε, καὶ ἀπ' αὐτοῦ τὸ ἀρχαῖον ἡ γῆ καὶ ἡ πόλις
5 Ἀραντία ἐκλήθησαν. Τούτῳ βασιλεύοντι, Ἀσωπὸς
Κηγλού-

1) Ἀριστοναύτας — Πελληναίων] Vid. L. VII. C. 26. in fine.

Κηγλούσης εἶναι λεγόμενος καὶ Ποσειδῶνος, ἐξεῦρε τοῦ ποταμοῦ τὸ ὕδωρ, ὄντινα οἱ νῦν ἀπὸ τοῦ εὑρόντος καλοῦσιν Ἀσωπόν. τὸ δὲ μνῆμα τοῦ Ἀραντός ἐστιν ἐν χωρίῳ Κελεαῖς [2]), ἔνθα δὴ καὶ Δυσαύλην ἄνδρα Ἐλευσίνιον τετάφθαι λέγουσιν. Ἄραντος δὲ υἱὸς Ἄορις καὶ θυγάτηρ ἐγένετο Ἀραιθυρέα [3]). τούτους φασὶ Φλιάσιοι θηράσαι τε ἐμπείρους γενέσθαι, καὶ τὰ ἐς πόλεμον ἀνδρείους. προαποθανούσης δὲ Ἀραιθυρέας, Ἄορις ἐς μνήμην τῆς ἀδελφῆς μετωνόμασεν Ἀραιθυρέαν τὴν χώραν. καὶ ἐπὶ τῷδε Ὅμηρος τοὺς Ἀγαμέμνονος ὑπηκόους καταλέγων τὸ ἔπος ἐποίησεν·

Ὀρνειάς τ' ἐνέμοντο, Ἀραιθυρέην τ' ἐρατεινήν.

τάφους δὲ τῶν Ἀραντος παίδων οὐχ ἑτέρωθι ἡγοῦμαι τῆς χώρας, ἐπὶ τῷ λόφῳ δὲ εἶναι τῷ Ἀραντίῳ [4])· καί σφισιν ἐπὶ Δήμητρος σῆλαι περιφανεῖς εἰσι [5]), καὶ πρὸ τῆς τελετῆς ἐν τῷ Δήμητρος ᾄδουσιν Ἄραντα, καὶ τοὺς παῖδας καλοῦσιν ἐπὶ τὰς σπονδὰς, ἐς ταῦτα βλέποντες τὰ μνήματα. Φλίαντα δὲ, ὃς τρίτον [6]) 6 τοῦτο

2) Κελεαῖς] Restitui pro vulgata Κελαιναῖς, ex Cod. Vind. et Mosc., capite 14. veritatem hujus lectionis satis superque declarante. Palmer. Exerc. p. 372. sic emendandum esse jam monuerat.

3) Ἀραιθυρέα] Ex Cod. V. et Mosc. constanter fere sic scribentibus, cum vulgatum esset Ἀραιθυραία, et *Sylb.* — ρέα scribendum esse jam conjecisset. Stephan. quoque habet Ἀραιθυρέα, ubi vid. Berkel. Locus Homeri de Araethyrea est Il. B. v. 571.

4) τῷ Ἀραντίῳ] C. 14. est Ἀράντειος τάφος et paullo ante Ἀραντῖνος βουνός. Stephan. agnoscit Ἀραντῖνος. Forte etiam hic ita scribendum sit.

5) ἐπὶ Δήμητρος — περιφανεῖς εἰσι] Cod. Vind. et Mosc. exhibent ἐπὶ Δήμητρα, sicuti etiam paullo infra pro ἐν τῷ Δημητρος Cod. Vind. dat ἐν τῷ Δήμητρι, utrumque mendose. Pro περιφανεῖς in Cod. Mosc. legitur περιφερεῖς, quod haud absurdum.

6) τρίτον] Uterque Codex τρίτος.

τοῦτο ἐποίησεν ὄνομα ἀΦ' αὑτοῦ τῇ γῇ, Κάσου [7]) μὲν παῖδα εἶναι τοῦ Τημένου, κατὰ δὴ τὸν Ἀργείων λόγον, οὐδὲ ἀρχὴν ἔγωγε προσίεμαι. Διονύσου δὲ οἶδα καλούμενον, καὶ τῶν πλευσάντων ἐπὶ τῆς Ἀργοῦς καὶ τοῦτον γενέσθαι λεγόμενον. ὁμολογεῖ δέ μοι καὶ τοῦ Ῥοδίου ποιητοῦ [8]) τὰ ἔπη·

Φλίας αὖτ' ἐπὶ [9]) τοῖσιν Ἀραιθυρέηθεν ἵκανεν,
Ἔνθ' ἀΦνειὸς ἔναιε Διωνύσοιο ἔπειτα
Πατρὸς ἑοῦ πηγῇσιν ἐΦέστιος Ἀσωποῖο.

τοῦδε Φλίαντος Ἀραιθυρέαν εἶναι μητέρα, ἀλλ' οὐ ΧθονοΦύλην, ΧθονοΦύλην δὲ οἱ συνοικῆσαι, καὶ Ἀνδροδάμαν [10]) γενέσθαι Φλίαντι ἐξ αὐτῆς.

7) Κάσου] Κείσου scribendum esse, jam Palmer. p. 372. monuit; inter Temeni filios enim Κείσος, non Κάσος, est. Vid. C. 19.

8) τοῦ Ῥοδίου ποιητοῦ] Apollonii Rhodii, cujus Argonautica versus laudatos exhibent L. I. v. 115 — 117.

9) Φλίας αὖτ' ἐπὶ] Cod. V. Φλίας τ' αὖτ' ἐπὶ, et textus Apollon. ed. Hoelzlini Φλείας δ' αὖτ' ἐπὶ, ubi conferenda sunt scholia. Mox pro Διωνύσοιο Cod. Vind. habet Διονύσοιο.

10) ΧθονοΦύλην — Ἀνδροδάμαν] Vid. supra C. 6. et schol. ad Apollon. l. c. Cod. Vind. pro Ἀνδροδάμαν exhibet Ἀνδρομάδαν et Cod. Opor. mavult Ἀνδροδάμαντα.

CAPUT

CAPUT XIII.

De Phliuntis ſtatu Heraclidarum adventu turbato — Pythagorae majoribus — Ganymedis vel Hebes luco et cultu — templis et ſignis in arce Phliuſ. — caprae ſacrae cultu — Ariſtia et Pratina, dramatum ſatyricorum ſcriptoribus — domo fatidica Amphiarai — umbilico Peloponneſi — de Hercule et Cyatho narratio.

Ἡρακλειδῶν δὲ κατελθόντων, Πελοπόννησος ἐταράχθη πᾶσα πλὴν Ἀρκάδων, ὡς πολλὰς μὲν τῶν πόλεων συνοίκους ἐκ τοῦ Δωρικοῦ προσλαβεῖν, πλείονας δὲ ἔτι γενέσθαι τὰς μεταβολὰς τοῖς οἰκήτορσι. τὰ δὲ κατὰ Φλιοῦντα οὕτως ἔχει. Ῥηγνίδας ἐπ' αὐτὴν ὁ Φάλκου τοῦ Τημένου Δωριεὺς ἔκ τε Ἄργους στρατεύει καὶ ἐκ τῆς Σικυωνίας. τῶν δὲ Φλιασίων τοῖς μὲν, ἃ προσκαλεῖτο Ῥηγνίδας, ἐφαίνετο ἀρεσκά, μένοντας ἐπὶ τοῖς αὐτῶν βασιλέα Ῥηγνίδαν καὶ τοὺς σὺν ἐκείνῳ Δωριεῖς ἐπὶ ἀναδασμῷ γῆς δέχεσθαι· Ἵππασος δὲ καὶ οἱ σὺν αὐτῷ διεκελεύοντο ἀμύνεσθαι, μηδὲ πολλῶν καὶ ἀγαθῶν [1]) ἁμαχεὶ τοῖς Δωριεῦσιν ἀφίεσθαι. προεμένου δὲ τοῦ δήμου τὴν ἐναντίαν ταύτην γνώμην [2]), οὕτως Ἵππασος σὺν τοῖς θέλουσιν ἐς Σάμον φεύγει. Ἱππάσου δὲ τούτου 2
τέταρτος ἦν ἀπόγονος Πυθαγόρας ὁ λεγόμενος γενέσθαι

1) ἀγαθῶν] abeſt in Cod. Vindob.

2) προεμένου — τὴν ἐναντίαν ταύτην γν.] *Kuhn.* haud temere emendandum cenſet προεμένου — τὴν ἐναντίαν ταύτῃ γνώμην, *quum ſententiam huic contrariam amplecteretur populus.* Sed vulgata commodam quoque ſententiam exhibet, *cum hanc ſententiam priori contrariam repudiaret populus.*

σθαι σοφός. Μνησάρχου γὰρ Πυθαγόρας ἦν τοῦ Εὔφρονος τοῦ Ἱππάσου [3]). ταῦτα μὲν Φλιάσιοι λέγουσι περὶ αὐτῶν, ὁμολογοῦσι δὲ σφισι τὰ πολλὰ καὶ Σικυώνιοι.

3 Προσέσται δὲ ἤδη καὶ τῶν ἐς ἐπίδειξιν ἡκόντων τὰ ἀξιολογώτατα. ἔστι γὰρ ἐν τῇ Φλιασίων ἀκροπόλει κυπαρίσσων ἄλσος, καὶ ἱερὸν ἁγιώτατον ἐκ παλαιοῦ· τὴν δὲ θεὸν, ἧς ἐστι τὸ ἱερὸν, οἱ μὲν ἀρχαιότατοι Φλιασίων Γανυμήδαν, οἱ δὲ ὕστερον Ἥβην ὀνομάζουσιν· ἧς καὶ Ὅμηρος [4]) μνήμην ἐποιήσατο ἐν τῇ Μενελάου πρὸς Ἀλεξάνδρου μονομαχίᾳ, φάμενος οἰνοχόον τὴν θεὸν εἶναι [5])· καὶ αὖθις Ὀδυσσέως ἐς ᾅδου καθόδῳ [6]) γυναῖκα Ἡρακλέους εἶπεν εἶναι. Ὠλῆνι δὲ ἐν Ἥρας ἐστὶν ὕμνῳ πεποιημένα, τραφῆναι τὴν Ἥραν ὑπὸ Ὡρῶν, εἶναι δὲ οἱ παῖδας Ἄρην τε καὶ Ἥβην. παρὰ δὲ Φλιασίοις τῇ θεῷ ταύτῃ καὶ ἄλλαι τιμαὶ, καὶ μέγιστον τὸ ἐς τοὺς ἱκέτας [7]) ἐστί· δεδώκασι γὰρ δὴ ἄδειαν ἐνταῦθα ἱκετεύουσιν· λυθέντες δὲ οἱ δεσμῶται τὰς πέδας πρὸς τὰ ἐν τῷ ἄλσει δένδρα ἀνατιθέασιν. ἄγεται δὲ καὶ ἑορτὴ σφισιν ἐπέτειος, ἣν καλοῦσι κισσοτόμους. ἄγαλμα δὲ οὔτε ἐν ἀπορρήτῳ φυλάσσουσιν οὐδὲν, οὔτε ἔστιν ἐν φανερῷ δεικνύμενον· ἐφ' ὅτῳ δὲ οὕτω νομίζουσιν,

3) τοῦ Εὔφρονος τοῦ Ἱππάσου] Laërt. VIII. f. 1. Εὔφρων dicitur Εὐτύφρων et Hippasus filius Eutyphronis.

4) Ὅμηρος] Il. Δ. v. 2. 3.

5) οἰνοχόον τὴν θεὸν εἶναι] Cod. Mosc bene dat οἰνοχόον τῶν θεῶν εἶναι, et *Kuhn.* scribendum esse conjecerat τὴν θεῶν οἰνοχόον εἶναι.

6) Ὀδυσσέως ἐς ᾅδου καθόδῳ] Locus Homeri est Odyss. Λ. v. 602. Paulo infra pro Ἄρην Cod. Vind. habet Ἄρτην.

7) τοὺς ἱκέτας] Mendose vulgatum fuit τοὺς οἰκέτας, sed quae statim sequuntur, declarant, ἱκέτας scribendum esse, sicuti et Amasaeus interpretatur *supplices.*

σιν, ἱερός ἐστιν αὐτοῖς λόγος. ἐπὶ τῆς ἀγορᾶς ἐστιν [8]) ἐξιόντων ἐν ἀριστερᾷ ναός, ἄγαλμα ἔχων Παρίου λίθου. ἐν δὲ τῇ ἀκροπόλει καὶ ἄλλος περίβολός ἐστιν ἱερὸς Δήμητρος, ἐν δὲ αὐτῷ ναός τε καὶ ἄγαλμα Δήμητρος καὶ τῆς παιδός. τὸ δὲ τῆς Ἀρτέμιδος (ἔστι γὰρ καὶ Ἀρτέμιδος ἐνταῦθα χαλκοῦν ἄγαλμα) ἐφαίνετο [9]) ἀρχαῖον εἶναί μοι. κατιόντων δὲ ἐκ τῆς ἀκροπόλεώς ἐστιν Ἀσκληπιοῦ ναὸς ἐν δεξιᾷ, καὶ ἄγαλμα οὐκ ἔχον πω γένεια. ὑπὸ τοῦτον τὸν ναὸν θέατρον πεποίηται. τούτου δὲ οὐ πόρρω Δήμητρός ἐστιν ἱερὸν, καὶ καθήμενα ἀγάλματα ἀρχαῖα. Ἀνάκειται δὲ ἐπὶ 4
τῆς ἀγορᾶς αἴξ χαλκῆ, τὰ πολλὰ ἐπίχρυσος· παρὰ δὲ Φλιασίοις τιμὰς ἐπὶ τῶνδε εἴληφε [10]). τὸ ἄστρον ἣν ὀνομάζουσιν αἶγα, ἀνατέλλουσα τὰς [11]) ἀμπέλους λυμαίνεται συνεχῶς. ἵνα δὲ ἄχαρι μηδὲν ἀπ' αὐτῆς γένηται, οἵδε τὴν ἐπὶ τῆς ἀγορᾶς χαλκῆν αἶγα ἄλλοις τε τιμῶσι καὶ χρυσῷ τὸ ἄγαλμα ἐπικοσμοῦντες. Ἐνταῦθά ἐστι καὶ Ἀριστίου μνῆμα τοῦ Πρατί- 5
νου [12]). τούτῳ τῷ Ἀριστίᾳ σάτυροι καὶ Πρατίνᾳ τῷ πα-

8) ἐπὶ τῆς ἀγορᾶς ἐστιν etc.] In his duo offendunt, primum, quod forum memoratur, cum de memorandis in arce sermo sit, dein, quod non declaratur, cujusnam dei vel deae templum et signum hic positum sit. Utrumque vero optime expediunt Codices; Vindob. enim exhibet ἐπεί γε τῆς Ἥρας ἐστίν, et Mosc. ἐπεὶ τῆς Ἥρας ἐστίν. Sic ἐπεί γε ad antecedens ἱερός — λόγος referendum esset, nec temeritatis arguendus mihi viderer, si haec in textum recepissem.

9) ἐφαίνετο] Uterque Codex ὃ ἐφαίνετο, in quo verae lectionis vestigium mihi inesse videtur. Scribendum scilicet οὐκ ἐφαίνετο.

10) ἐπὶ τῶνδε εἴλ.] Lib. Casaub. recte scribit ἐπὶ τῷδε, uti saepius in Pausania est.

11) τὰς] Ex Cod. Vind. τὰς reposui pro vulgata τούς. *Sylb.* jam ita conjecerat.

12) Ἀριστίου μν. τοῦ Πρατίνου] Cod. Vindob. Ἀριστείου. Aristias Phliasius ab Athenaeo XV. C. 10. p. 686. A. semel memoratur, ex ejus Κηρσὶ versus duos excitante; et in Polluce IX. s. 43. ex Ἀριστείου vel Ἀρι-

τρί εἰσι πεποιημένοι πλὴν τῶν Αἰσχύλου δοκιμώτατα.
6 Ὄπισθεν δὲ τῆς ἀγορᾶς ἐστιν οἶκος ὀνομαζόμενος ὑπὸ Φλιασίων μαντικός. ἐς τοῦτον Ἀμφιάραος ἐλθὼν καὶ τὴν νύκτα ἐγκατακοιμηθεὶς μαντεύεσθαι τότε πρῶτον, ὡς οἱ Φλιάσιοί φασιν, ἤρξατο· τέως δὲ ἦν Ἀμφιάραος τῷ ἐκείνων λόγῳ ἰδιώτης τε καὶ οὐ μάντις· καὶ τὸ οἴκημα ἀπὸ τούτου συγκέκλεισται τὸν πάν-
7 τα ἤδη χρόνον. Οὐ πόρρω δέ ἐστιν ὁ καλούμενος Ὀμφαλὸς, Πελοποννήσου δὲ πάσης μέσον [13]), εἰ δὴ τὰ ὄντα εἰρήκασιν. ἀπὸ δὲ τοῦ Ὀμφαλοῦ προελθοῦσι, Διονύσου σφίσιν ἱερόν ἐστιν ἀρχαῖον, ἔστι δὲ καὶ Ἀπόλλωνος, καὶ ἄλλο Ἴσιδος. τὸ μὲν δὴ ἄγαλμα τοῦ Διονύσου δῆλον πᾶσιν, ὡσαύτως δὲ καὶ τὸ τοῦ Ἀπόλλωνος· τὸ δὲ τῆς Ἴσιδος τοῖς ἱερεῦσι θεάσασθαι μόνον
8 ἐστί. Λέγεται δὲ καὶ ὧδε ὑπὸ Φλιασίων [14]) λόγος, Ἡρακλέα, ὅτ' ἐκ Λιβύης ἀνεσώθη κομίζων τὰ μῆλα τὰ Ἐσπερίδων καλούμενα, ἐς Φλιοῦντα ἐλθεῖν κατὰ δή τι ἴδιον, διαιτωμένου δὲ ἐνταῦθα, Οἰνέα ἐξ Αἰτωλίας ἀφικέσθαι παρ' αὐτόν· ἐγεγόνει δὲ τῷ Ἡρακλεῖ πρότερον ἔτι κηδεστής, τότε δὲ ἀφιγμένος εἰσία τὸν Ἡρακλέα, ἣ αὐτὸς εἰσιᾶτο ὑπὸ ἐκείνου· Κύαθον [15]) δ' οὖν

Ἀρισίαν Orpheo versus exhibetur. De Pratina plura habet Suidas, qui poëtam tragicum ejusdem cum Aeschylo aetatis fuisse et primum satyricas fabulas scripsisse refert. Ex iis plures versus laudat Athenaeus De Satyris vid. Casaub. de satyr. poësi etc. L. I. C. 5.

13) Ὀμφαλὸς — μέσον] Plurium terrarum hujusmodi umbilici apud veteres fuere. Sic Paphos secundum Hesych. v. γῆς ὀμφαλός. conf. Casaub ad Strab. L. IX. p. 642. Notissimus ὀμφαλὸς Delphorum urbs, quae orbis terrarum umbilicus ferebatur. Vid. Paus. L. X. C. 16.

14) ὑπὸ Φλιασ.] Uterque Codex ἀπό.

15) Κύαθον] Eadem paullo aliter de Cyatho narrant schol. ad Apollon. L. I. v. 1212 De nominis hujus pueri apud alios varie-

οὖν παῖδα οἰνοχόον Οἰνέως, οὐκ ἀρεσθεὶς τῷ δοθέντι πώματι, παίει τῶν δακτύλων ἑνὶ ἐς τὴν κεφαλήν· ἀποθανόντος δὲ αὐτίκα ὑπὸ τῆς πληγῆς, Φλιασίοις ἐστὶν οἴκημα ἐς μνήμην. τοῦτο ᾠκοδόμηται μὲν παρὰ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος, ἀγάλματα δὲ λίθου πεποιημένα ἔχει κύλικα ὀρέγοντα Ἡρακλεῖ τὸν Κύαθον.

CAPUT XIV.

De vico Celeae dicto — Cereris initiis — Dysaule — Arante.

Τῆς δὲ πόλεως αἱ Κελεαὶ πέντε που σταδίους μάλιστα ἀπέχουσι· καὶ τῇ Δήμητρι ἐνταῦθα δι' ἐνιαυτοῦ τετάρτου [1]) τὴν τελετὴν, καὶ οὐ κατὰ ἔτος ἄγουσιν. ἱεροφάντης δὲ οὐκ ἐς τὸν βίον πάντα ἀποδέδεικται, κατὰ δὲ ἑκάστην τελετὴν ἄλλοτέ ἐστιν ἄλλος σφίσιν αἱρετὸς, λαμβάνων, ἣν ἐθέλῃ, καὶ γυναῖκα. καὶ ταῦτα μὲν διάφορα τῶν ἐν Ἐλευσῖνι ὀνομάζουσι [2])· τὰ δὲ ἐς αὐτὴν τὴν τελετὴν ἐκείνων ἐστὶν εἰς μίμησιν· ὁμολογοῦσι δὲ καὶ αὐτοὶ μιμεῖσθαι Φλιάσιοι τὰ ἐν Ἐλευσῖνι δρώμενα. Δυσαύλην [3]) δέ φασιν ἀδελφὸν 2

P 3 Κελεοῦ,

varietate vid. Heyne V. C. ad Apollod. p. 468.

1) δι' ἐνιαυτοῦ τετάρτου] τετάρτου, quod incuria tantum in editione Kuhnii excidisse videtur, ex utroque Codice et Amasaei interpretatione restitui, sententia numeri rationem postulante.

2) ὀνομάζουσι] *Sylb.* pro λέγουσι dictum esse putat, uti L. II. C. 19. ὀνομάζοντες Φορωνέως εἶναι, L. VIII. C. 36. ἱερὸν μάλιστα εἶναι Πανὸς ὀνομάζουσιν. At in his locis infinitivus subsequitur, qui hic abest. Quare cum Camerario et Kuhnio sentio, qui νομίζουσι scribendum esse censent.

3) Δυσαύλην] De hoc vid. supra L. I. C. 14. et conf. Clemens Alex. admonit. ad gent. p. 13. ed. Sylb.

Κελεοῦ, παραγενόμενόν σφισιν ἐς τὴν χώραν, κατασήσασθαι τὴν τελετήν, ἐκβληθῆναι δὲ αὐτὸν ἐξ Ἐλευσῖνος ὑπὸ Ἴωνος, ὅτε Ἴων Ἀθηναίοις ὁ Ξούθου πολέμαρχος τοῦ πρὸς Ἐλευσινίους ἠρέθη πολέμου. τοῦτο μὲν δὴ Φλιασίοις οὐκ ἔστιν ὅπως ὁμολογήσω, κρατηθέντα μάχῃ τινὰ Ἐλευσινίων φυγάδα ἀπελαθέντα οἴχεσθαι, τοῦ πολέμου τε ἐπὶ συνθήκαις καταλυθέντος, πρὶν ἢ διαπολεμηθῆναι, καὶ ἐν Ἐλευσῖνι αὐτοῦ καταμείναντος Εὐμόλπου. δύναιτο δ' ἂν κατὰ ἄλλην τινὰ ἐνταῦθα ὁ Δυσαύλης ἀφικέσθαι πρόφασιν, καὶ οὐχ ὡς οἱ Φλιάσιοί φασιν· οὐ μὴν οὐδὲ Κελεῷ προσήκων, ἐμοὶ δοκεῖν [4]), οὐδὲ ἄλλως ἦν ἐν τοῖς ἐπιφανέσιν Ἐλευσινίων· οὐ γὰρ ἄν ποτε Ὅμηρος παρῆκεν αὐτὸν ἐν τοῖς ἔπεσιν. ἔστι γὰρ καὶ Ὁμήρῳ πεποιημένα ἐς Δήμητρα, ἐν δὲ αὐτοῖς καταλέγων τοὺς διδαχθέντας ὑπὸ τῆς θεοῦ τὴν τελετὴν Δυσαύλην οὐδένα οἶδεν Ἐλευσίνιον. ἔχει δὲ οὕτω τὰ ἔπη [5]).

Δεῖξεν [6]) Τριπτολέμῳ τε Διοκλεῖ τε πληξίππῳ,
Εὐμόλπου τε βίῃ, Κελεῷ θ' ἡγήτορι λαῶν,
Δρησμοσύνην ἱερῶν, καὶ ἐπέφραδεν ὄργια πᾶσιν [7]).

οὗτος δ' οὖν, ὡς οἱ Φλιάσιοί φασιν, ὁ Δυσαύλης κατεσήσατο ἐνταῦθα τὴν τελετὴν, καὶ οὗτος ἦν ὁ τῷ χωρίῳ τὸ ὄνομα παραθέμενος Κελεάς. Δυσαύλου τέ ἐστιν

4) ἐμοὶ δοκεῖν] Cod. Vind. ἐμοὶ δοκεῖ, uti facpius in ista dictione.

5) ἔχει δὲ οὕτω τὰ ἔπη] Ex Homeri hymno in Cererem a Ruhnkenio V. C. vulgato, ubi haec v. 479-481. cum varietate quadam lectionis exstant, quam statim indicabimus.

6) Δεῖξεν] In Hymno vulgato est εἶπε. Vid. ibi Ruhnken. V. C.

7) ὄργια πᾶσιν] Hymnus l. c. exhibet ὄργια καλά.

ἔστιν ἐνταῦθα, ὡς εἴρηταί μοι, μνῆμα· πρότερον δὲ ἄρα ἐπεπτοίητο Ἀράντειος τάφος· ὕστερον γὰρ κατὰ τὸν Φλιασίων λόγον, καὶ οὐκ ἐπὶ τῆς Ἄραντος βασιλείας ἀφίκετο ὁ Δυσαύλης. Φλιάσιοι γὰρ Προμηθεῖ γενέσθαι τῷ Ἰαπετοῦ κατὰ τὸν αὐτὸν χρόνον φασὶν Ἄραντα, καὶ τρισὶν ἀνθρώπων γενεαῖς Πελασγοῦ τε εἶναι πρεσβύτερον τοῦ Ἀρκάδος, καὶ τῶν λεγομένων Ἀθήνησιν αὐτοχθόνων. τοῦ δὲ Ἀνακτόρου καλουμένου πρὸς τῷ ὀρόφῳ Πέλοπος ἅρμα λέγουσιν ἀνακεῖσθαι. Φλιασίοις μὲν δὴ τοσαῦτα λόγου μάλιστα ἦν ἄξια. 3

CAPUT XV. *)

De urbe Cleonae appellata, in via versus Argos, et memorandis in ea — vico Nemea et templo Jovis Nemei — Opheltae sepulcro et Nemea Asopi filia — urbis Mycenarum reliquiis — de Phoroneo et Inacho fluvio narratio.

Ἐκ Κορίνθου δ' εἰς Ἄργος ἐρχομένῳ Κλεωναὶ πόλις ἐστὶν οὐ μεγάλη. παῖδα δὲ εἶναι Πέλοπος Κλεώνην λέγουσιν, οἱ δὲ τῷ παρὰ Σικυῶνα ῥέοντι Ἀσωπῷ [1]) θυγατέρα ἐπὶ ταῖς ἄλλαις Κλεώνην γενέσθαι. τὸ δ' οὖν ὄνομα ἀπὸ τοῦ ἑτέρου τούτων ἐτέθη τῇ πόλει. ἐνταῦθά ἐστιν ἱερὸν Ἀθηνᾶς, τὸ δὲ ἄγαλμα Σκύλλιδος τέχνη καὶ Διποίνου· μαθητὰς δὲ εἶναι Δαιδάλου σφᾶς, οἱ

P 4

*) Huic capiti in vulgatis editionibus titulus Ἀργολικὰ praepositus fuit. Quum vero in Cod. Mosc. desit iste, nec ad seriem librorum pertineat, illum omisi.

1) ῥέοντι Ἀσωπῷ] Cod. Vindob pro Ἀσωπῷ dat ποταμῷ, quod glossema esse videtur.

οἱ δὲ καὶ γυναῖκα Γόρτυνος [2]) ἐθέλουσι λαβεῖν Δαίδαλον, καὶ τὸν Δίποινον καὶ Σκύλλιν ἐκ τῆς γυναικὸς οἱ ταύτης γενέσθαι. ἐν Κλεωναῖς δὲ τοῦτό ἐστι τὸ ἱερὸν, καὶ μνῆμα Εὐρύτου καὶ Κτεάτου [3]). Θεωροὺς γὰρ ἐξ Ἤλιδος ἐς τὸν ἀγῶνα ἰόντας τῶν Ἰσθμίων αὐτοὺς ἐνταῦθα Ἡρακλῆς κατετόξευσεν, ἔγκλημα ποιούμενος, ὅτι οἱ πρὸς Αὐγείαν πολεμοῦντι ἀντετάχθησαν. ἐκ Κλεωνῶν δέ εἰσιν ἐς Ἄργος ὁδοὶ δύο· ἡ μὲν ἀνδράσιν εὐζώνοις, καί ἐστιν ἐπίτομος, ἡ δὲ ἐπὶ τοῦ καλουμένου Τρητοῦ [4]), γενὴ μὲν καὶ αὐτὴ περιεχόντων ὀ-
2 ρῶν, ὀχήμασι [5]) δέ ἐστιν ὅμως ἐπιτηδειοτέρα. Ἐν τούτοις τοῖς ὄρεσι τὸ σπήλαιον ἔτι δείκνυται τοῦ λέοντος, καὶ ἡ Νεμέα τὸ χωρίον ἀπέχει σταδίους πέντε που καὶ δέκα. ἐν δὲ αὐτῇ Νεμείου τοῦ Διὸς [6]) ναός ἐστι θέας ἄξιος, πλὴν ὅσον κατερρύηκε τε ὁ ὄροφος, καὶ ἄγαλμα οὐδὲν ἔτι ἐλείπετο. κυπαρίσσων τε ἄλσος ἐστὶν περὶ τὸν ναὸν, καὶ τὸν Ὀφέλτην [7]) ἐνταῦθα ὑπὸ τῆς τροφοῦ τεθέντα ἐς τὴν πόαν διαφθαρῆναι λέγουσιν ὑπὸ τοῦ δράκοντος. Θύουσι δὲ Ἀργεῖοι τῷ Διὶ καὶ ἐν τῇ Νεμέᾳ, καὶ Νεμείου Διὸς ἱερέα αἱροῦνται. καὶ δὴ καὶ δρόμου προτιθέασιν ἀγῶνα ἀνδράσιν ὡπλι-
3 σμένοις Νεμείων πανηγύρει τῶν χειμερινῶν. Ἐνταῦθά

2) γυναῖκα Γόρτυνος] *Kuhn.* γυναῖκα τὴν Γόρτυνος legendum esse conjicit, *Gortynis filiam.*

3) Εὐρύτου καὶ Κτεάτου] Actoris filiorum. Vid. Apollod. II. 7. 2. et ibi Heyne V. C. p. 450. 452.

4) Τρητοῦ] Uterque Cod. Τριτοῦ, sicuti etiam infra Τριτόν.

5) ὀχήμασι] Uterque Cod. ὀχήματι.

6) Νεμείου τοῦ Διὸς] Cod. Vind. hic et paullo inferius Νεμίου, ac Cod. Mosc. Νεμέου. Variat scilicet et hic scriptura, uti in aliis ejusmodi nominibus. *Sylb.* τοῦ delendum, vel vocabulo Νεμείου praeponendum censet.

7) Ὀφέλτην] Vid. Apollodor. III. 6. 4. p. 206. 207.

θά ἐστι μὲν Ὀφέλτου τάφος, περὶ δὲ αὐτὸν θριγγὸς λίθων, καὶ ἐντὸς τοῦ περιβόλου βωμοί. ἔστι δὲ χῶμα γῆς Λυκούργου μνῆμα τοῦ Ὀφέλτου πατρός. τὴν δὲ πηγὴν Ἀδράστειαν ὀνομάζουσιν, εἴτε ἐπ' ἄλλῃ τινὶ αἰτίᾳ, εἴτε καὶ ἀνευρόντος αὐτὴν Ἀδράστου. τὸ δὲ ὄνομα λέγουσι τῇ χώρᾳ Νεμέαν δοῦναι θυγατέρα Ἀσωποῦ. καὶ ταύτῃ καὶ ὄρος Ἀπέσας[8]) ἐστὶν ὑπὲρ τὴν Νεμέαν, ἔνθα Περσέα Διὶ πρῶτον θῦσαι λέγουσιν Ἀπεσαντίῳ. Ἀνελθοῦσι δὲ ἐς τὸν Τρητὸν καὶ αὖθις 4
τὴν ἐς Ἄργος ἰοῦσίν ἐστι Μυκηνῶν ἐρείπια ἐν ἀριστερᾷ. καὶ ὅτι μὲν Περσεὺς ἐγένετο Μυκηνῶν οἰκιστὴς, ἴσασιν Ἕλληνες, ἐγὼ δὲ αἰτίαν τε γράψω τοῦ οἰκισμοῦ, καὶ δι' ἥντινα πρόφασιν Ἀργεῖοι Μυκηναίους ὕστερον ἀνέσησαν· ἐν γὰρ τῇ νῦν Ἀργολίδι ὀνομαζομένῃ τὰ μὲν ἔτι παλαιότερα οὐ μνημονεύουσιν· Ἶναχον δὲ βασιλεύοντα τὸν τότε ποταμὸν[9]) ἀφ' ἑαυτοῦ λέγουσιν ὀνομάσαι, καὶ θῦσαι τῇ Ἥρᾳ. Λέγεται δὲ καὶ ὧδε 5
λόγος· Φορωνέα ἐν τῇ γῇ ταύτῃ γενέσθαι πρῶτον, Ἶναχον δὲ οὐκ ἄνδρα, ἀλλὰ τὸν ποταμὸν πατέρα εἶναι Φορωνεῖ, τοῦτον δὲ Ποσειδῶνι καὶ Ἥρᾳ δικάσαι περὶ τῆς χώρας, σὺν δὲ αὐτῷ Κηφισόν[10]) τε καὶ Ἀσερίωνα καὶ τὸν Ἶναχον ποταμόν· κρινάντων δὲ Ἥρας εἶναι τὴν γῆν, οὕτως φησὶν[11]) ἀφανίσαι τὸ ὕδωρ Ποσειδῶνα. καὶ διὰ τοῦτο οὔτε Ἶναχος ὕδωρ, οὔτε ἄλλος παρέχεται τῶν εἰρημένων ποταμῶν[12]), ὅτι μὴ

 ὕσαν-

8) Ἀπέσας] Vid. Stephan. Byz. h. v.

9) βασιλεύοντα τὸν τότε ποτ.] Kuhn. haud male βασ. τότε τὸν ποτ. corrigendum putat.

10) Κηφισον] Cod. Mosc. Κηφισσὸν, uti et constanter in Strabone scribitur. In Pausania variat scriptura, crebrior tamen est Κηφισσός. Vid. L. IX. C. 24., L. X. C. 8. 33. De Asterione fl. vid. C. 17. init.

11) φησὶν] Cod. Vind. φασὶν, quod Sylb. maluit.

12) οὔτε Ἶναχος ὕδωρ, οὔτε ἄλλος παρέχεται τῶν εἰρ. π.] Sic Cod.

ὕσαντος τοῦ θεοῦ, θέρους δὲ αὖά σφίσιν ἐστι τὰ ῥεύματα, πλὴν τῶν ἐν Λέρνῃ. Φορωνεὺς δὲ ὁ Ἰνάχου τοὺς ἀνθρώπους συνήγαγε πρῶτος [13]) ἐς κοινὸν, σποράδας τέως καὶ ἐφ' ἑαυτῶν ἑκάστοτε οἰκοῦντας· καὶ τὸ χωρίον, ἐς ὃ πρῶτον ἠθροίσθησαν, ἄστυ ὠνομάσθη Φορωνικόν.

CAPUT XVI.

De denominatione regionis Argivae et primis ejus regibus — Proeto, Acrisio et Perseo — urbis Mycenarum ejusque nominis origine — Mycenarum excidio et reliquiis memorandis.

Ἄργος δὲ Φορωνέως θυγατριδοῦς, βασιλεύσας μετὰ Φορωνέα, ὠνόμασεν ἀφ' αὑτοῦ τὴν χώραν. Ἄργου δὲ Πείρασος γίνεται καὶ Φόρβας· Φόρβαντος δὲ Τριόπας· Τριοπα δὲ Ἴασος καὶ Ἀγήνωρ. Ἰὼ μὲν οὖν Ἰάσου θυγάτηρ, εἴτε ὡς Ἡρόδοτος [1]) ἔγραψεν, εἴτε καθ' ὃ λέγουσιν Ἕλληνες, ἐς Αἴγυπτον ἀφικνεῖται. Κροτωπὸς δὲ ὁ Ἀγήνορος ἔσχε μετὰ Ἴασον τὴν ἀρχήν· Κροτωποῦ δὲ Σθενέλας γίνεται. Δαναὸς δ' ἀπ' Αἰγύπτου πλεύσας ἐπὶ Γελάνορα τὸν Σθενέλα τοὺς ἀπογόνους τοὺς Ἀγήνορος βασιλείας ἔπαυσεν. τὰ δὲ ἀπὸ τούτου καὶ οἱ πάντες ὁμοίως ἴσασι, θυγατέρων τῶν Δαναοῦ τὸ ἐς τοὺς ἀνεψιοὺς τόλμημα, καὶ ὡς ἀ-
2 ποθανόντος Δαναοῦ τὴν ἀρχὴν Λυγκεὺς ἔσχεν. Οἱ δὲ Ἀβαν-

Cod. Vind. hunc locum exhibet pro vulgatis Ἰνάχειν et παρέχεται. Aldina quoque Ἴναχος habet, quod Xylander cum Ἰνάχου male mutavit. Nec non Cod. Mosc. exhibet παρέχεται, et *Sylb.* atque *Kuhn.* ista sic restituenda esse jam conjecerant.

13) πρῶτος] Uterque Cod. πρῶτον.

1) Ἡρόδοτος] L. I. c. 1. et 2.

Ἄβαντος τοῦ Λυγκέως παῖδες τὴν βασιλείαν ἐνείμαντο· καὶ Ἀκρίσιος μὲν αὐτοῦ καθέμεινεν [2]) ἐν τῷ Ἄργει, Προῖτος δὲ τὸ Ἡραῖον καὶ Μίδειαν καὶ Τίρυνθα ἔσχε, καὶ ὅσα πρὸς θαλάσσῃ τῆς Ἀργείας. σημεῖά τε τῆς ἐν Τίρυνθι οἰκήσεως Προίτου καὶ ἐς τόδε λείπεται. χρόνῳ δὲ ὕστερον Ἀκρίσιος Περσέα αὐτόν τε περιεῖναι πυνθανόμενος, καὶ ἔργα ἀποδείκνυσθαι, ἐς Λάρισσαν ἀπεχώρησε τὴν ἐπὶ τῷ Πηνειῷ. Περσεὺς δὲ (ἰδεῖν γὰρ πάντως ἤθελε τὸν γονέα τῆς μητρὸς, καὶ λόγοις τε χρηστοῖς καὶ ἔργοις δεξιώσασθαι) ἔρχεται παρ' αὐτὸν ἐς τὴν Λάρισσαν· καὶ ὁ μὲν, οἷα ἡλικίᾳ τε ἀκμάζων καὶ τοῦ δίσκου χαίρων τῷ εὑρήματι, ἐπεδείκνυτο ἐς ἅπαντας· Ἀκρίσιος δὲ λανθάνει καλὰ δαίμονα ὑποπεσὼν τοῦ δίσκου τῇ ὁρμῇ. καὶ Ἀκρισίῳ μὲν ἡ προῤῥήσις τοῦ θεοῦ τέλος ἔσχεν, οὐδὲ ἀπέφευγεν οἱ τὸ χρεὼν τὰ ἐς τὴν παῖδα καὶ τὸν θυγατριδοῦν παρευρήματα [3]). Περσεὺς δὲ ὡς ἀνέστρεψεν ἐς Ἄργος, (ἠ- 3
σχύνετο γὰρ τοῦ Φόνου τῇ Φήμῃ) Μεγαπένθην [4]) τὸν Προίτου πείθει οἱ τὴν ἀρχὴν ἀνταλλάξαι· παραλαβὼν δὲ αὐτὸς τὴν ἐκείνου Μυκήνας κτίζει. τοῦ ξίφους γὰρ ἐνταῦθα ἐξέπεσεν ὁ μύκης αὐτῷ, καὶ τὸ σημεῖον ἐς οἰκισμὸν ἐνόμιζε συμβῆναι πόλεως. ἥκουσα δὲ καὶ ὡς διψῶντι ἐπῆλθεν ἀνελέσθαι οἱ μύκητα ἐκ τῆς γῆς· ῥυέντος δὲ ὕδατος πιὼν καὶ ἡσθεὶς Μυκήνας ἔθετο τὸ ὄνομα

2) κατέμεινεν] Ex Cod. Vind. pro vulgata κατέμενεν. *Sylb.* jam ita scribendum monuerat.

3) Ἀκρίσιος — παρευρήματα] Haec omnia uberius enarrant schol. ad Apollon. L. IV. v. 1091. conf. Apollodor. II. 4. 4. et Clemens Alex. Strom. L. I. p. 323. B. ed. Sylb.

4) Μεγαπένθην] Pro vulgata Μεγαπέ.θη reposui ex utroque Codice, Apollodoro pag. 91. et 101. ita quoque scribente.

ὄνομα τῷ χωρίῳ. Ὅμηρος δὲ ἐν Ὀδυσσείᾳ [5]) γυναικὸς Μυκήνης ἐν ἔπει τῷδε ἐμνήσθη·

Τυρώ τ', Ἀλκμήνη τε, εὐστέφανός τε Μυκήνη.

ταύτην εἶναι θυγατέρα Ἰνάχου, γυναῖκα δὲ Ἀρέστορος, τὰ ἔπη λέγει, ἃ δὴ Ἕλληνες καλοῦσιν Ἠοίας μεγάλας· ἀπὸ ταύτης οὖν γεγονέναι καὶ τὸ ὄνομα τῇ πόλει. ὃν δέ φασι προσποιούμενοι ἀκοῦσαι λόγον [6]), Μυκηνέα υἱὸν εἶναι Σπάρτωνος, Σπάρτωνα δὲ Φορωνέως, οὐκ ἂν ἐγωγε ἀποδεξαίμην, διότι μηδὲ αὐτοὶ Λακεδαιμόνιοι. Λακεδαιμονίοις γὰρ Σπάρτης [7]) μὲν γυναικὸς εἰκὼν ἔστιν ἐν Ἀμύκλαις, Σπάρτωνα δὲ Φορωνέως παῖδα θαυμάζοιεν ἂν καὶ ἀρχὴν ἀκούσαντες [8]).

4 Μυκήνας δὲ Ἀργεῖοι καθεῖλον ὑπὸ ζηλοτυπίας. ἡσυχαζόντων γὰρ τῶν Ἀργείων καλὰ τὴν ἐπιστρατείαν τοῦ Μήδου, Μυκηναῖοι πέμπουσιν ἐς Θερμοπύλας ὀγδοή-

5) Ὅμηρος δὲ ἐν Ὀδυσσείᾳ] Locus est Odyss. B. v. 120.

6) τῇ πόλει. ὃν δὲ φασι προσποιούμενοι ἀκοῦσαι λόγ. etc.] Haec in utroque Codice ita exhibentur, τῇ πόλει φασὶ, ὃν δὲ προσποιοῦσι ἀκοῦσι λ., quibus verae lectionis vestigiis ducibus ita scribendum et interpungendum esse videtur: τῇ πόλει φασί. ὃν δὲ προσποιοῦσι ἀκοῦσαι λόγον etc., *quam autem audisse contendunt famam etc.* Cum his facit *Amasaeus*, qui φασὶ antecedentibus junxit, non sequentibus. De Spartone vid. schol ad Euripid Orest. 1247., ubi Phegei, fratris Phoronei, filius dicitur. Paullo infra pro αὐτοὶ Λακεδαιμόνιοι Cod. Vind. αὐτοὶ οἱ Λακεδ.

7) Σπάρτης] De hac vid. L. III C. 1.

8) θαυμάζοιεν ἂν καὶ ἀρχὴν ἀκούσαντες] Amas *non parva admiratione afficiantur.* Quemadmodum ἀρχὴν, τὴν ἀρχὴν cum particulis negativis οὐ, οὐδὲ, μηδὲ denotat *ne minimum quidem, prorsus non*, de quo significatu copiose egit *Lennep.* ad Phalarid. epistol. (conf. Index ad Aelian. V. H. vid. ἀρχὴ), sic et ἀρχὴν absque illis particulis interdum significare videtur *prorsus, omnino*, uti hoc loco. Attamen hic etiam verti possit *statim cum, simulac (audirent).*

δοήκοντα ἄνδρας, οἱ Λακεδαιμονίοις μετέσχον τοῦ ἔργου. τοῦτο ἤνεγκεν ὄλεθρόν σφισι τὸ φιλοτίμημα παροξύναν Ἀργείους. λείπεται δὲ ὅμως ἔτι καὶ ἄλλα τοῦ περιβόλου, καὶ ἡ πύλη· λέοντες δὲ ἐφεστήκασιν αὐτῇ· Κυκλώπων δὲ καὶ ταῦτα ἔργα εἶναι λέγουσιν, οἱ Προίτῳ [9]) τὸ τεῖχος ἐποίησαν ἐν Τίρυνθι. Μυκηνῶν δὲ ἐν τοῖς ἐρειπίοις κρήνη τέ ἐστι καλουμένη Περσεία, καὶ Ἀλκέως καὶ τῶν παίδων ὑπόγαια οἰκοδομήματα, ἔνθα οἱ θησαυροί σφισι τῶν χρημάτων ἦσαν. τάφος δέ ἐστι μὲν Ἀλκέως, εἰσὶ δὲ καὶ ὅσους σὺν Ἀγαμέμνονι ἐπανήκοντας ἐξ Ἰλίου δειπνίσας καταφόνευσεν Αἴγισθος. τοῦ μὲν δὴ Κασσάνδρας μνήματος ἀμφισβητοῦσι Λακεδαιμονίων οἱ περὶ Ἀμύκλας οἰκοῦντες· ἔστι δὲ ἔστιν Ἀγαμέμνονος. τὸ δὲ Εὐρυμέδοντος τοῦ ἡνιόχου, καὶ Τελεδάμου τὸ αὐτὸ καὶ Πέλοπος (τούτους γὰρ τεκεῖν διδύμους Κασσάνδραν φασί· νηπίους δὲ ἔτι ὄντας ἐπικαλέσφαξε τοῖς γονεῦσιν Αἴγισθος) καὶ Ἡλέκτρας [10]). Πυλάδῃ γὰρ συνῴκησεν Ὀρέστου δόντος. Ἑλλάνικος δὲ καὶ τάδε ἔγραψε· Μέδοντα καὶ Στρόφιον γενέσθαι Πυλάδῃ παῖδας ἐξ Ἠλέκτρας. Κλυταιμνήστρα δὲ ἐλάφῃ καὶ Αἴγισθος ὀλίγον ἀπωτέρω τοῦ τείχους, ἐντὸς δὲ ἀπηξιώθησαν, ἔνθα Ἀγαμέμνων τε αὐτὸς ἔκειτο καὶ οἱ σὺν ἐκείνῳ φονευθέντες.

9) οἱ Προίτῳ] Cod. Mosc. οἱ πρῶτοι. De his muris a Cyclopibus exstructis vid. C. 25. in fine.

10) καὶ Ἠλέκτρας] Haec uterque Codex perperam omisit.

CAPUT

CAPUT XVII.

De Heraeo (Junonis templo) prope Mycenas — monte Euboea et Asterione fluvio — ornamentis Heraei et signis ante illud — Junonis et Hebes signis in illo — donariis in illo — Chryseïde sacerdote Junonis.

Μυκηνῶν δὲ ἐν ἀριστερᾷ πέντε ἀπέχει καὶ δέκα στάδια τὸ Ἡραῖον. ῥεῖ δὲ κατὰ τὴν ὁδὸν ὕδωρ Ἐλευθέριον καλούμενον· χρῶνται δὲ αὐτῷ πρὸς καθάρσια, αἱ περὶ τὸ ἱερὸν καὶ ἐπὶ τῶν θυσιῶν ἑστᾶσιν ἀπορρήτως[1]).
2 Αὐτὸ δὲ τὸ ἱερόν ἐστιν ἐν χθαμαλωτέρῳ τῆς Εὐβοίας. τὸ γὰρ δὴ ὄρος τοῦτο ὀνομάζουσιν Εὔβοιαν, λέγοντες Ἀστερίωνι γενέσθαι τῷ ποταμῷ θυγατέρας, Εὔβοιαν, καὶ Πρόσυμναν, καὶ Ἀκραίαν, εἶναι δὲ σφᾶς τροφοὺς τῆς Ἥρας. καὶ ἀπὸ μὲν Ἀκραίας τὸ ὄρος καλοῦσι τὸ ἀπαντικρὺ τοῦ Ἡραίου, ἀπὸ δὲ Εὐβοίας ὅσον περὶ τὸ ἱερὸν, Πρόσυμναν δὲ τὴν ὑπὸ τὸ Ἡραῖον χώραν. ὁ δὲ Ἀστερίων οὗτος ῥέων ὑπὸ τὸ Ἡραῖον ἐς φάραγγα ἐσπίπτων ἀφανίζεται. Φύεται δὲ αὐτοῦ πόα πρὸς ταῖς ὄχθαις, Ἀστερίωνα ὀνομάζουσι· καὶ τὴν πόαν ταύτην τῇ Ἥρᾳ καὶ αὐτὴν φέρουσι, καὶ ἀπὸ τῶν
3 φύλλων αὐτῆς στεφάνους πλέκουσιν. Ἀρχιτέκτονα μὲν

1) αἱ περὶ τὸ ἱερὸν καὶ ἐπὶ τῶν θυσιῶν ἑστᾶσιν ἀπορρήτως] Cod. Vind. ἃ περὶ τὸ ἱερὸν καὶ τὰς θυσίας ἑστᾶσιν ἀποῤῥήτως, et Cod. Mosc. αἱ περὶ το ἱερὸν καὶ τῶν θυσιῶν ἑστᾶσιν ἀποῤῥήτως. Sic in utroque emendata mixta corruptis. Ἀποῤῥήτως vix ferri posse, *Kuhn.* jam vidit et legendum esse suspicatus est: ἑστᾶσαι ἀποῤῥήτων. Equidem Codice Vind. duce locum ita restituere mallem: αἱ περὶ τὸ ἱερὸν καὶ τὰς θυσίας ἑστᾶσιν ἀποῤῥήτους, *quae* (sc. sacerdotes) *circa templum et sacrificia arcana administranda versantur.*

μὲν δὴ γενέσθαι τοῦ ναοῦ λέγουσιν Εὐπόλεμον Ἀργεῖον. ὁπόσα δὲ ὑπὲρ τοὺς κίονάς ἐστιν εἰργασμένα, τὰ μὲν ἐς τὴν Διὸς γένεσιν καὶ θεῶν καὶ Γιγάντων μάχην ἔχει, τὰ δὲ ἐς τὸν πρὸς Τρωϊαν [2]) πόλεμον καὶ Ἰλίου τὴν ἅλωσιν. ἀνδριάντες τε ἑστήκασι πρὸ τῆς ἐσόδου, καὶ γυναικῶν, αἳ γεγόνασιν ἱέρειαι τῆς Ἥρας, καὶ ἡρώων ἄλλων τε καὶ Ὀρέστου· τὸν γὰρ ἐπίγραμμα ἔχοντα, ὡς εἴη βασιλεὺς Αὔγουσος, Ὀρέστην εἶναι λέγουσιν. ἐν δὲ τῷ προνάῳ τῇ μὲν Χάριτες, ἀγάλματά ἐστιν ἀρχαῖα, ἐν δεξιᾷ δὲ κλίνη τῆς Ἥρας, καὶ ἀνάθημα ἀσπὶς, ἣν Μενέλαός ποτε ἀφείλετο Εὔφορβον ἐν Ἰλίῳ. Τὸ δὲ ἄγαλμα τῆς Ἥρας ἐπὶ θρόνου 4
κάθηται μεγέθει μέγα, χρυσοῦ μὲν καὶ ἐλέφαντος, Πολυκλείτου δὲ ἔργον· ἔπεσι δέ οἱ στέφανος Χάριτας ἔχων καὶ Ὥρας ἐπειργασμένας, καὶ τῶν χειρῶν τῇ μὲν καρπὸν φέρει ῥοιᾶς, τῇ δὲ σκῆπτρον. τὰ μὲν οὖν ἐς τὴν ῥοιὰν (ἀπορρητότερος γάρ ἐστιν ὁ λόγος) ἀφείσθω μοι. κόκκυγα δὲ ἐπὶ τῷ σκήπτρῳ καθῆσθαί Φασι, λέγοντες τὸν Δία, ὅτε ἤρα παρθένου τῆς Ἥρας, ἐς τοῦτον τὸν ὄρνιθα ἀλλαγῆναι, τὴν δὲ ἅτε παίγνιον θηρᾶσαι. τοῦτον τὸν λόγον, καὶ ὅσα ἐοικότα εἴρηται περὶ θεῶν, οὐκ ἀποδεχόμενος γράφω, γράφω δὲ οὐδὲν ἧσσον. Λέγεται δὲ παρεσκευάσθαι τῇ Ἥρᾳ τέχνῃ [3]) 5
Ναυκύδους ἄγαλμα Ἥβης, ἐλέφαντος δὲ καὶ τοῦτο καὶ χρυσοῦ. παρὰ δὲ αὐτὴν ἐστιν ἐπὶ κίονος ἄγαλμα Ἥρας ἀρχαῖον. τὸ δὲ ἀρχαιότατον πεποίηται μὲν ἐξ ἀχράδος, ἀνετέθη δὲ ἐς Τίρυνθα ὑπὸ Πειράσου τοῦ Ἄργου, Τίρυνθα δὲ ἀνελόντες Ἀργεῖοι κομίζουσιν ἐς τὸ Ἡραῖον· ὃ δὴ καὶ αὐτὸς εἶδον, καθήμενον ἄγαλμα

οὐ

2) πρὸς Τρωϊαν] Cod Vind. πρὸς Τρωϊας.

3) τέχνῃ] Uterque Codex hanc vocem omisit.

6 οὐ μέγα. Ἀναθήματα δὲ τὰ ἄξια λόγου, βωμὸς ἔχων ἐπειργασμένον τὸν λεγόμενον Ἥβης καὶ Ἡρακλέους γάμον· οὗτος μὲν ἀργύρου, χρυσοῦ δὲ καὶ λίθων λαμπόντων Ἀδριανὸς βασιλεὺς ταὼν ἀνέθηκεν [4]). ἀνέθηκε δὲ, ὅτι τὴν ὄρνιθα ἱερὰν τῆς Ἥρας νομίζουσι. κεῖται δὲ καὶ στέφανος χρυσοῦς καὶ πέπλος πορφύρας,
7 Νέρωνος ταῦτα ἀναθήματα. Ἔστι δὲ ὑπὲρ τὸν ναὸν τοῦτον τοῦ προτέρου ναοῦ θεμέλιά τε, καὶ εἰ δή τι ἄλλο ὑπελείπετο ἡ φλόξ. κατεκαύθη δὲ, τὴν ἱέρειαν τῆς Ἥρας Χρυσηΐδα [5]) ὕπνου καταλαβόντος, ὅτε ὁ λύχνος πρὸ τῶν στεφανωμάτων ἥπτετο [6]). καὶ Χρυσηὶς μὲν ἀπελθοῦσα ἐς Τεγέαν [7]) τὴν Ἀθηνᾶν τὴν Ἀλέαν ἱκέτευεν· Ἀργεῖοι δὲ, καίπερ κακοῦ τηλικούτου παρόντος σφίσιν, τὴν εἰκόνα οὐ καθεῖλον τῆς Χρυσηΐδος, ἀνάκειται δὲ καὶ ἐς τόδε τοῦ ναοῦ τούτου κατακαυθέντος ἔμπροσθεν.

4) ἀνέθηκεν] In utroque Codice abest. Si δὲ post ἀνέθηκε auferas, prius ἀνέθ. abesse potest.

5) Χρυσηΐδα) Thucyd., qui eadem habet L. IV. f. 133, hoc nomen scribit Χρυσίς. Inde et ex Paus. L. III. C. 2. atque ex aliis Leopard. Emendat L. VI. C. 11. etiam hic ita scribendum esse putat. Codd. vulgatam retinent, et *Kuhn.* Χρυσηὶς Ionice dictum vult.

6) ὅτε ὁ λύχνος πρὸ τῶν στεφανωμάτων ἥπτετο] Paul. Leopard. Emend l. c. hunc Paus. locum excitans πρὸ omittit, et Thucyd. L. IV. f. 133. scribit, Χρυσίδος τῆς ἱερείας λύχνον τινὰ θείσης ἡμμένον πρὸς τὰ στέμματα. Quare *Kuhn.* πρὸ in προϊὼν vel προστιθεὶς mutandum esse suspicatur. Sed omni mutatione omissa ita interpretandum videtur, *cum lucerna ante corollas posita accensa fuisset.*

7) ἐς Τεγέαν] Dissentit Thucyd., qui l. c. illam *Phlianta* aufugisse dicit. Ceterum Codices collati hic monstra lectionis proferunt: Cod. Vind. pro ἐς Τεγέαν habet ἐσύνεσαν et Mosc. ἐσένεσαν. Similiter paullo infra pro ἱκέτευεν in Ald. exempl. ἐσίγεσαν fuisse, Xylander notavit.

CAPUT

CAPUT XVIII.

De Perſei Heroo — Thyeſte et Atreo — templo Cereris Myſiae — tribus Argivorum regnis eorumque regibus — Oreſte ejusque ſobole — Heraclidarum adventu in Peloponneſum et Argorum, Lacedaemonis ac Meſſeniae expugnatione.

Ἐκ Μυκηνῶν δὲ ἐς Ἄργος ἐρχομένοις ἐν ἀριστερᾷ Περσέως παρὰ τὴν ὁδόν ἐστιν ἡρῷον. ἔχει μὲν δὴ καὶ ἐνταῦθα τιμὰς παρὰ τῶν προσχωρίων, μεγίστας δὲ ἔν τε Σερίφῳ, καὶ παρ' Ἀθηναίοις Περσέως τέμενος, καὶ Δίκτυος καὶ Κλυμένης βωμὸς σωτήρων καλουμένων Περσέως [1]). Ἐν δὲ τῇ Ἀργείᾳ προελθοῦσιν ὀλίγον ἀπὸ τοῦ ἡρῴου τούτου Θυέστου τάφος ἐστὶν ἐν δεξιᾷ· λίθου δὲ ἔπεστιν αὐτῷ κριὸς, ὅτι τὴν ἄρνα ὁ Θυέστης ἔσχε τὴν χρυσῆν, μοιχεύσας τοῦ ἀδελφοῦ τὴν γυναῖκα [2]). Ἀτρέα δὲ οὐκ ἐπέσχεν ὁ λογισμὸς μετρῆσαι τὴν ἴσην, ἀλλὰ τῶν Θυέστου παίδων σφαγὰς καὶ τὰ ἀδόμενα δεῖπνα ἐξειργάσατο. ὕστερον δὲ οὐκ ἔχω σαφὲς εἰπεῖν, πότερον ἀδικίας ἦρξεν Αἴγισθος, ἢ προϋπῆρξεν Ἀγαμέμνονι φόνος Ταντάλου τοῦ Θυέστου· συνοικεῖν δέ φασιν αὐτὸν Κλυταιμνήστρᾳ παρθένῳ παρὰ Τυνδάρεω λαβόντα. ἐγὼ δὲ καταγνῶναι μὲν οὐκ ἐθέλω, φύσει σφᾶς γενέσθαι κακούς· εἰ δὲ ἐπὶ τοσοῦτον αὐτοῖς τὸ μίασμα τὸ Πέλοπος καὶ ὁ

1) Δίκτυος — Περσέως] Vid. Strab. L. X. p. 746., ſchol. ad Apollon. Rhod. IV. v. 1091. et Apollodor. L. II. C. 4. 1.

2) ὁ Θυέστης etc.] De Atrei et Thyeſtae ſceleribus vid. Hygin. fab. 86 — 88., ubi etiam de iis agitur, quae Pauſan. in ſubſequentibus tangit.

ὁ Μυρτίλου προστρόπαιος [3]) ἠκολούθησε, τούτοις ἦν ἄρα ὁμολογοῦντα, ἡνίκα ἡ Πυθία, Γλαύκου τοῦ Ἐπικύδους Σπαρτιάταις βασιλεύσαντος ἐπίορκα ὀμόσαντος [4]), καὶ τοῦδε εἶπεν ἐς τοὺς ἀπογόνους κατιέναι
3 τὴν δίκην. Ἀπὸ δὲ τῶν κριῶν (οὕτω γὰρ τοῦ Θυέστου τὸ μνῆμα ὀνομάζουσι) προελθοῦσιν ὀλίγον ἔστιν ἐν ἀριστερᾷ χωρίον Μυσία, καὶ Δήμητρος Μυσίας ἱερὸν, ἀπὸ ἀνδρὸς Μυσίου τὸ ὄνομα γενομένου, καὶ τούτου, καθάπερ λέγουσιν Ἀργεῖοι, ξένου τῆς Δήμητρος [5]). τούτῳ μὲν οὖν οὐκ ἔπεστιν ὄροφος· ἐν δὲ αὐτῷ ναός ἐστιν ἄλλος ὀπτῆς πλίνθου, ξόανα δὲ Κόρης καὶ Πλούτωνος καὶ Δήμητρός ἐστι. προελθοῦσι δὲ ποταμός ἐστιν Ἴναχος, καὶ διαβᾶσιν Ἡλίου βωμός. ἐντεῦθεν δὲ ἐπὶ πύλην ἥξεις καλουμένην ἀπὸ τοῦ πλησίον ἱεροῦ·
4 τὸ δὲ ἱερόν ἐστιν Εἰλειθυίας. Μόνους δὲ Ἑλλήνων οἶδα Ἀργείους εἰς τρεῖς βασιλείας διαιρεθέντας [6]).

ἐπὶ

3) ὁ Μυρτίλου προστρόπαιος] *Myrtili genius vindex.* Προστρόπαιος de eo dicitur, *qui piaculo contaminatus supplex se aliquo convertit, et de eo, cui preces applicamus supplices.* Inde ὁ προστρόπαιος, *genius vindex scelerum*, et Ζεὺς προστρόπαιος. Conf. Hesych. et Suid. h. v. De Myrtilo et Pelope vid. Diodor. IV. f. 74. et schol. ad Apollon. Rhod. L. I. v. 752.

4) ἡ Πυθία, Γλαύκου τοῦ Ἐπ. Σπαρτιάταις βασιλεύσαντος ἐπ. ὀμόσαντος] Discrepant haec ab Herodoto, qui L. VI. f. 86. de iisdem prolixius agens Glaucum Lacedaemonem, non regem Spartanum, de perjurio meditantem oraculum consuluisse refert. Inde Palmer. Exercit. p. 372. ista Pausaniae sic emendanda esse conjecerat: Γλαύκου τοῦ Ἐπικύδους Σπαρτιάτου βουλεύσαντος ἐπίορκα ὀμόσαι. Quam conjecturam libri scripti confirmant; nam in Vind. est — Σπαρτιάτη βουλεύσαντος ἐπίορκα ὀμόσαι, et in Mosc. hujus verae lectionis vestigia supersunt, scilicet Σπαρτιάτη et βουλεύσαντο. Glaucum istum tangit Pausan. L. VIII. C. 7.

5) Μυσίου — ξένου τῆς Δήμ.] Vid L. II. C. 35. init. et L. VII. C. 27. prope fin.

6) διαιρεθέντας] Uterque Codex singularem, licet ab hoc loco

ἐπὶ γὰρ τῆς ἀρχῆς τῆς Ἀναξαγόρου τοῦ Ἀργείου [7]) τοῦ Μεγαπένθους μανία ταῖς γυναιξὶν ἐνέπεσεν, ἐκφοιτῶσαι δὲ ἐκ τῶν οἰκιῶν ἐπλανῶντο ἀνὰ τὴν χώραν, ἐς ὃ Μελάμπους ὁ Ἀμυθάονος ἔπαυσε σφᾶς τῆς νόσου· ἐφ' ᾧ τε αὐτὸς καὶ ὁ ἀδελφὸς Βίας Ἀναξαγόρᾳ τὸ ἴσον ἔχουσιν. ἀπὸ μὲν δὴ Βίαντος βασιλεύουσι πέντε ἄνδρες ἐπὶ γενεὰς τέσσαρας ἐς Κυάνιππον τὸν Αἰγιαλέως, ὄντες Νηλεῖδαι τὰ πρὸς μητρός [8])· ἀπὸ δὲ Μελάμποδος γενεαί τε ἓξ, καὶ ἄνδρες ἴσοι, μέχρις Ἀμφιλόχου τοῦ Ἀμφιαράου· τὸ δὲ ἐγχώριον γένος οἱ Ἀναξαγορίδαι βασιλεύουσι πλέον. Ἴφις μὲν γὰρ ὁ Ἀλέκτορος τοῦ Ἀναξαγόρου Σθενέλῳ τῷ Καπανέως ἀδελφοῦ παιδὶ ἀπέλιπε τὴν ἀρχήν. Ἀμφιλόχου δὲ μετὰ ἅλωσιν Ἰλίου μετοικήσαντος εἰς τοὺς νῦν Ἀμφιλόχους, Κυανίππου ἄπαιδος τελευτήσαντος, οὕτω Κυλαράβης [9]) ὁ Σθενέλου μόνος τὴν βασιλείαν ἔσχεν. Οὐ μέν τοι παῖδας κατέλιπεν οὐδ' αὐτὸς, ἀλλὰ Ὀρέστης ὁ Ἀγαμέμνονος τὸ Ἄργος κατέσχε παροικῶν τε ἐγγὺς αὐτῷ, καὶ ἄνευ τῆς πατρῴας ἀρχῆς, προσπεποιημένος μὲν Ἀρκάδων τοὺς πολλοὺς, παρειληφὼς δὲ καὶ τὴν ἐν Σπάρτῃ βασιλείαν, συμμαχικοῦ δὲ ἐκ Φωκέων ἀεί ποτε ἐπ' ὠφελείᾳ [10]) ἑτοίμου παρόντος. Λακεδαιμονίων δὲ ἐβασίλευσεν Ὀρέστης, Λακεδαιμονίων

loco alienam, exhibet lectionem διχηθέντα.

7) Ἀναξαγόρου τοῦ Ἀργείου] *Argivi*, non, ut *Amas.* perperam interpretatur, *Argei fil.* Anaxagoras enim Megapenthis fil. fuit, ſicuti ex Diodoro L. IV. conſtat.

8) ὄντες Νηλεῖδαι τὰ πρὸς μητρός] Pero, Nelei filia, Bianti nupſerat. Vid. Apollodor. L. I. C. 9. 12.

9) Κυλαράβης] Variat ſcriptura cum ſimplici et duplici λ. Gymnaſium ab eo Argis exſtructum (vid. C. 22.) appellabatur Κυλλαράβης. Vid. Heſych. h. v. et ibi not.

10) ἐπ' ὠφελείᾳ] In utroque Codice eſt ἐπ' ἀπωλείᾳ.

νίων ἐφέντων αὐτῷ. τοὺς γὰρ Τυνδάρεω θυγατριδοῦς
τὴν ἀρχὴν ἔχειν ἠξίουν πρὸ Νικοστράτου καὶ Μεγαπέν-
θους Μενελάῳ γεγενημένων ἐκ δούλης. Ὀρέστου δὲ
ἀποθανόντος, ἔσχε Τισαμενὸς τὴν ἀρχὴν Ἑρμιόνης [11])
τῆς Μενελάου καὶ Ὀρέστου παῖς. τὸν δὲ Ὀρέστου
νόθον Πενθίλον Κυναιθῶν ἔγραψεν ἐν τοῖς ἔπεσιν Ἡρι-
6 γόνην τὴν Αἰγίσθου τεκεῖν. Ἐπὶ δὲ τοῦ Τισαμενοῦ
τούτου κατιᾶσιν ἐς Πελοπόννησον Ἡρακλεῖδαι, Τή-
μενος μὲν καὶ Κρεσφόντης Ἀριστομάχου· τοῦ τρίτου δὲ
Ἀριστοδήμου πρωτεθνεῶτος εἵποντο οἱ παῖδες. Ἄργους
μὲν δὴ καὶ τῆς ἐν Ἄργει βασιλείας ὀρθότατα, ἐμοὶ
δοκεῖν, ἠμφισβήτουν· ὅτι ἦν Πελοπίδης ὁ Τισαμενός·
οἱ δὲ Ἡρακλεῖδαι τὸ ἀνέκαθέν εἰσι Περσεῖδαι. Τυνδάρεῳ
δὲ καὶ αὐτὸν ἐκπεσόντα ἀπέφαινον ὑπὸ Ἱπποκόωντος·
Ἡρακλέα δὲ ἔφασαν ἀποκτείναντα Ἱπποκόωντα καὶ
τοὺς παῖδας [12]) παρακαταθέσθαι Τυνδάρεῳ τὴν
χώραν. τοιαῦτα δὲ καὶ περὶ τῆς Μεσσηνίας ἕτερα
ἔλεγον, παρακαταθήκην Νέστορι δοθῆναι καὶ ταύτην
7 ὑπὸ Ἡρακλέους ἑλόντος Πύλον. Ἐκβάλλουσιν οὖν ἐκ
μὲν Λακεδαίμονας καὶ Ἄργους Τισαμενὸν, ἐκ δὲ τῆς
Μεσσηνίας τοὺς Νέστορος ἀπογόνους, Ἀλκμαίωνα
Σίλλου τοῦ Θρασυμήδους, καὶ Πεισίστρατον τὸν Πεισι-
στράτου, καὶ τοὺς Παίονος τοῦ Ἀντιλόχου παῖδας·
σὺν δὲ αὐτοῖς Μέλανθον τὸν Ἀνδροπόμπου τοῦ Βώρου
τοῦ Πενθίλου τοῦ Περικλυμένου. Τισαμενὸς μὲν οὖν
ἦλθε σὺν τῇ στρατιᾷ καὶ οἱ παῖδες ἐς τὴν νῦν Ἀχαΐαν.
οἱ δὲ Νηλεῖδαι πλὴν Πεισιστράτου (τοῦτον γὰρ οὐκ
οἶδα παῤ οὕστινας ἀπεχώρησεν) ἐς Ἀθήνας ἀφίκοντο
οἱ

11) Ἑρμιόνης] Cod. Vind. δ Ἑρμιόδνης.

12) Ἡρακλέα — τοὺς παῖδας] Vid. L. III. C. 15. et Apollod. L. II. C. 7. 3.

οἱ λοιποί· καὶ τὸ Παιονιδῶν γένος καὶ Ἀλκμαιονιδῶν ἀπὸ τούτων ὠνομάσθησαν. Μέλανθος δὲ καὶ τὴν βασιλείαν ἔσχεν, ἀφελόμενος Θυμοίτην τὸν Ὀξύντου· Θυμοίτης γὰρ Θησειδῶν ἔσχατος ἐβασίλευσεν Ἀθηναίων. τὰ μὲν οὖν Κρεσφόντου καὶ τῶν Ἀριστοδήμου παίδων οὐκ ἤπειγεν ὁ λόγος με ἐνταῦθα δηλῶσαι.

CAPUT XIX.

De Temeno et Deïphonte — Argivis regnum cum republica mutantibus — templo Apollinis Lycii a Danao exstructo — Bitone — Phoroneo ignis inventore — Hypermnestra et Venere Nicephoro — Linorum sepulcris — aliis memorandis.

Τήμενος δὲ ἐκ μὲν τοῦ φανεροῦ Δηϊφόντῃ [1]) τοῦ Ἀντιμάχου τοῦ Θρασυάνορος τοῦ Κτησίππου τοῦ Ἡρακλέους στρατηγῷ πρὸς τὰς μάχας ἐχρήσατο ἀντὶ τῶν υἱῶν, καὶ σύμβουλον ἐς πάντα εἶχεν, ἅτε αὐτόν τε ἐκεῖνον πεποιημένος πρότερον ἔτι γαμβρὸν, καὶ τῶν παίδων ἀρεσκόμενος τῇ Ὑρνηθοῖ μάλιστα· ὑπωπτεύετο δὲ ἤδη καὶ τὴν βασιλείαν ἐς ἐκείνην καὶ Δηϊφόντην τρέπων [2]). ἐπεβουλεύθη δὲ τούτων εἵνεκα ὑπὸ τῶν υἱῶν· ἐκείνων δὲ αὐτῷ Κεῖσος πρεσβύτατος ὢν ἔσχε τὴν ἀρχήν. Ἀργεῖοι δὲ, ἅτε ἰσηγορίαν καὶ τὸ αὐτόνομον ἀγαπῶντες ἐκ παλαιοτάτου, τὰ τῆς ἐξουσίας τῶν βασιλέων ἐς ἐλάχιστον προσήγαγον, ὡς μηδενὶ τῶν Κείσου καὶ τοῖς ἀπογόνοις ἢ τὸ ὄνομα [3]) λειφθῆναι

τῆς

1) Δηϊφόντῃ] De hoc plura habet C. 28.

2) τρέπων] Cod. Vindob. τρέπειν.

3) μηδενὶ τῶν Κείσου — ἢ τὸ ὄνομα etc.] Si ἢ locum habere debet, μηδὲν pro μηδενὶ scribendum esset, uti *Sylb.* conjecit.

τῆς βασιλείας μόνον. Μέλταν δὲ τὸν Λακίδεω [4]) τὸν ἀπόγονον Μήδωνος τὸ παράπαν ἔπαυσεν ἀρχῆς
3 καταγνοὺς ὁ δῆμος. Ἀργείοις δὲ τῶν ἐν τῇ πόλει τὸ ἐπιφανέστατόν ἐστιν Ἀπόλλωνος ἱερὸν Λυκίου. τὸ μὲν οὖν ἄγαλμα τὸ ἐφ' ἡμῶν Ἀττάλου ποίημα ἦν Ἀθηναίου, τὸ δὲ ἐξ ἀρχῆς Δαναοῦ καὶ ὁ ναὸς καὶ τὸ ξόανον ἀνάθημα ἦν. ξόανα γὰρ δὴ τότε εἶναι πείθομαι πάντα, καὶ μάλιστα τὰ Αἰγύπτια. Δαναὸς δὲ ἱδρύσατο Λύκιον Ἀπόλλωνα ἐπ' αἰτίᾳ τοιαύτῃ. παραγενόμενος ἐς τὸ Ἄργος ἠμφισβήτει πρὸς Γελάνορα τὸν Σθενέλα περὶ τῆς ἀρχῆς. ῥηθέντων δὲ ἐπὶ τοῦ δήμου παρ' ἀμφοτέρων πολλῶν τε καὶ ἐπαγωγῶν, καὶ οὐχ ἧσσον δίκαια λεγειν τοῦ Γελάνορος δόξαντος, ὁ μὲν δῆμος ὑπερέθετο, φασίν, ἐς τὴν ἐπιοῦσαν κρίνειν. ἀρχομένης δὲ ἡμέρας, ἐς βοῶν ἀγέλην νεμομένην πρὸ τοῦ τείχους ἐσπίπτει λύκος, προσπεσὼν δ' ἐμάχετο πρὸς ταῦρον ἡγεμόνα τῶν βοῶν. παρίσταται δὴ τοῖς Ἀργείοις, τῷ μὲν Γελάνορα, Δαναὸν δὲ εἰκάσαι τῷ λύκῳ· ὅτι οὔτε τὸ θηρίον τοῦτό ἐστιν ἀνθρώποις σύντροφον, οὔτε Δαναός σφισιν ἐς ἐκεῖνο τοῦ χρόνου. ἐπεὶ δὲ τὸν ταῦρον κατειργάσατο ὁ λύκος, διὰ τοῦτο ὁ Δαναὸς ἴσχε [5]) τὴν ἀρχήν. οὕτω δὴ νομίζων Ἀπόλλωνα ἐπὶ τὴν ἀγέλην ἐπαγαγεῖν τῶν βοῶν τὸν λύκον ἱδρύσατο
4 Ἀπόλλωνος ἱερὸν Λυκίου. Ἐνταῦθα ἀνάκειται μὲν θρόνος Δαναοῦ· κεῖται δὲ εἰκὼν Βίτωνος, ἀνὴρ ἐπὶ τῶν ὤμων φέρων ταῦρον· ὡς δὲ Λυκέας ἐποίησεν [6]), ἐς

jecit. Sed uterque Codex omittit ἡ et sic orationis structuram reddit expeditam.

4) Λακίδεω] Uterque Cod. Λακηδεύδια. *Amas.* habet *Laeidai.*

5) ἴσχε] Cod. Mosc. ἔσχε.

6) Λυκέας ἐποίησεν] Pausan. hunc poëtam ter excitat (vid. Indic.). Diversus ab eo esse videtur Lyceas Naucratites, cujus

ἐς Νεμέαν Ἀργείων ἀγόντων θυσίαν τῷ Διΐ, ὁ Βίτων ὑπὸ ῥώμης τε καὶ ἰσχύος ταῦρον ἀραμένος ἤνεγκεν. Ἐξῆς δὲ τῆς εἰκόνος ταύτης πῦρ καίουσιν, ὀνομάζοντες Φορωνέως εἶναι. οὐ γάρ τοι ὁμολογοῦσι δοῦναι πῦρ Προμηθέα ἀνθρώποις, ἀλλὰ ἐς Φορωνέα τοῦ πυρὸς μετάγειν ἐθέλουσι τὴν εὕρεσιν. Τὰ δὲ ξόανα 6
Ἀφροδίτης καὶ Ἑρμοῦ, τὸ μὲν Ἐπειοῦ λέγουσιν ἔργον εἶναι, τὸ δὲ Ὑπερμνήστρας ἀνάθημα. ταύτην γὰρ τῶν θυγατέρων μόνην τὸ πρόσταγμα ὑπεριδοῦσαν ὑπήγαγεν ὁ Δαναὸς εἰς δικαστήριον [7]), τοῦ τε Λυγκέως οὐκ ἀκίνδυνον αὐτῷ τὴν σωτηρίαν ἡγούμενος, καὶ ὅτι τοῦ τολμήματος οὐ μετασχοῦσα ταῖς ἀδελφαῖς καὶ τῷ βουλεύσαντι τὸ ὄνειδος ἠύξησε. κριθεῖσα δὲ ἐν τοῖς Ἀργείοις ἀποφεύγει τε καὶ Ἀφροδίτην ἐπὶ τῷδε ἀνέθηκε νικηφόρον. τοῦ ναοῦ δέ ἐστιν ἐντὸς Λαΐδας [8]) ποδῶν ὠκύτητι ὑπερβαλόμενος τοὺς ἐφ' αὑτοῦ· καὶ Ἑρμῆς ἐς λύρας ποίησιν χελώνην ἥρηκώς [9]). ἔστι δὲ ἔμπροσθεν τοῦ ναοῦ βόθρος, πεποιημένην ἐν τύπῳ ταύρου μάχην ἔχων καὶ λύκου [10]), σὺν δὲ αὐτοῖς παρθένου

eujus Aegyptiaca laudat Athen. L. XIII. C. 1. p. 560., et L. XIV. C. 1. p. 616.

7) δικαστήριον] Conf. Caput sequens et C. 21. æb initio.

8) Λαΐδας] Ejus Pausan. aliquoties mentionem facit, praecipue L. III. C. 21. init.

9) ἥρηκώς] *Amaſ.* legiſſe videtur ἥρκως, vertens *ſublata teſtudine*. Cod. Moſc. mendoſam habet lectionem ἐοικώς. Hering. Obſerv. C. 3. p. 30. ἥρηκώς in εὑρηκὼς mutandum cenſet.

10) βόθρος, πεποιημένην ἐν τύπῳ ταύρου μάχην ἔχων κ.τ.λ.] Codd. haud male exhibent πεποιημένα, et *Amaſ.* pro βόθρος legit βάθρον, vertens *baſis*; quod *Kuhn.* probat. C. 22. etiam βόθρος memoratur, in quo Proſerpinae ſacra fiunt. Quare ſi lectio hic recte ſe habet, βόθρος foſſa ſeu locus depreſſior fuiſſe videtur, quo opera iſta ἐν τύπῳ includebantur, ne ab incedentibus laederentur. Opera vero ἐν τύπῳ, ἐπὶ τύπου, ἐπὶ τύπων, et τύποι in Pauſania aliquoties memo-

θένον ἀφιεῖσαν πέτραν ἐπὶ τὸν ταῦρον· Ἄρτεμιν εἶναι νομίζουσι τὴν παρθένον. Δαναὸς δὲ ταῦτά γε ἀνέθηκε, καὶ πλησίον κίονας ἐς Διὸς καὶ Ἀρτέμιδος ξόανον [11]).

7 Τάφοι δέ εἰσιν, ὁ μὲν Λίνου τοῦ Ἀπόλλωνος καὶ Ψαμάθης τῆς Κροτώπου, τὸν δὲ λέγουσιν εἶναι Λίνου τοῦ ποιήσαντος τὰ ἔπη [12]). τὰ μὲν οὖν ἐς τοῦτον, οἰκειότερα ὄντα ἑτέρῳ λόγῳ, παρίημι, τὰ δὲ ἐς [13]) τὸν Ψαμάθης ἡ Μεγαρικὴ μοι συγγραφὴ προεδήλωσεν [14]). ἐπὶ τούτοις ἐστὶν Ἀπόλλων Ἀγυιεὺς [15]), καὶ βωμὸς Ὑετίου Διός, ἔνθα οἱ συσπένδοντες [16]) Πολυνείκει τὴν ἐς

memorantur, L. VIII. C. 31. et 37., L. IX. C 11., et *formae in plano expressae* seu *a fundo elevatae* fuisse videntur, *Reliefs*, *erhobne Arbeit*. Plin. H. N. L. XXXV. C 12. p. 710. — *impressa argilla typum fecit*. Vid. Visconti in Museo Pio-Clementino T. IV. in praefat.

11) κίονας ἐς Διὸς καὶ Ἀρτ. ξ.] *Kuhn.* temere explicat, *ut essent loco signorum Jovis et Dianae*. Potius enim ἐς interpretandum esset *ad*, *prope ad*. Sed Cod. Vind. omnem difficultatem aufert, omisso ἐς, scribens κίονας καὶ Διὸς καὶ Ἀρτέμ., cum quo *Amas.* facit, vertens *cum ligneis Jovis et Dianae signis*.

12) ὁ μὲν Λίνου — τὸν δὲ λέγουσιν etc.] *Amas.* perperam interpretatur *sepulcra — Lini Apollinis filii et Psamathes Crotopi filiae etc.* De sepulcris enim duorum Linorum hic loquitur Pausanias, alterius Apollinis ac Psamathes filii, alterius, qui carmina composuit. Plura de iis memorat Paus. L. IX. C. 29. Conf. Suid. h. v. De pluribus Linis vid. Periz. ad Ael. V. H. L. III. C. 32.

13) παρίημι, τὰ δὲ ἐς etc.] Uterque Codex bene dat παρίημι τῷδε, τὰ δὲ ἐς etc., et paullo supra pro ἐς τοῦτον uterque Codex ἐς τοῦτο.

14) ἡ Μεγαρικὴ — προεδήλωσεν] Vid. L. I. C. 43.

15) Ἀγυιεὺς] Vid. Suid. et Hesych. h. v., ibique not. De ejus cultu apud Tegeatas vid. Paus. L. VIII. C. 53.

16) συσπένδοντες] *Kuhn.* bene emendavit συσπεύδοντες, *qui Polynicis reditum junctis viribus procurabant*. Sic etiam Cod. Mosc., mendo adhaerente, exhibet συυσπευδοντες. Sed vulgata quoque defendi et cum Amasaeo verti potest, *qui foedus percusserunt*.

ἐς Θήβας κάθοδον ἀποθανεῖσθαι συνώμοσαν, ἢν μὴ τὰς Θήβας γένηται σφισιν ἑλεῖν. ἐς δὲ τοῦ Προμηθέως τὸ μνῆμα ἧσσόν μοι δοκοῦσιν Ὀπουντίων εἰκότα λέγειν· λέγουσι δὲ ὅμως.

CAPUT XX.

De signo Jovis Milichii ejusque origine — Cleobe et Bitone — templo Jovis Nemei et Fortunae — Choriae Maenadis sepulcro — Horarum templo — Polynicis et septem ad Thebas ducum aliorumque signis — templo Jovis Servatoris et templo Cephissi — theatro ac signis in eo — templo Veneris ac Telesillae signo — Telesillae fortibus factis.

Παρεντίδα Κρεύγαντι εἰκόνα ἀνδρὸς πύκτου, τρόπαιον ἐπὶ Κορινθίοις ἀνασαθὲν ἄγαλμά ἐσι [1]) καθήμενον Διὸς Μειλιχίου, λίθου λευκοῦ, Πολυκλείτου δὲ ἔργον. ποιηθῆναι δὲ ἐπινθανόμην αὐτὸ ἐπ' αἰτίᾳ τοιαύτῃ. Λακεδαιμονίοις πολεμεῖν πρὸς Ἀργείους ἀρξαμένοις οὐδεμία ἦν ἔτι ἀπαλλαγὴ, πρὶν ἢ Φίλιππος σφᾶς ἠνάγκασεν ὁ Ἀμύντου μένειν ἐπὶ τοῖς καθεστηκόσιν ἐξ ἀρχῆς ὅροις τῆς χώρας. τὸν δὲ ἔμπροσθεν χρόνον

1) Παρεντίδα Κρεύγαντι εἰκόνα ἀνδρὸς πύκτου, τρ. ἐπὶ Κορ. ἀνασ. ἄγαλμά ἐσι etc.] Locus admodum morbosus, cui libri scripti collati ne minimam quidem afferunt medelam. Quae hic de Creuga tangit Pausanias, uberius refert L. VIII. C. 40. Inde *Kuhn.* illa conjiciendo bene ita emendavit: Παρέντι δὲ Κρεύγαντος εἰκόνα ἀνδρὸς πύκτου, τρόπαιον ἐπὶ Κορινθίοις ἀνασταθὲν καὶ ἄγαλμά ἐσι, *si miseris Creugantis pugilis simulacrum, trophaeum est etc.* At cum in altero Pausaniae loco cit. dativi forma sit Κρεύγᾳ et accusativi Κρεύγαν, mallem equidem ita corrigere: Παρέντι δὲ Κρεύγαν, τὴν εἰκόνα ἀνδρὸς πύκτου, τρόπαιον etc.

οἱ Λακεδαιμόνιοι μηδὲν ἔξω Πελοποννήσου περιεργαζόμενοι τῆς Ἀργείας ἀεί τι ἀπετέμνοντο, ἢ οἱ Ἀργεῖοι, τετραμμένων πρὸς πόλεμον ἐκείνων ὑπερόριον, ἐν τῷ τοιούτῳ καὶ αὐτοὶ σφίσιν ἐνέκειντο. προηγουμένου δὲ ἀμφοτέροις ἐς ἄκρον τοῦ μίσους, ἔδοξεν Ἀργείοις λογάδας τρέφειν χιλίους· ἡγεμὼν δὲ ἐτέτακτο ἐπ' αὐτοῖς Βρύας Ἀργεῖος, ὃς ἄλλα τε ἐς ἄνδρας ὕβρισε τοῦ δήμου, καὶ παρθένον νομιζομένην παρὰ τὸν νυμφίον ἥρπαζεν, ἀφελόμενος τοὺς ἄγοντας. ἐπιλαβούσης δὲ τῆς νυκτὸς, τυφλοῖ τὸν Βρύαντα ἡ παῖς, φυλάξασα ὑπνωμένον· φωραθεῖσα δὲ, ὡς ἐπέσχεν ἡμέρα, κατέφυγεν ἱκέτις ἐς τὸν δῆμον. οὐ προεμένων δὲ αὐτὴν τιμωρήσασθαι τοῖς χιλίοις, καὶ ἀπὸ τούτου προαχθέντων ἐς μάχην ἀμφοτέρων, κρατοῦσιν οἱ τοῦ δήμου, κρατήσαντες δὲ οὐδὲν ἀπὸ τοῦ θυμοῦ τῶν ἐναντίων ἔλιπον [2]). ὕστερον δὲ ἄλλα τε ἐπηγάγοντο καθάρσια, ὡς ἐπὶ αἵματι ἐμφυλίῳ, καὶ ἄγαλμα
2 ἀνέθηκαν Μειλιχίου Διός. Πλησίον δέ εἰσιν ἐπειργασμένοι λίθῳ Κλέοβις καὶ Βίτων [3]), αὐτοί τε ἕλκοντες τὴν ἅμαξαν, καὶ ἐπ' αὐτῇ ἄγοντες τὴν μητέρα ἐς τὸ
3 Ἡραῖον. Τούτων δὲ ἀπαντικρὺ Νεμείου Διός ἐστιν ἱερὸν, ἄγαλμα ὀρθὸν χαλκοῦν, τέχνη Λυσίππου. μετὰ δὲ αὐτὸ προελθοῦσιν ἐν δεξιᾷ Φορωνέως τάφος ἐστίν· ἐναγίζουσι δὲ καὶ ἐς ἡμᾶς ἔτι τῷ Φορωνεῖ. πέραν δὲ τοῦ Νεμείου Διὸς Τύχης ἐστὶν ἐκ παλαιοτάτου ναός· οἱ

2) οὐδὲν ἀπὸ τοῦ θ. τ. ἐναντ. ἔλιπον] Bene haec emendat *Kuhn.* οὐδένα ἀπὸ τοῦ θυμοῦ τ. ἐν. ἔλ., *prae ira neminem adversariorum fecerunt reliquum.* Uterque Codex pro ἔλιπον habet ἔλειπον, et paullo infra pro ἐμφυλίῳ Cod. Vindob. ἐμφυλίων.

3) Κλέοβις καὶ Βίτων etc.] Uberius de eorum pio facto relatum legimus in Herodoto L. I. s. 31.

οἱ δὲ Παλαμήδης κύβους εὗρων [4]) ἀνέθηκεν ἐς τοῦτον τὸν ναόν. τὸ δὲ μνῆμα τὸ πλησίον Χωρίας [5]) μαινάδος ὀνομάζουσι, Διονύσῳ λέγοντες καὶ ἄλλας γυναῖκας καὶ ταύτην ἐς Ἄργος συστρατεύσασθαι, Περσέα δὲ, ὡς ἐκράτει τῆς μάχης, φονεῦσαι τῶν γυναικῶν τὰς πολλάς· τὰς μὲν οὖν λοιπὰς θάπτουσιν ἐν κοινῷ, ταύτῃ δὲ (ἀξιώματι γὰρ δὴ προεῖχεν) ἰδίᾳ τὸ μνῆμα ἐποίησαν. Ἀπωτέρω δὲ ὀλίγον Ὡρῶν ἱερόν ἐστιν. ἐπανιόντι δὲ ἐκεῖθεν, ἀνδριάντες ἑστήκασι Πολυνείκους τοῦ Οἰδίποδος, καὶ ὅσοι σὺν ἐκείνῳ τῶν ἐν τέλει πρὸς τὸ τεῖχος μαχόμενοι τὸ Θηβαῖον ἐτελεύτησαν. τούτους τοὺς ἄνδρας ἐς μόνον [6]) ἑπτὰ ἀριθμὸν κατήγαγεν Αἰσχύλος, πλειόνων ἔκ τε Ἄργους ἡγεμόνων, καὶ Μεσσήνης, καί τινων Ἀρκάδων στρατευσαμένων. τούτων δὲ τῶν ἑπτὰ (ἐπηκολουθήκασι γὰρ καὶ Ἀργεῖοι τῇ Αἰσχύλου ποιήσει) πλησίον κεῖνται καὶ οἱ τὰς Θήβας ἐλόντες, Αἰγιαλεὺς Ἀδράστου, καὶ Περόμαχος Παρθενοπαίου τοῦ Ταλαοῦ, καὶ Πολύδωρος Ἱππομέδοντος, καὶ Θέρσανδρος, καὶ οἱ Ἀμφιαράου παῖδες, Ἀλκμαίων τε καὶ Ἀμφίλοχος· Διομήδης τε καὶ Σθένελος· παρῆν δὲ ἔτι καὶ ἐπὶ τούτων Εὐρύαλος Μηκιστέως, καὶ Πολυνείκους Ἄδραστος, καὶ Τιμέας. τῶν δὲ ἀνδριάντων οὐ πόρρω δείκνυται Δαναοῦ μνῆμα, καὶ Ἀργείων τάφος κενὸς, ὁπόσους ἔν τε Ἰλίῳ καὶ ὀπίσω νομιζομένους ἐπέλαβεν ἡ τελευτή.

Καὶ

4) οἱ δὲ Παλαμήδης κύβους εὗρων] *Amaſ.* legiſſe videtur ἐν ᾧ etc., et Cod. Vind. dat τοὺς κύβους. De Palamede ejusque inventis vid. Suid. h. v.

5) χωρίας] Uterque Codex Χωρείας, et mox pro Διονύσῳ exhibet Διόνυσον, quod ferri poteſt; ſed Cap. 22., ubi ejusdem feminarum expeditionis mentio fit, etiam eſt Διονύσῳ συνεστρατευμέναι.

6) ἐς μόνον] *Sylb.* mavult ἐς μοίρας.

5 Καὶ Διός ἐστιν ἐνταῦθα ἱερὸν σωτῆρος. καὶ παριοῦσιν εἰς τὸ οἴκημα, ἐνταῦθα [7]) τὸν Ἄδωνιν αἱ γυναῖκες Ἀργείων ὀδύρονται. ἐν δεξιᾷ δὲ τῆς ἐσόδου τῷ Κηφισσῷ πεποίηται τὸ ἱερόν. τῷ δὲ ποταμῷ τούτῳ τὸ ὕδωρ φασὶν οὐ καθάπαξ ὑπὸ τοῦ Ποσειδῶνος ἀφανισθῆναι, ἀλλὰ ἐνταῦθα δὴ μάλιστα, ἔνθα καὶ τὸ ἱερόν ἐστι, συνίσασιν [8]) ὑπὸ γῆν ῥέοντος. παρὰ δὲ τὸ ἱερὸν τοῦ Κηφισσοῦ Μεδούσης λίθου πεποιημένη κεφαλή· Κυκλώπων φασὶν εἶναι καὶ τοῦτο ἔργον [9]). τὸ δὲ χωρίον τὸ ὄπισθεν καὶ ἐς τόδε κριτήριον ὀνομάζουσιν, Ὑπερμνήστραν ἐνταῦθα ὑπὸ Δαναοῦ κριθῆναι λέγοντες.

6 Τούτου δέ ἐστιν οὐ πόρρω θέατρον· ἐν δὲ αὐτῷ καὶ ἄλλα θέας ἄξια, καὶ ἀνὴρ φονεύων ἐστὶν ἄνδρα, Ὀθνάδαν [10]) τὸν Σπαρτιάτην Περίλαος Ἀργεῖος ὁ Ἀλκήνορος. Περιλάῳ δὲ τούτῳ καὶ πρότερον ἔτι

7 ὑπῆρχε Νεμείων ἀνηρῆσθαι νίκην παλαίοντι. Ὑπὲρ δὲ τὸ θέατρον Ἀφροδίτης ἐστὶν ἱερόν· ἔμπροσθεν δὲ τοῦ ἕδους [11]) Τελέσιλλα ἡ ποιήσασα τὰ ἄσματα ἐπείργασαι φήλη· καὶ βιβλία μὲν ἐκεῖνα [12]) ἔρριπταί οἱ

7) σωτῆρος. καὶ παριοῦσιν εἰς τὸ οἴκημα, ἐνταῦθα etc.] Hic apodosis deesse videtur, quare *Sylb.* conjecerat παριοῦσιν ἔστι τὸ οἴκ., ἔνθα etc. Sed Cod. V. verborum structuram omisso καὶ ita restituit: σωτῆρος παριοῦσιν εἰς τὸ οἴκ. etc.

8) συνίσασιν] Cod. Vindob. συνιᾶσιν. De Cephisso a Neptuno exsiccato vid. supra C. 15. in fine.

9) καὶ τοῦτο ἔργον] Uterque Cod. bene exhibet τοῦτο τὸ ἔργον.

10) Ὀθνάδαν] *Camerar.*, *Hartung.* et *Amas.* recte scribunt Ὀθρυάδαν. De Othryade vid. Suid. h. v.

11) τοῦ ἕδους] *Kuhn.* bene de *templo* interpretatur, non de *basi* seu *simulacro* Veneris. Sic et Amas. *in cujus fronte.* ἕδος *templum* denotare, Suid. h. v. testatur et Hesych. ἕδος, ἕδη et ἵδεσιν. De Telesilla etiam videndus est Suidas, qui eadem refert, et Wolf. ad Poëtriar. fragmenta.

12) ἐκεῖνα] *Kuhn.* mavult ἐκείνων, sc. ἀσμάτων.

οἱ πρὸς τοῖς ποσὶν, αὕτη δὲ ἐς κράνος ὁρᾷ κατέχουσα τῇ χειρὶ καὶ ἐπιτίθεσθαι τῇ κεφαλῇ μέλλουσα. ἦν δὲ καὶ ἡ Τελέσιλλα καὶ ἄλλως ἐν ταῖς γυναιξὶν εὐδόκιμος, καὶ μᾶλλον ἐτιμᾶτο ἔτι ἐπὶ τῇ ποιήσει. συμβάντος δὲ Ἀργείοις ἀτυχῆσαι λόγου μείζονος πρὸς Κλεομένην τὸν Ἀναξανδρίδου καὶ Λακεδαιμονίους, καὶ τῶν μὲν ἐν αὐτῇ πεπτωκότων τῇ μάχῃ, ὅσοι δὲ ἐς τὸ ἄλσος τοῦ Ἄργου [13]) κατέφευγον, διαφθαρέντων καὶ τούτων, τὰ μὲν πρῶτα ἐξιόντων κατὰ ὁμολογίαν, ὡς δὲ ἔγνωσαν ἀπατώμενοι, συγκατακαυθέντων τῷ ἄλσει τῶν λοιπῶν, οὕτως [14]) τοὺς Λακεδαιμονίους Κλεομένης ἦγεν ἐπὶ ἔρημον ἀνδρῶν τὸ Ἄργος. Τελέσιλλα δὲ οἰκέτας μὲν, καὶ ὅσοι διὰ νεότητα ἢ γῆρας ὅπλα ἀδύνατοι φέρειν ἦσαν, τούτους μὲν πάντας ἀνεβίβασεν ἐπὶ τὸ τεῖχος· αὐτὴ δὲ ὁπόσα ἐν ταῖς οἰκίαις ὑπελείπετο καὶ τὰ ἐκ τῶν ἱερῶν ὅπλα ἀθροίσασα τὰς ἀκμαζούσας ἡλικίᾳ τῶν γυναικῶν ὥπλιζεν· ὁπλίσασα δὲ ἔτασσε κατὰ τοῦτο, ᾗ τοὺς πολεμίους προσιόντας ἠπίστατο. ὡς δὲ ἐγίγνοντο [15]) οἱ Λακεδαιμόνιοι, καὶ αἱ γυναῖκες οὔτε τῷ ἀλαλαγμῷ κατεπλάγησαν, δεξάμεναί τε ἐμάχοντο ἐρρωμένως, ἐνταῦθα οἱ Λακεδαιμόνιοι φρονήσαντες, ὡς καὶ διαφθείρασί σφισι τὰς γυναῖκας ἐπιφθόνως τὸ κατόρθωμα ἔξει, καὶ σφαλεῖσι μετὰ ὀνειδῶν γενήσοιτο ἡ συμφορὰ, ὑπεί-

13) τοῦ Ἄργου] Cod. Vind. Ἀρείου, pro qua vulgata *Xyland.* recte restituit Ἄργου ex Paus. L. III. C. 4. ab init., ubi haec prolixius narrantur, et ex Herodoto L. VI. f. 80.

14) οὕτως] Uterque Codex οὕτω.

15) ἐγίγνοντο] Cod. Vind. ἐγένοντο. Sic γίγνεσθαι hic denotaret *adesse, accedere.* Camerar. legit ἤγγιζοντο, *Sylb.* emendat ἐπεγίγνοντο, et *Kulin.* mavult παρεγίγνοντο. Forte scribendum sit ἔγγυς ἐγένοντο.

ὑπείκουσι ταῖς γυναιξί. πρότερον δὲ ἐπὶ [16]) τὸν ἀγῶνα τοῦτον προεσήμηνεν ἡ Πυθία, καὶ τὸ λόγιον εἴτε ἄλλως, εἴτε καὶ ὡς συνεὶς, ἐδήλωσεν Ἡρόδοτος [17]).

Ἀλλ' ὅταν ἡ θήλεια τὸν ἄῤῥενα [18]) νικήσασα
Ἐξελάσῃ, καὶ κῦδος ἐν Ἀργείοισιν ἄρηται,
Πολλὰς Ἀργείων ἀμφιδρυφέας τότε [19]) θήσει.

Τὰ μὲν εἰς τὸ ἔργον τῶν γυναικῶν ἔχοντα τοῦ χρησμοῦ ταῦτα ἦν.

CAPUT XXI.

De memorandis ad forum Argivorum — Aeneae signo et loco Delta dicto — sepulcris memorandis — templo Minervae Salpingos — Epimenide — Pyrrhi monumento — de Medusa Gorgone et Perseo variae narrationes — de Gorgophone — Laphaë — Latonae templo et Chlori Niobes filia.

Κατελθοῦσι δὲ ἐντεῦθεν καὶ αὖθις τραπεῖσιν ἐπὶ τὴν ἀγορὰν, ἔστι μὲν Κερδοῦς Φορωνέως γυναικὸς μνῆμα, ἔστι δὲ ναὸς Ἀσκληπιοῦ. τὸ δὲ τῆς Ἀρτέμιδος ἱερὸν, ἐπίκλησιν Πειθοῦς, Ὑπερμνήστρα καὶ τοῦτο ἀνέθηκε, νικήσασα τῇ δίκῃ τὸν πατέρα, ἧν τοῦ Λυγκέως
2 ἕνεκα ἔφυγε. Καὶ Αἰνείου ἐνταῦθα χαλκοῦς ἀνδριάς ἐστι, καὶ χωρίον καλούμενον Δέλτα· ἐφ' ὅτῳ δὲ, (οὐ γάρ μοι τὰ λεγόμενα ἤρεσκεν) ἐκὼν παρίημι. πρὸ δὲ αὐτοῦ πεποίηται Διὸς Φυξίου [1]) βωμὸς, καὶ πλησίον Ὑπερ-

16) πρότερον δὲ ἐπὶ] Valkenar. ad Herodot. L. VI. ſ 77. bene emendat πρότερον δὲ ἔτι.

17) Ἡρόδοτος] L. VI. ſ. 77., ubi hoc Pythiae effatum plenius quinque verſibus exhibetur.

18) ἄῤῥενα] In Herodoto eſt ἄρσενα.

19) τότε] Cod. Moſc. πότε.

1) Φυξίου] De his et aliis Jovis cognominibus vid. ſchol. ad Lycophr. v. 288., coll. ſchol. ad Apollon. L. IV. v. 699.

Ὑπερμνήστρας μνῆμα Ἀμφιαράου μητρός· τὸ δὲ ἕτερον Ὑπερμνήστρας τῆς Δαναοῦ· σὺν δὲ αὐτῇ καὶ Λυγκεὺς τέθαπται. τούτων δὲ ἀπαντικρὺ Ταλαοῦ τοῦ Βίαντός ἐστι τάφος. τὰ δὲ ἐς Βίαντα καὶ ἀπογόνους τοῦ Βίαντος ἤδη λέλεκταί μοι [2]). Ἀθηνᾶς δὲ ἱδρύ- 3
σασθαι Σάλπιγγος ἱερὸν Φασιν Ἠγέλεων. Τυρσηνοῦ δὲ τόνδε τὸν [3]) Ἠγέλεων, τὸν δὲ Ἡρακλέους εἶναι καὶ γυναικὸς λέγουσιν τῆς Λυδῆς [4]); Τυρσηνὸν δὲ σάλπιγγα εὑρεῖν πρῶτον, Ἠγέλεων δὲ τὸν Τυρσηνοῦ διδάξαι τοὺς σὺν Τημένῳ Δωριέας τοῦ ὀργάνου τὸν ψόφον, καὶ δι' αὐτὸ Ἀθηνᾶν ἐπονομάσαι Σάλπιγγα. Πρὸ δὲ τοῦ 4
ναοῦ τῆς Ἀθηνᾶς Ἐπιμενίδου λέγουσιν εἶναι τάφον. Λακεδαιμονίους γὰρ πολεμήσαντας πρὸς Κνωσσίους ἑλεῖν ζῶντα Ἐπιμενίδην [5]), λαβόντας δὲ ἀποκτεῖναι, διότι σφίσιν οὐκ αἴσια ἐμαντεύετο, αὐτοὶ δὲ ἀνελόμενοι θάψαι ταύτῃ φασί. Τὸ δὲ οἰκο- 5
δόμημα λευκοῦ λίθου, κατὰ μέσον μάλιστα τῆς ἀγορᾶς, οὐ τρόπαιον [6]) ἐπὶ Πύρρῳ τῷ Ἠπειρώτῃ, καθὰ λέγουσιν οἱ Ἀργεῖοι, καυθέντος δὲ ἐνταῦθα τοῦ νεκροῦ, μνῆμα καὶ τοῦτο ὂν εὕροι τις, ἐν ᾧ τά τε ἄλλα,

ὅσοις

2) τὰ δὲ ἐς Βίαντα — μοι] Vid. L. II. C. 18.

3) τόνδε τὸν] Cod. Vind. pro his habet τοῦτον et Mosc. mendose τούτου.

4) τὸν δὲ — τῆς Λυδῆς] Λυδὴ est Omphale. Vid. Apollodor. II. 6. 3. et Dionys. Ant. Rom. L. I. p. 22. ἔλεξαν γὰρ δή τινες, Ἡρακλέους υἱὸν εἶναι τὸν Τυρρήνου ἐξ Ὀμφάλης τῆς Λυδῆς γενόμενον.

5) Ἐπιμενίδην] Vid. Diog. Laërt. L. I. s. 114. 115. et Paus. supra L. I. C. 14.

6) οὐ τρόπαιον etc.] Vulgata, quae fuit οὗ, orationis contextum et sententiam turbabat et obscuram reddebat; quare οὐ reponere et ita, puncto post Ἀργεῖοι sublato, sensum planum reddere haud haesitavi. Sic sententia haec est: *Aedificium vero e candido marmore in medio fere foro non tropaeum de Pyrrho Epirotarum rege, quemadmodum Argivi dicunt, esse deprehendas, sed, cremato ibi mortuo, monumentum, in quo etc.*

ὅσοις ὁ Πύῤῥος ἐκέχρητο [7]) ἐς τὰς μάχας, καὶ οἱ ἐλέφαντές εἰσιν ἐπειργασμένοι. τοῦτο μὲν δὴ κατὰ τὴν πυρὰν οἰκοδόμημα ἐγένετο· αὐτὰ δὲ κεῖται τοῦ Πύῤῥου τὰ ὀστᾶ ἐν τῷ ἱερῷ τῆς Δήμητρος, παρ' ᾧ συμβῆναί οἱ καὶ τὴν τελευτὴν, ἐδήλωσα ἐν τῇ Ἀτθίδι συγγραφῇ [8]). τοῦ δὲ τῆς Δήμητρος ἱεροῦ τούτου κατὰ τὴν ἔσοδον ἀσπίδα ἰδεῖν Πύῤῥου χαλκῆν ἐστιν ὑπὲρ τῶν θυ-
6 ρῶν ἀνακειμένην. Τοῦ δὲ ἐν τῇ ἀγορᾷ τοῦ Ἀργείων [9]) οἰκοδομήματος οὐ μακρὰν χῶμα γῆς ἐστιν· ἐν δὲ αὐτῷ κεῖσθαι τὴν Μεδούσης λέγουσι τῆς Γοργόνος κεφαλήν. ἀπόντος δὲ τοῦ μύθου, τάδε ἄλλα ἐς αὐτὴν ἐστιν εἰρημένα· Φόρβου [10]) μὲν θυγατέρα εἶναι, τελευτήσαντος δὲ οἱ τοῦ πατρὸς, βασιλεύειν τῶν περὶ τὴν λίμνην τὴν Τριτωνίδα οἰκούντων, καὶ ἐπὶ θήραν τε ἐξιέναι καὶ ἐς τὰς μάχας ἡγεῖσθαι τοῖς Λίβυσι, καὶ δὴ καὶ τότε ἀντικαθημένην στρατῷ πρὸς τὴν Περσέως δύναμιν (ἔπεσθαι γὰρ καὶ τῷ Περσεῖ [11]) λογάδας ἐκ Πελοποννήσου) δολοφονηθῆναι νύκτωρ, καὶ τὸν Περσέα τὸ κάλλος ἔτι καὶ ἐπὶ νεκρῷ θαυμάζοντα, οὕτω τὴν κεφαλὴν ἀποτεμόντα αὐτῆς, ἄγειν τοῖς Ἕλλησιν
7 ἐς ἐπίδειξιν. Καρχηδονίῳ δὲ ἀνδρὶ Προκλεῖ τῷ Εὐκράτους

7) ἐν ᾧ τά τε ἄλλα — ἐκέχρητο] Uterque Cod. ἐν ᾧ τε καὶ ἄλλα — ἐχρῆτο.

8) Ἀτθίδι συγγραφῇ] vid. L. I. C. 13. in fine.

9) τοῦ Ἀργείων] Vix dubito, quin τῶν Ἀργείων scribendum sit, quam lectionem vitiose servasse videtur Cod. Vind. τοῦ τῶν Ἀργείων.

10) Φόρβου] Cod. Mosc. Φόρκου, uti etiam Amasaeus scribit et Camerar. Gorgonas enim Phorci filias creditas fuisse, ex Apollod. I. C. 2. 6. et II. C. 4. 2. constat.

11) Περσεῖ] Pro vulgata Πέρσῃ rescripsi ex Cod. Vind., aliis Pausaniae locis cum hac scriptura consentientibus; sic enim Περσεῖ est C. 23. et L. III. C. 17., L. V. C. 18, etc.

τους ἕτερος λόγος ὅδε ἐφαίνετο εἶναι τοῦ προτέρου πιθανώτερος. Λιβύης ἡ ἔρημος καὶ ἄλλα παρέχεται θηρία ἀκούσασιν οὐ πιστὰ, καὶ ἄνδρες ἐνταῦθα ἄγριοι, καὶ ἄγριαι γίγνονται γυναῖκες· ἔλεγέ τε ὁ Πρόκλης ἀπ' αὐτῶν ἄνδρα ἰδεῖν κομισθέντα ἐς Ῥώμην. εἶπαζεν οὖν, πλανηθεῖσαν γυναῖκα ἐκ τούτων καὶ ἀφικομένην ἐπὶ τὴν λίμνην τὴν Τριτωνίδα λυμαίνεσθαι τοὺς προσοίκους, ἐς ὃ Περσεὺς ἀπέκτεινεν αὐτήν. Ἀθηναῖ δέ οἱ συνεπιλαβέσθαι δοκεῖν τοῦ ἔργου, ὅτι οἱ περὶ τὴν λίμνην τὴν Τριτωνίδα ἄνθρωποι ταύτης εἰσὶν ἱεροί. Ἐν δὲ Ἄργει παρὰ τοῦτο δὴ τὸ μνῆμα τῆς Γορ- 8
γόνος Γοργοφόνης τάφος ἐστὶν τῆς Περσέως· καὶ ἐφ' ὅτῳ μὲν αὐτῇ τὸ ὄνομα ἐτέθη, δῆλον εὐθὺς ἀκούσαντι. γυναικῶν δὲ πρώτην αὐτήν φασι τελευτήσαντος τοῦ ἀνδρὸς Περιήρους τοῦ Αἰόλου (τούτῳ γὰρ παρθένος συνῴκησε) τήνδε αὖθις Οἰβάλῳ [12]) γήμασθαι. πρότερον δὲ καθεσθήσει ταῖς γυναιξὶν ἐπὶ ἀνδρὶ ἀποθανόντι χηρεύειν. Τοῦ τάφου δὲ ἔμπροσθεν τρόπαιον 9
λίθου πεποίηται κατὰ ἀνδρὸς Ἀργείου Λαφαοῦς [13]). τοῦτον γὰρ (γράφω δὲ, ὁπόσα λέγουσιν αὐτοὶ περὶ σφῶν Ἀργεῖοι) τυραννοῦντα ἐξέβαλεν ἐπανασὰς ὁ δῆμος. Φυγόντα δὲ ἐς Σπάρτην Λακεδαιμόνιοι κατάγειν ἐπειρῶντο ἐπὶ τυραννίδι. νικήσαντες δὲ οἱ Ἀργεῖοι τῇ μάχῃ Λαφαῆ τε καὶ τῶν Λακεδαιμονίων τοὺς πολλοὺς ἀπέκτειναν. Τὸ δὲ ἱερὸν τῆς Λητοῦς ἔστι μὲν 10
οὐ μακρὰν τοῦ τροπαίου, τέχνη δὲ τὸ ἄγαλμα Πραξιτέλους. τὴν δὲ εἰκόνα παρὰ τῇ θεῷ τῆς παρθένου Χλῶριν

12) Οἰβάλῳ] vid. L. III. C. 1. et conf. Heyne V. C. ad Apollodor. p. 711. 712.

13) Λαφαοῦς] Cod. Vind. Λαφάους, uti C. 10. hujus Libri fuit; paullo post idem Codex pro Λαφαῆ τε exhibet Λαφάην τε.

Χλῶριν [14]) ὀνομάζουσι, Νιόβης μὲν θυγατέρα εἶναι λέγοντες, Μελίβοιαν δὲ καλεῖσθαι τὸ ἐξαρχῆς· ἀπολλυμένων δὲ ὑπὸ Ἀρτέμιδος καὶ Ἀπόλλωνος τῶν Ἀμφίονος παίδων, περιγενέσθαι μόνην τῶν ἀδελφῶν ταύτην καὶ Ἀμύκλαν, περιγενέσθαι δὲ εὐξαμένας τῇ Λητοῖ. Μελίβοιαν δὲ οὕτω δή τι παραυτίκα χλωρὰν [15]) τὸ δεῖμα ἐποίησε, καὶ ἐς τὸ λοιπὸν τοῦ βίου παρέμεινεν, ὡς καὶ τὸ ὄνομα ἐπὶ τῷ συμβάντι ἀντὶ Μελιβοίας αὐτῇ γενέσθαι Χλῶριν. τούτους [16]) δὲ φασιν Ἀργεῖοι τὸ ἐξαρχῆς οἰκοδομῆσαι τῇ Λητοῖ τὸν ναόν. ἐγὼ δὲ (πρόσκειμαι γὰρ πλέον τι, ἢ οἱ λοιποὶ, τῇ Ὁμήρου ποιήσει) δοκῶ τῇ Νιόβῃ τῶν παίδων μηδένα ὑπόλοιπον γενέσθαι. μαρτυρεῖ δέ μοι τὸ ἔπος [17]).

Τὼ δ' ἄρα καὶ δοιώ περ ἐόντ' ἀπὸ πάντας ὄλεσσαν.

οὗτος μὲν δὴ τὸν οἶκον τὸν Ἀμφίονος ἐκ βάθρων ἀνατραπέντα οἶδε.

14) Χλῶριν] Conf. L. V. C. 16. et Heyne V. C. ad Apollodor. p. 592 — 94.

15) δή τι παραυτίκα χλωρὰν] Cod. Mosc. δὴ παραυτίκα τε χλωρὰν, et mox pro παρέμεινεν in utroque Codice lectio haud absurda est διέμεινεν.

16) τούτους] *Sylb.* mavult ταύτας.

17) τὸ ἔπος] Locus Homeri est Il. Ω. v. 609.

CAPUT

CAPUT XXII.

De templo Junonis Antheae et sepulcro feminarum, quae cum Baccho contra Perseum pugnarunt — templo Cereris Pelasgidis — Jovis Mechanei signo — duobus Tantalis — templo Neptuni Prosclystii — templo Castoris et Pollucis — templo Lucinae ab Helena condito — templo Hecates — Sacada — gymnasio Cylarabi et signo Minervae Paniae in eo.

Τῆς δὲ Ἥρας ὁ ναὸς τῆς Ἀνθείας ἐστὶ τοῦ ἱεροῦ τῆς Λητοῦς ἐν δεξιᾷ, καὶ πρὸ αὐτοῦ γυναικῶν τάφος. ἀπέθανον δὲ αἱ γυναῖκες ἐν μάχῃ πρὸς Ἀργείους τε καὶ Περσέα, ἀπὸ νήσων τῶν ἐν Αἰγαίῳ Διονύσῳ συνεστρατευμέναι· καὶ διὰ τοῦτο Ἀλίας αὐτὰς ἐπονομάζουσιν. Ἀντικρὺ δὲ τοῦ μνήματος τῶν γυναικῶν 2
Δήμητρός ἐστιν ἱερὸν ἐπίκλησιν Πελασγίδος ἀπὸ τοῦ ἱδρυσαμένου Πελασγοῦ τοῦ Τριόπα, καὶ οὐ πόρρω τοῦ ἱεροῦ τάφος Πελασγοῦ. πέραν δὲ τοῦ τάφου χαλκεῖόν [1]) ἐστιν οὐ μέγα, ἀνέχει δὲ αὐτὸ ἀγάλματα ἀρχαῖα, Ἀρτέμιδος καὶ Διὸς καὶ Ἀθηνᾶς. Λυκέας δὲ οὖν ἐποίησε [2]), Μηχανέως τὸ 3
ἄγαλμα εἶναι Διός, καὶ Ἀργείων ἔφη τοὺς ἐπὶ Ἴλιον στρατεύσαντας ἐνταῦθα ὀμόσαι παραμένειν πολεμοῦντας, ἕς τ' ἂν ἢ τὸ Ἴλιον ἕλωσιν, ἢ μαχομένους τελευτὴ σφᾶς ἐπιλάβῃ. Ἕτεροις δέ ἐστιν εἰρημένον, ὅσα ἐν 4
τῷ χαλκείῳ κεῖσθαι Ταντάλου. τὸν μὲν δὴ Θυέστου παῖδα ἢ Βροντέου (λέγεται γὰρ ἀμφότερα), ὃς Κλυταιμνήστρα πρότερον ἢ Ἀγαμέμνονι συνῴκησεν, τοῦτον μὲν Τάνταλον οὐ διοίσομαι ταφῆναι ταύτῃ· τοῦ δὲ

1) χαλκεῖον] sc. μνῆμα.
2) Λυκέας δὲ οὖν ἐποίησε] Uterque Cod. Λ. μὲν οὖν ἐν τοῖς ἔπεσιν ἐποίησε.

λεγομένου Διός τε εἶναι καὶ Πλουτοῦς [3]) ἰδὼν οἶδα ἐν Σιπύλῳ τάφον θέας ἄξιον. πρὸς δὲ οὐδὲ ἀνάγκη συνέπεσεν ἐκ τῆς Σιπύλου φυγεῖν αὐτὸν, ὡς Πέλοπα ἐπέλαβεν ὕστερον, ἐλαύνοντος Ἴλλου τοῦ Φρυγὸς [4]) ἐπ' αὐτὸν στρατείᾳ. τάδε μὲν ἐς τοσοῦτον ἐξητάσθω. τὰ δὲ ἐς τὸν βόθρον τὸν πλησίον δρώμενα Νικόστρατον ἄνδρα ἐπιχώριον κατασήσασθαι λέγουσιν. ἀφικόσι δὲ καὶ νῦν ἔτι ἐς τὸν βόθρον καιομένας λαμπάδας Κόρῃ τῇ Δήμητρος. Ἐνταῦθα Ποσειδῶνός ἐστιν ἱερὸν, ἐπίκλησιν Προσκλυστίου [5]) τῆς γὰρ χώρας τὸν Ποσειδῶνα ἐπικλύσαι τὴν πολλὴν, ὅτι Ἥρας [6]) εἶναι καὶ οὐκ αὐτοῦ τὴν γῆν Ἴναχος καὶ οἱ συνδικάσαντες ἔγνωσαν. Ἥρα μὲν δὴ παρὰ Ποσειδῶνος εὗρε τὸ ἀπελθεῖν ὀπίσω τὴν θάλασσαν· Ἀργεῖοι δὲ, ὅθεν τὸ κῦμα ἀνεχώρησεν, ἱερὸν Ποσειδῶνι ἐποίησαν Προσκλυστίῳ. Προελθόντι δὲ οὐ πολὺ τάφος ἐστὶν Ἄργου, Διὸς εἶναι δοκοῦντος καὶ τῆς Φορωνέως Νιόβης [7])· μετὰ δὲ ταῦτα Διοσκούρων ναός. ἄγαλμα δὲ αὐτοί τε καὶ οἱ παῖδές εἰσιν, Ἄναξις καὶ Μνασίνους, σὺν δὲ σφίσιν αἱ μητέρες Ἰλάειρα καὶ Φοίβη [8]), τέχνη μὲν Διποίνου καὶ

3) καὶ Πλουτοῦς] Cod. Vind. καὶ Λητοῦς, et Mosc. καὶ Πλητοῦς. De Tantali matre non constare videtur; semper fere Jovis filius vocatur, omissa matre. Illum vero *Plutus* vel *Plutonis* (inde ab aliis *Plotones* nymphae) dictum esse, forte ex eo enatum est, quod Diodor. IV. 74. habet: Τάνταλος μὲν Διὸς ἦν υἱὸς, πλούτῳ δὲ καὶ δόξῃ διαφέρων.

4) Ἴλλου τ. Φ.] Vid. Diodor. IV. 75., qui Tantalum etiam ab Ilo ejectum esse narrat. Scriptura Ἴλλος usitatior est. Paullo infra pro ἐξητάσθω in Cod. Vind. scriptum ἐξετάσθω.

5) Προσκλυστίου] Cod. Vind. Προκλυστίου.

6) ὅτι Ἥρας etc.] *Amas.* legit ὅτε. De re ipsa v. supra C. 15. in fine.

7) Νιόβης] De hac altera Niobe ejusque filio Argo vid. Apollodor. II. 1. 1. et ibi not.

8) Ἰ. καὶ Φοίβη] Leucippi filiae, Apollinis etiam dictae. vid.

καὶ Σκύλλιδος, ξύλου δὲ ἐβένου· τοῖς δ' ἵπποις τὰ μὲν πολλὰ ἐβένου καὶ τούτοις, ὀλίγα δὲ καὶ ἐλέφαντος πεποίηται. Πλησίον δὲ τῶν ἀνάκτων [9]) Εἰλειθυίας 7
ἐστὶν ἱερὸν, ἀνάθημα Ἑλένης, ὅτε σὺν Πειρίθῳ Θησέως ἀπελθόντος ἐς Θεσπρωτοὺς Ἀφιδνά τε ὑπὸ Διοσκούρων ἑάλω, καὶ ἤγετο ἐς Λακεδαίμονα Ἑλένη. ἔχειν μὲν γὰρ αὐτὴν λέγουσιν ἐν γαστρὶ, τεκοῦσαν δὲ ἐν Ἄργει, καὶ τῆς Εἰλειθυίας ἱδρυσαμένην τὸ ἱερὸν, τὴν μὲν παῖδα, ἣν ἔτεκε, Κλυταιμνήστρᾳ δοῦναι, (συνοικεῖν γὰρ ἤδη Κλυταιμνήστραν Ἀγαμέμνονι) αὐτὴν δὲ ὕστερον τούτων Μενελάῳ γήμασθαι. καὶ ἐπὶ τῷδε Εὐφορίων Χαλκιδεὺς καὶ Πλευρώνιος Ἀλέξανδρος ἔπη ποιησαντες [10]), πρότερον δὲ ἔτι Στησίχορος ὁ Ἰμεραῖος, κατὰ ταυτά φασιν Ἀργείοις Θησέως εἶναι θυγατέρα Ἰφιγένειαν. Τοῦ δὲ ἱεροῦ τῆς Εἰλειθυίας πέραν ἐστὶν 8
Ἑκάτης ναὸς, Σκόπα δὲ τὸ ἄγαλμα ἔργον. τοῦτο μὲν λίθου· τὰ δ' ἀπαντικρὺ χαλκᾶ Ἑκάτης καὶ ταῦτα ἀγάλματα, τὸ μὲν Πολύκλειτος ἐποίησε, τὸ δὲ ἀδελφὸς Περικλείτου [11]) Ναυκύδης Μάθωνος. ἐρχομένῳ δὲ ὁδὸν εὐθεῖαν ἐς γυμνάσιον Κυλαράβου [12]), ἀπὸ τοῦ παιδὸς ὀνομαζόμενον τοῦ Σθενέλου, τέθαπται δὴ

vid. L. III. C. 16 init. Conf. Apollodor. III. C 11. 2.

9) τ. ἀνάκτων] Caſtoris et Pollucis. Cur ita vocati fuerint, Plutarch docet Theſ. ſ. 33. Conf. Pauſan. L. X. C. 38.

10) Εὐφορίων — Ἀλέξανδρος ἔ. π.] De utroque poëta videndus eſt *Suidas*, qui praecipue de Euphorione multa collegit. Utrumque etiam Athenaeus aliquoties laudat, et L. IV. C. 13. p. 154. C. Euphorionis Chalcid. *Ἱστορικὰ ὑπομνήματα* memorat.

11) Περικλείτου] Cod. Vind. Πολυκλείτου et ita quoque *Amaſaeus*. Sed vulgatam ſanam eſſe, ex L. V. C. 17. apparet, ubi Pericletus diſcipulus Polycleti Argivi dicitur.

12) Κυλαράβου] Cod Vind. Κυλαράβην et Moſc. mendoſe Κυλαράβιν, et ſic uterque Codex infra

Λικύμνιος ὁ Ἠλεκτρύωνος· ἀποθανεῖν δ' αὐτὸν Ὅμηρος [13]) ὑπὸ Τληπτολέμου φησὶ τοῦ Ἡρακλέους, καὶ διὰ τὸν φόνον τοῦτον ἔφυγεν ἐξ Ἄργους Τληπτόλεμος.

9 Ὀλίγον δὲ τὴν ἐπὶ Κυλαράβου [14]) καὶ τὴν ταύτῃ πύλην ἀποτραπεῖσι, Σακάδα [15]) μνῆμά ἐστιν, ὃς τὸ αὔλημα τὸ Πυθικὸν πρῶτος ηὔλησεν ἐν Δελφοῖς· καὶ τὸ ἐχθος τῷ Ἀπόλλωνι διαμένον ἐς τοὺς αὐλητὰς ἔτι ἀπὸ Μαρσύου καὶ τῆς ἀμιλλης τοῦ Σιληνοῦ παυθῆ-

10 ναι διὰ τοῦτον δοκεῖ τὸν Σακάδαν. Ἐν δὲ τῷ γυμνασίῳ τῷ Κυλαράβου καὶ Πανία [16]) ἐστὶν Ἀθηνᾶ καλουμένη, καὶ τάφον Σθενέλου δεικνῦσι, τὸν δὲ αὐτοῦ Κυλαράβου. πεποίηται δὲ οὐ πόρρω τοῦ γυμνασίου πολυάνδριον τοῖς μετὰ Ἀθηναίων πλεύσασιν Ἀργείοις ἐπὶ καταδουλώσει Συρακουσῶν τε καὶ Σικελίας [17]).

infra pro ἐπὶ Κυλαράβου dat ἐπὶ Κυλαράθην. Hoc gymnasium Κυλαράβης dictum fuisse, jam ante monuimus C. 18.

13) Ὅμηρος] Vid. Il. B. v. 661. sq.

14) τὴν ἐπὶ Κυλαράβου] Uterque Cod. τὴς ἐπὶ Κυλαραβην.

15) Σακάδα etc.] Vid Plutarch de Musica. Pollux IV. f. 79. ὁ δὲ Σακάδα νόμος Πυθικὸς, ubi vid. not. et Casaub. ad Athen. L. XIII. p. 886.

16) Πανία] Cod. Vind. Καὶ παιία et Mosc. Καπανία. Num a Capaneo Argivo? Paullo infra pro τάφον in Cod. Mosc. est τάφος. Sic post Σθενέλου comma ponendum esset.

17) καὶ Σικελίας] Vid. Diodor. L. XIII. init.

CAPUT

CAPUT XXIII.

De templo Bacchi ejusque signo — aliis memorandis et Batonis templo inter illa — Hyrnethus sepulcro — nobilissimo Aesculapii templo et signo — Dianae Pheraeae signo et Argivis Palladium sibi vindicantibus — Heleno Priami filio — Acrisii aeneo thalamo — templo Bacchi Cresii (Cretici) et Veneris Coelestis — arce Argivorum Lariſſa.

Ἐντεῦθεν ἐρχομένοις ὁδὸν καλουμένην [1]) ναός ἐστιν ἐν δεξιᾷ Διονύσου· τὸ δὲ ἄγαλμα εἶναι λέγουσιν ἐξ Εὐβοίας· συμβάσης γὰρ τοῖς Ἕλλησιν, ὡς ἐνομίζοντο ἐξ Ἰλίου, τῆς πρὸς τῷ Καφαρεῖ [2]) ναυαγίας, τοὺς δυνηθέντας ἐς τὴν γῆν διαφυγεῖν τῶν Ἀργείων ῥῖγός τε πιέζει καὶ λιμός. εὐξαμένοις δὲ θεῶν τινα ἐν τοῖς παροῦσιν ἀπόροις γενέσθαι σωτῆρα, αὐτίκα ὡς προσήεσαν [3]), ἐφάνη σφίσι Διονύσου σπήλαιον, καὶ ἄγαλμα ἦν ἐν τῷ σπηλαίῳ τοῦ θεοῦ· τότε δὲ αἶγες ἄγριαι φεύγουσαι τὸν χειμῶνα ἐς αὐτὸ ἦσαν ἠθροισμέναι. ταύτας οἱ Ἀργεῖοι σφάξαντες τά τε κρέα ἐδείπνησαν, καὶ δέρμασιν ἐχρήσαντο ἀντὶ ἐσθῆτος. ἐπεὶ δὲ ὁ χειμὼν ἐπαύσατο, καὶ ἐπισκευάσαντες τὰς ναῦς οἴκαδε ἐνομίζοντο, ἐπάγονται τὸ ἐκ τοῦ σπηλαίου

1) καλουμένην] Hic nomen viae excidisse, satis liquet. Ex sequentibus vero restituendum est κοίλην, statim enim dicit Pausanias ἐπανιόντι ἐκ τῆς κοίλης.

2) τῆς πρὸς τῷ Καφαρεῖ etc.] Uterque Codex τῆς non habet. Ad stupiditatem librariorum declarandam monstrosam lectionem Codicis Mosc. hic adjicere lubet: καφῃ ρειναι ἀγίας.

3) προσήεσαν] Cod. Vind. προσίεσαν. *Amas.*, qui interpretatur, *cum processissent*, legit προσήεσαν, quod non minus mihi arridet, quam *Kuhnio*.

λαίου ξόανον, καὶ διατελοῦσιν ἐς τόδε τιμῶντες ἔτι.
2 Τοῦ Διονύσου δὲ ἐγγυτάτω οἰκίαν ὄψει τὴν Ἀδράστου, καὶ ἀπωτέρω ταύτης ἱερὸν Ἀμφιαράου, καὶ τοῦ ἱεροῦ πέραν Ἐριφύλης μνῆμα. ἐξῆς δὲ τούτων ἐστὶν Ἀσκληπιοῦ τέμενος, καὶ μετὰ ταῦτα ἱερὸν Βάτωνος. ἦν δὲ ὁ Βάτων γένους Ἀμφιαράῳ τοῦ αὐτοῦ τῶν Μελαμποδιδῶν, καὶ ἐς μάχην ἐξιόντι ἡνιόχει τοὺς ἵππους. γενομένης δὲ τῆς τροπῆς ἀπὸ τοῦ Θηβαίων τείχους, χάσμα γῆς Ἀμφιάραον καὶ τὸ ἅρμα ὑποδεξάμενον
3 ἠφάνισεν ὁμοῦ καὶ τοῦτον τὸν Βάτωνα. Ἐπανιόντι δὲ ἐκ τῆς κοίλης, Ὑρνήθους [4]) τάφον λέγουσιν εἶναι. εἰ μὲν δὴ κενὸν καὶ ἄλλως ἐς μνήμην τῆς γυναικὸς, εἰκότα λέγουσιν, εἰ δὲ τῆς Ὑρνήθους κεῖσθαι τὸν νεκρὸν νομίζουσιν ἐνταῦθα, ἐγὼ μέν σφισιν οὐ πείθομαι, πειθέσθω δὲ, ὅστις τὰ Ἐπιδαυρίων οὐ πέπυσαι.
4 Τὸ δὲ ἐπιφανέστατον Ἀργείοις τῶν Ἀσκληπιείων ἄγαλμα ἐφ' ἡμῶν ἐστι, καθήμενον Ἀσκληπιὸν, λίθου λευκοῦ, καὶ παρ' αὐτὸν ἕστηκεν Ὑγεία· κάθηνται δὲ καὶ οἱ ποιήσαντες τὰ ἀγάλματα, Ξενόφιλος καὶ Στράτων. ἐξαρχῆς δὲ ἱδρύσατο [5]) Σθῦρος τὸ ἱερὸν, Μαχάονος μὲν υἱὸς, ἀδελφὸς δὲ Ἀλεξάνορος τοῦ παρὰ
5 Σικυωνίοις ἐν Τιτάνῃ τιμὰς ἔχοντος. Τῆς δὲ Ἀρτέμιδος τῆς Φεραίας (σέβουσι γὰρ καὶ Ἀργεῖοι Φεραίαν Ἄρτεμιν κατὰ ταὐτὰ Ἀθηναίοις καὶ Σικυωνίοις) τὸ ἄγαλμα καὶ οὗτοί φασιν ἐκ Φερῶν τῶν ἐν Θεσσαλίᾳ κομισθῆναι. τάδε δὲ αὐτὸς οὐχ ὁμολογῶ· λέγουσι

4) Ὑρνήθους] Mendose vulgatum fuit Συρνήθους, uti et paullo post; illud verum nomen restitui ex Cod Vind. et Camer. atque Hartungi scriptura, nec non ex ipso Pausania L. II. C. 28., ubi plura de Hyrnetho, Temeni filia.

5) ἱδρύσατο] Cod. Vind. ἐποιήσατο. De Alexanore vid. supra C. 11.

γουσι γὰρ Ἀργεῖοι Δηϊανείρας ἐν Ἄργει μνῆμα εἶναι τῆς Οἰνέως, τό τε Ἑλένου τοῦ Πριάμου, καὶ ἄγαλμα κεῖσθαι παρά σφισιν Ἀθηνᾶς, τὸ ἐκπομισθὲν ἐξ Ἰλίου, καὶ ἁλῶναι ποιῆσαν Ἴλιον. τὸ μὲν δὴ Παλλάδιον (καλεῖται γὰρ οὕτω) δῆλόν ἐστιν ἐς Ἰταλίαν κομισθὲν ὑπὸ Αἰνείου. Δηϊανείρᾳ δὲ τὴν τελευτὴν περὶ Τραχῖνα ἴσμεν καὶ οὐκ ἐν Ἄργει γενομένην· καὶ ἔστιν ὁ τάφος αὐτῆς πλησίον Ἡρακλείας τῆς ὑπὸ τῇ Οἴτῃ. Τὰ δὲ ἐς Ἕλενον τὸν Πριάμου δεδήλωκεν ὁ λόγος ἤδη μοι [6]), μετὰ Πύρρου τοῦ Ἀχιλλέως αὐτὸν ἐλθεῖν ἐς Ἤπειρον, καὶ ἐπιτροπεῦσαί τε τοῦ Πύρρου παῖδας συνοικοῦντα Ἀνδρομάχῃ, καὶ τὴν Κεστρινὴν [7]) καλουμένην ἀπὸ Κεστρίνου τοῦ Ἑλένου λαβεῖν τὸ ὄνομα. οὐ μὴν οὐδὲ αὐτῶν λέληθεν Ἀργείων τοὺς ἐξηγητὰς, ὅτι μὴ πάντα ἐπ' ἀληθείᾳ λέγεταί σφισι· λέγουσι δὲ ὅμως. οὐ γάρ τοι ἕτοιμον μεταπεῖσαι τοὺς πολλοὺς ἐναντία ὧν δοξάζουσιν. Ἄλλα δέ ἐστιν Ἀργείοις θέας ἄξια. κατάγαιον οἰκοδόμημα, ἐπ' αὐτὸ [8]) δὲ ἦν ὁ χαλκοῦς θάλαμος, ὃν Ἀκρίσιός ποτε φρουρὰν τῆς θυγατρὸς ἐποίησεν· Περίλαος δὲ καθεῖλεν αὐτὸν τυραννήσας. τοῦτό τε οὖν τὸ οἰκοδόμημά ἐστι, καὶ Κροτώπου μνῆμα, καὶ Διονύσου ναὸς Κρησίου. Περσεῖ γὰρ πολεμήσαντα αὐτὸν καὶ αὖθις ἐλθόντα ἐς λύσιν τοῦ ἔχθους τά τε ἄλλα τιμηθῆναι μεγάλως [9]) λέγουσιν ὑπὸ Ἀργείων, καὶ τέμενός οἱ δοθῆναι τοῦτο ἐξαίρετον. Κρησίου δὲ ὕστερον ὠνομάσθη, διότι Ἀριάδνην

6 7 8

6) δεδήλωκεν — μοι] Vid. L. I. C. 11. init.

7) Κεστρινὴν] *Epiri pars.* Vid. Hesych. Κεστρινικοὶ βόες.

8) ἐπ' αὐτὸ] *Sylb.* et *Kuhn.* legendum esse conjiciunt ἐπ' αὐτῷ. Paullo inferius pro τοῦτό τε οὖν *Amas.* legit ταὐτό τε νῦν, et reliqua perverse interpretatur.

9) μεγάλως] Abest in Cod. Vind.

ἀδνην ἀποθανοῦσαν ἔθαψεν ἐνταῦθα. Λυκέας δὲ λέγει, κατασκευαζομένου δεύτερον τοῦ ναοῦ κεραμέαν εὑρεθῆναι σορὸν, εἶναι δὲ Ἀριάδνης αὐτήν· καὶ αὐτός τε καὶ ἄλλους Ἀργείων [10]) ἰδεῖν ἔφη τὴν σορόν. Πλησίον δὲ τοῦ Διονύσου καὶ Ἀφροδίτης ναός ἐστιν Οὐρανίας.

9 Τὴν δὲ ἀκρόπολιν Λάρισσαν μὲν καλοῦσιν ἀπὸ τῆς Πελασγοῦ θυγατρός. ἀπὸ ταύτης [11]) δὲ καὶ δύο τῶν ἐν Θεσσαλίᾳ πόλεων, ἥ τε ἐπὶ θαλάσσῃ καὶ ἡ παρὰ τὸν Πηνειὸν, ὠνομάσθησαν.

CAPUT XXIV.

De memorandis in via ad arcem Argiv., templo Junonis Acraeae, Apollinis Diradiotae, ejusque oraculo — Minervae Perſpicacis templo et ſtadio — memorandis in arce — ſepulcro Aegypti filiorum — templo Jovis Lariſſaei in ſumma arce et Minervae templo — ligneo ſigno Jovis tres oculos habente — memorandis in via ad Tegeam — templo Dianae Orthyae et ſignis in vertice montis Lycones — monte Chaone, Eraſini fluvii emerſu in montis radice et Bacchi feſto Tyrba dicto — Cenchraeis — reliquiis urbis Hyſiarum.

Ἀνιόντων δὲ ἐς τὴν ἀκρόπολιν, ἔστι μὲν τῆς Ἀκραίας Ἥρας τὸ ἱερὸν, ἔστι δὲ ναὸς Ἀπόλλωνος, ὃν Πυθαεὺς [1]) πρῶτος παραγενόμενος ἐκ Δελφῶν λέγεται ποιῆσαι. τὸ

10) καὶ ἄλλους Ἀργ.] Cod. Vind. καὶ ἄλλος Ἀργ.

11) ἀπὸ ταύτης etc.] De arce Lariſſa et pluribus Lariſſis vid. Strab. L. IX. p. 672. ed. Almelov. et Stephan.

1) Πυθαεὺς] Apollinis filius a Teleſilla perhibitus, ſicuti Pauſanias refert L. II. C. 35. init. Cod. Vind. exhibet Πυθέας.

τὸ δὲ ἄγαλμα τὸ νῦν χαλκοῦν ἐστιν ὀρθὸν, Δειραδιώτης Ἀπόλλων καλούμενος, ὅτι καὶ ὁ τόπος οὗτος καλεῖται Δειράς [2]). ἡ δὲ οἱ μαντικὴ (μαντεύεται γὰρ ἔτι καὶ ἐς ἡμᾶς) καθέστηκε τρόπον τοῦτον. γυνὴ μὲν προφητεύουσά ἐστιν, ἀνδρὸς εὐνῆς εἰργομένη· θυομένης δὲ ἐν νυκτὶ ἀρνὸς, κατὰ μῆνα ἕκαστον, γευσαμένη δὴ τοῦ αἵματος ἡ γυνὴ κάτοχος ἐκ τοῦ θεοῦ γίνεται. Τοῦ 2
Δειραδιώτου δὲ Ἀπόλλωνος ἔχεται μὲν ἱερὸν Ἀθηνᾶς Ὀξυδερκοῦς καλουμένης, Διομήδους ἀνάθημα, ὅτι οἱ μαχομένῳ ποτὲ ἐν Ἰλίῳ τὴν ἀχλὺν ἀφεῖλεν ἡ θεὸς ἀπὸ τῶν ὀφθαλμῶν· ἔχεται δὲ τὸ στάδιον, ἐν ᾧ τὸν ἀγῶνα τῷ Νεμείῳ Διὶ καὶ τὰ Ἡραῖα ἄγουσιν. Ἐς 3
δὲ τὴν ἀκρόπολιν ἰοῦσίν ἐστιν ἐν ἀριστερᾷ τῆς ὁδοῦ τῶν Αἰγύπτου παίδων καὶ ταύτῃ μνῆμα. χωρὶς μὲν γὰρ ἀπὸ τῶν σωμάτων ἐνταῦθα αἱ κεφαλαὶ, χωρὶς δὲ ἐν Λέρνῃ σώματα τὰ λοιπά· ἐν Λέρνῃ γὰρ καὶ ὁ φόνος ἐξειργάσθη τῶν νεανίσκων, ἀποθανόντων δὲ ἀποτέμνουσιν αἱ γυναῖκες τὰς κεφαλὰς ἀπόδειξιν [3]) πρὸς τὸν πατέρα, ὧν ἐτόλμησαν. Ἐπ' ἄκρᾳ δέ ἐστι τῇ Λα- 4
ρίσσῃ Διὸς ἐπίκλησιν Λαρισσαίου ναὸς, οὐκ ἔχων ὄροφον· τὸ δὲ ἄγαλμα ξύλου πεποιημένον οὐκέτι ἐσηκὸς ἦν ἐπὶ τῷ βάθρῳ. καὶ Ἀθηνᾶς δὲ ναός ἐστι θέας ἄξιος. Ἐνταῦθα δὲ ἀναθήματα κεῖνται καὶ ἄλλα, 5
καὶ Ζεὺς ξόανον, δύο μὲν, ἢ πεφύκαμεν [4]), ἔχον ὀφθαλμοὺς, τρίτον δὲ ἐπὶ τοῦ μετώπου. τοῦτον τὸν Δία

Πριά-

2) Δειράς] h. e. *montis jugum, vertex.* Vid. Hesych. v. δειράδες, δειράδας, δειράρ. Apollo inde Δειραδιώτης dictus, non a pago Δειράδες, uti Berkel. vult in notis ad Stephan.

3) κεφαλὰς ἀπόδειξιν] Scribendum κεφαλὰς ἐς ἀπόδειξιν, ut alibi in Pausania. Aliter haec narrant Suid. et Hesych. v. Λέρνη θεατῶν et κακῶν qui capita in Lernam demersa esse dicunt.

4) πεφύκαμεν] In utroque Codice est πέφυκεν.

Πριάμῳ φασὶν εἶναι τῷ Λαομέδοντος πατρῷον [5]), ἐν ὑπαίθρῳ τῆς αὐλῆς ἱδρυμένον, καὶ ὅτε ἡλίσκετο ὑπὸ Ἑλλήνων Ἴλιον, ἐπὶ τούτου κατέφυγεν ὁ Πρίαμος τὸν βωμόν. ἐπεὶ δὲ τὰ λάφυρα ἐνέμοντο, λαμβάνει Σθενελος ὁ Καπανέως αὐτὸν, καὶ ἀνάκειται μὲν διὰ τοῦτο ἐνταῦθα. τρεῖς δὲ ὀφθαλμοὺς ἔχειν ἐπὶ τῷδε ἄν τις τεκμαίροιτο αὐτόν. Δία γὰρ ἐν οὐρανῷ βασιλεύειν, οὗτος μὲν λόγος κοινὸς πάντων ἐστὶν ἀνθρώπων. ὃν δὲ ἄρχειν φασὶν ὑπὸ γῆς, ἔστιν ἔπος τῶν Ὁμήρου [6]) Δία ὀνομάζον καὶ τοῦτον·

Ζεύς τε καταχθόνιος, καὶ ἐπαινὴ Περσεφόνεια.

Αἰσχύλος δὲ ὁ Εὐφορίωνος καλεῖ Δία καὶ τὸν ἐν θαλάσσῃ. τρισὶν οὖν ὁρῶντα ἐποίησεν ὀφθαλμοῖς, ὅσις δὴ οὖν ὁ ποιήσας, ἅτε ἐν ταῖς τρισὶ ταῖς λεγομέναις λήξεσιν ἄρχοντα τὸν αὐτὸν τοῦτον θεόν.

6 Ὁδοὶ δὲ ἐξ Ἄργους καὶ κατ' ἄλλα εἰσὶ τῆς Πελοποννήσου, καὶ πρὸς Ἀρκαδίας [7]) ἐπὶ Τέγεαν. ἐν δεξιᾷ δὲ ὄρος ἐστὶν ἡ Λυκώνη, δένδρα κυπαρίσσου μάλιστα ἔχουσα. ᾠκοδόμηται δὲ ἐπὶ κορυφῇ τοῦ ὄρους Ἀρτέμιδος Ὀρθίας ἱερὸν, καὶ ἀγάλματα Ἀπόλλωνος καὶ Λητοῦς καὶ Ἀρτέμιδος πεποίηται λευκοῦ λίθου. Πολυκλείτου δέ φασιν εἶναι ἔργα. καταβάντων δὲ ἐκ τοῦ ὄρους, αὖθις ἐστὶν ἐν ἀριστερᾷ τῆς λεω-
7 φόρου ναὸς Ἀρτέμιδος. Ὀλίγον δὲ ἀπωτέρω ἐν δεξιᾷ

5) πατρῷον] Jupiter, inprimis Apollo, et alii dii hoc nomine colebantur. Vid. notas ad Hesych. h. v. Mox pro ἐπὶ τουτου Cod. uterque exhibet ἐπὶ τοῦτον.

6) Ὁμήρου] Versus laudatus est 457. Il. I. Pro ἐπαινὴ Cod. Vind. αἰπεινὴ et Mosc. ἐπεινή.

7) πρὸς Ἀρκαδίας] a (ex) parte Arcadiae. Vid. L. VIII. C. 1. init., ubi τὰ πρὸς θαλάσσης, et L. VII. C. 27. in fine πρὸς Σικυωνίας. Sic etiam L. II. C. 25. init. πρὸς ἡλίου δύνοντας.

ξιᾶ τῆς ὁδοῦ Χάον ἐστὶν ὄρος ὀνομαζόμενον. ὑπὸ δὲ αὐτὸ δένδρα πέφυκεν ἥμερα, καὶ ἄνεισι τοῦ Ἐρασίνου [8]) φανερὸν ἐνταῦθα δὴ τὸ ὕδωρ· τέως δὲ ἐκ Στυμφάλου ῥεῖ τῆς Ἀρκάδων, ὥσπερ ἐξ Εὐρίπου κατὰ Ἐλευσῖνα καὶ τὴν ταύτῃ θάλασσαν οἱ Ῥειτοί [9]). πρὸς δὲ τοῦ Ἐρασίνου ταῖς κατὰ τὸ ὄρος ἐκβολαῖς Διονύσῳ καὶ Πανὶ θύουσι, τῷ Διονύσῳ δὲ καὶ ἑορτὴν ἄγουσι καλουμένην Τύρβην. Ἐπανελθοῦσι δὲ ἐς 8
τὴν ἐπὶ Τεγέας ὁδόν [10]) ἐστιν ἐν δεξιᾷ τοῦ ὀνομαζομένου Τροχοῦ Κεγχρεαί. τὸ δὲ ὄνομα ἐφ' ᾧ τῷ χωρίῳ γέγονεν, οὐ λέγουσι, πλὴν εἰ μὴ καὶ τοῦτο ἄρα ὠνομάσθη διὰ τὸν Πειρήνης παῖδα Κεγχρειόν [11]). καὶ πολυάνδρια ἐνταῦθά ἐστιν Ἀργείων νικησάντων μάχῃ Λακεδαιμονίους περὶ Ὑσίας. τὸν δὲ ἀγῶνα τοῦτον συμβάντα εὕρισκον Ἀθηναίοις ἄρχοντος Πεισιστράτου, τετάρτῳ δὲ ἔτει τῆς ὀλυμπιάδος, ἣν Εὐρύβοτος Ἀθηναῖος ἐνίκα στάδιον. Καταβάντος δὲ ἐς τὸ χθα- 9
μαλώτερον, ἐρείπια Ὑσιῶν ἐστι πόλεως ποτε ἐν τῇ Ἀργολίδι, καὶ τὸ πταῖσμα Λακεδαιμονίοις ἐνταῦθα γενέσθαι λέγουσιν.

8) Ἐρασίνου] Vid. Herodot. L. VI. f. 76. et Strab. L. VIII. p. 569. 570.

9) οἱ Ῥειτοί] Vid. L. I. C. 38. init.

10) ἐς τὴν — ὁδόν] Cod. Vind. ἐς omittit.

11) Κεγχρειόν] Cod. Mosc. Κεγχριόν. Supra C. 2. fuit Κεγχρίας, ubi vid. not.

CAPUT

CAPUT XXV.

De templo cum duplici aditu in via, quae Argis Mantineam ducit — vico Oenoë ab Oeneo nominato — monte Artemisio et fontibus Inachi — vico Lyrcea et facium festo — vico Orneae dicto ejusque memorandis — memorandis in via Epidaurum versus et Proeti cum Acrisio pugna — Tirynthis reliquiis, muris à Cyclopibus exstructis — vico Midea — vico Lessa et monte Arachnaeo.

Ἡ δ' ἐς Μαντίνειαν ἄγουσα ἐξ Ἄργους ἐστὶν, οὐχ ἥπερ καὶ ἐπὶ Τέγεαν, ἀλλὰ ἀπὸ τῶν πυλῶν τῶν πρὸς τῇ Δειράδι. ἐπὶ δὲ τῆς ὁδοῦ ταύτης ἱερὸν διπλοῦν πεποίηται, καὶ πρὸς ἡλίου δύνοντος εἴσοδον καὶ κατὰ ἀνατολὰς ἑτέραν ἔχον. κατὰ μὲν δὴ τοῦτο Ἀφροδίτης κεῖται ξόανον, πρὸς δὲ ἡλίου δυσμὰς Ἄρεως. εἶναι δὲ τὰ ἀγάλματα Πολυνείκους λέγουσιν ἀναθήματα καὶ Ἀργείων, ὅσοι τιμωρήσοντες αὐτῷ συνεστρατεύοντο.

2 Προελθοῦσι δὲ αὐτόθι διαβάντων ποταμὸν χείμαρρον Χάραδρον καλούμενόν ἐστιν Οἰνόη [1]) τὸ ὄνομα ἔχουσα, ὡς Ἀργεῖοί φασιν, ἀπὸ Οἰνέως. Οἰνέα γὰρ [2]) τὸν βασιλεύσαντα ἐν Αἰτωλίᾳ λέγουσιν ὑπὸ τῶν Ἀγρίου παίδων ἐκβληθέντα τῆς ἀρχῆς παρὰ Διομήδην ἐς Ἄργος ἀφικέσθαι. ὁ δὲ τὰ μὲν ἄλλα ἐτιμώρησεν αὐτῷ στρατεύσας ἐς τὴν Καλυδωνίαν, παραμένειν δὲ οὐκ ἔφη οἱ δύνασθαι· συνακολουθεῖν δ', εἰ βούλοιτο, ἐς Ἄργος ἐκεῖνος ἐκέλευεν. ἀφικόμενον δὲ τά τε ἄλλα ἐθεράπευεν, ὡς πατρὸς θεραπεύειν πατέρα εἰκὸς ἦν, καὶ ἀποθανόντα ἔθαψεν ἐνταῦθα. ἀπὸ τούτου μὲν

1) Οἰνόη] Steph. habet Οἴνη et Οἰνώη.

2) Οἰνέα γὰρ etc.] Vid. Apollodor. I. C. 8. 6. et ibi not.

μὲν Οἰνόη χωρίον ἐστὶν Ἀργείοις. Ὑπὲρ δὲ Οἰνόης [3]) 3
ὄρος ἐστὶν Ἀρτεμίσιον, καὶ ἱερὸν Ἀρτέμιδος ἐπὶ κορυφῇ τοῦ ὄρους. ἐν τούτῳ δέ εἰσι τῷ ὄρει καὶ αἱ πηγαὶ τοῦ Ἰνάχου· πηγαὶ γὰρ δὴ τῷ ὄντι εἰσὶν αὐτῷ, τὸ δὲ ὕδωρ οὐκ ἐπὶ πολὺ ἐξικνεῖται τῆς γῆς. ταύτῃ μὲν δὴ θέας οὐδὲν ἔτι ἦν ἄξιον. Ἑτέρα δὲ ὁδὸς ἀπὸ τῶν πυ- 4
λῶν τῶν πρὸς τῇ Δειράδι ἐστὶν ἐπὶ Λύρκειαν. ἐς τοῦτο λέγεται τὸ χωρίον Λυγκέα [4]) ἀποσωθῆναι τῶν πεντήκοντα ἀδελφῶν μόνον, καὶ ἡνίκα ἀνεσώθη, πυρσὸν ἀνέσχεν ἐντεῦθεν. συνέκειτο δὲ ἄρα αὐτῷ πρὸς τὴν Ὑπερμνήστραν, ἀνασχεῖν τὸν πυρσόν, ἢν διαφυγὼν Δαναὸν ἐς ἀσφαλὲς ἀφίκηται [5]) ποι. τὴν δὲ καὶ αὐτὴν ἀνάψαι λέγουσιν ἕτερον ἀπὸ τῆς Λαρίσσης, δῆλα καὶ ταύτην ποιοῦσαν, ὅτι ἐν οὐδενὶ οὐδὲ αὐτὴ καθέστηκεν ἔτι κινδύνῳ. ἐπὶ τούτῳ δὲ Ἀργεῖοι κατὰ ἔτος ἕκαστον πυρσῶν ἑορτὴν ἄγουσιν. τὸ δὲ χωρίον τότε μὲν Λυγκεία ἐκαλεῖτο, οἰκήσαντος δὲ ὕστερον ἐν αὐτῷ Λύρκου (παῖς δὲ ἦν Ἄβαντος νόθος), τὸ ὄνομα δι' αὐτὸν ἔσχηκεν. καὶ ἄλλα τέ ἐσιν οὐκ ἀξιόλογα ἐν τοῖς ἐρειπίοις, καὶ εἰκὼν ἐπὶ στήλῃ τοῦ Λύρκου. ἐς μὲν δὴ ταύτην ἐστὶν ἐξ Ἄργους ἑξήκοντα μάλιστά που στάδια· ἐκ δὲ Λυρκείας ἕτερα τοσαῦτα ἐς Ὀρνεάς. Λυρκείας 5
μὲν δὴ πόλεως, ἅτε ἠρημωμένης ἤδη κατὰ τὴν Ἑλλήνων στρατιὰν [6]) ἐπὶ Ἴλιον, οὐκ ἐποιήσατο Ὅμηρος ἐν καταλόγῳ μνήμην· Ὀρνεὰς δὲ (ἔτι γὰρ ᾠκοῦντο), ὥσπερ τῷ τόπῳ τῆς Ἀργείας ἔκειντο, οὕτω καὶ ἐν τοῖς ἔπεσι προτέρας [7]) ἡ Φλιοῦντά τε καὶ Σικυῶνα

3) Ὑπὲρ δὲ Οἰνόης] Cod. Vind. ὑπὲρ δὲ τῆς Οἰνόης.

4) Λυγκέα etc.] Vid. supra C. 19.

5) ἀφίκηται] Cod. Mosc. bene dat ἀφίκοιτό.

6) στρατιὰν] *Sylb.* mavult στρατείαν, sicuti saepius haec nomina permutantur.

7) ἐν τοῖς ἔπεσι προτέρας] Uterque Codex προτέρα. Locus Homeri est Il. B. v. 571.

κυῶνα κατέλεξε. ἐκαλοῦντο δὲ ἀπὸ Ὀρνέως τοῦ Ἐρεχθέως. τοῦ δὲ Ὀρνέως ἦν τούτου Πετεὼς, τοῦ δὲ Μενεσθεὺς, ὃς Ἀγαμέμνονι μετὰ Ἀθηναίων τὴν Πριάμου συγκαθεῖλεν ἀρχήν. ἀπὸ μὲν δὴ τούτου τὸ ὄνομα ἐγένετο τῇ πόλει. Ἀργεῖοι δὲ ὕστερον τούτων Ὀρνεάτας ἀνέσησαν· ἀναστάντες δὲ σύνοικοι γεγόνασιν Ἀργείοις. ἔστι δὲ ἐν ταῖς Ὀρνεαῖς Ἀρτέμιδός τε ἱερὸν καὶ ξόανον ὀρθὸν, καὶ ἕτερος ναὸς θεοῖς πᾶσιν ἐς κοινὸν ἀνειμένος. τὰ δὲ ἐπέκεινα Ὀρνεῶν ἥ τε Σικυωνία καὶ ἡ Φλιασία ἐστίν.

6 Ἐρχομένοις δ' ἐξ Ἄργους ἐς τὴν Ἐπιδαυρίαν ἐστὶν οἰκοδόμημα ἐν δεξιᾷ πυραμίδι μάλιστα εἰκασμένον, ἔχει δὲ ἀσπίδας, σχῆμα Ἀργολικὰς ἀπειργασμένας. ἐνταῦθα Προίτῳ περὶ τῆς ἀρχῆς πρὸς Ἀκρίσιον μάχη γίνεται, καὶ τέλος μὲν ἴσον τῷ ἀγῶνι συμβῆναί φασι, καὶ ἀπ' αὐτοῦ διαλλαγὰς ὕστερον, ὡς οὐδέτεροι βεβαίως κρατεῖν ἐδύναντο [8]). συμβάλλειν δὲ σφᾶς λέγουσιν ἀσπίσι τότε πρῶτον [9]) καὶ αὐτοῖς καὶ τὸ στράτευμα ὡπλισμένοις [10]). τοῖς δὲ πεσοῦσιν ἀφ' ἑκατέρων (πολῖται γὰρ καὶ συγγενεῖς ἦσαν) 7 ἐποιήθη ταύτῃ μνῆμα ἐν κοινῷ. Προϊοῦσι δὲ ἐντεῦθεν καὶ ἐκτραπεῖσιν ἐς δεξιὰν, Τίρυνθός ἐστιν ἐρείπια. ἀνέσησαν δὲ καὶ Τιρυνθίους Ἀργεῖοι, συνοίκους προσλαβεῖν

8) βεβαίως κρατεῖν id.] *quod neuter firmiter* (certo) *superior evadere posset. Amas.* male haec interpretatur: *quod neuter ius satis firmum sine alterius opibus esse posset imperium.*

9) ἀσπίσι τότε πρῶτον etc.] Vid. Apollodor. II. C. 2. 1., et schol. ad Eurip. Oreſt. v. 965.

10) αὐτοῖς — ὡπλισμένοις] *Sylb.* mavult αὐτοὺς — ὡπλισμένους, quod σφᾶς exigere videtur. Sed variare ſolet in Pauſania caſuum ſyntaxis; quare hi dativi abſolute ſunt ſumendi. Sic paullo ante ab initio hujus Cap προελθοῦσι δὲ αὐτόθι διαβάντων ποταμόν etc.

λαβεῖν καὶ τὸ Ἄργος ἐπαυξῆσαι θελήσαντες. Τίρυνθα δὲ ἥρωα, ἀφ' οὗ τῇ πόλει τὸ ὄνομα ἐγένετο, παῖδα Ἄργου τοῦ Διὸς εἶναι λέγουσι. τὸ δὴ τεῖχος, ὃ δὴ μόνον τῶν ἐρειπίων λείπεται, Κυκλώπων μέν ἐστιν ἔργον, πεποίηται δὲ ἀργῶν λίθων, μέγεθος ἔχων ἕκαστος λίθος, ὡς ἀπ' αὐτῶν μηδ' ἂν ἀρχὴν κινηθῆναι τὸν μικρότατον ὑπὸ ζεύγους ἡμιόνων. λιθία δὲ ἐνήρμοσαι πάλαι, ὡς μάλιστα αὐτῶν ἕκαστον ἁρμονίαν [11]) τοῖς μεγάλοις λίθοις εἶναι. Καταβάντων δὲ ὡς ἐπὶ θάλασσαν, ἐνταῦθα οἱ θάλαμοι τῶν Προίτου θυγατέρων εἰσίν. ἐπανελθόντων δ' ἐς τὴν λεωφόρον, ἐπὶ Μίδειαν ἐς ἀριστερὰν ἤξεις. βασιλεῦσαι δέ φασιν Ἠλεκτρύωνα ἐν τῇ Μιδείᾳ τὸν πατέρα Ἀλκμήνης. ἐπ' ἐμοῦ δὲ Μιδείας πλὴν τὸ ἔδαφος ἄλλο οὐδὲν ἐλείπετο. Κατὰ δὲ τὴν ἐς Ἐπίδαυρον εὐθεῖάν ἐστι κώμη Λῆσσα, ναὸς δὲ Ἀθηνᾶς ἐν αὐτῇ καὶ ξόανον, οὐδέν τι διάφορον ἢ τὸ ἐν ἀκροπόλει τῇ Λαρίσσῃ. ἔστι δὲ ὄρος ὑπὲρ τῆς Λήσσης τὸ Ἀραχναῖον [12]), πάλαι δὲ Σαπυσελάτων ἐπὶ Ἰνάχου τὸ ὄνομα εἰλήφει· βωμοὶ δέ εἰσιν ἐν αὐτῷ, Διός τε καὶ Ἥρας. δεῖσαν, ὄμβρου, σφίσιν ἐνταῦθα θύουσιν. 8 9

11) ἕκαστον ἁρμονίαν] Forte scribendum sit ἕκαστον ἐς ἁρμονίαν.

12) τὸ Ἀραχναῖον] Vid. Steph. h. v. Hesych. ὑσσέλινον, τὸ νῦν Ἀραχναῖον ὄρος ἐν Ἄργει καλούμενον.

CAPUT XXVI.

De Epidauriorum et Argivorum finibus — primis Epidauri dominis — Epidauro, a quo Epidauria regio nomen accepit — de Epidauria terra Aesculapio sacra et Aesculapii natalibus varia narratio — de Epidauro, Aesculapii patria, et variis locis, ubi Aesculapius colitur.

Κατὰ δὲ τὴν Λῆσσαν ἔχεται τῆς Ἀργείας ἡ Ἐπιδαυρίων. πρὶν δὲ ἢ κατὰ ταύτην γενέσθαι τὴν πόλιν,
2. ἐπὶ τὸ ἱερὸν ἀφίξῃ τοῦ Ἀσκληπιοῦ. Ταύτην τὴν χώραν οὐκ οἶδα οἵτινες πρότερον ᾤκησαν, πρὶν Ἐπίδαυρον ἐλθεῖν ἐς αὐτήν· οὐ μὴν οὐδὲ τοὺς ἀπογόνους Ἐπιδαύρου πυθέσθαι παρὰ τῶν ἐπιχωρίων ἐδυνάμην. τελευταῖον δὲ, πρὶν ἢ παραγενέσθαι Δωριέας ἐς Πελοπόννησον, βασιλεῦσαί φασι Πιτυρέα Ἴωνος ἀπόγονον τοῦ Ξούθου. τοῦτον παραδοῦναι λέγουσιν ἁμαχεὶ τὴν γῆν Δηϊφόντῃ καὶ Ἀργείοις. καὶ ὁ μὲν ἐς Ἀθήνας ὁμοῦ τοῖς πολίταις ἀφικόμενος ἐνταῦθα ᾤκησε, Δηϊφόντης δὲ καὶ Ἀργεῖοι τὴν Ἐπιδαύριον ἔσχον. ἀπεσχίσθησαν δὲ οὗτοι τῶν ἄλλων Ἀργείων, Τημένου τελευτήσαντος, Δηϊφόντης μὲν καὶ Ὑρνηθὼ, κατ' ἔχθος τῶν Τημένου παίδων [1]), ὁ δὲ σὺν αὐτοῖς στρατὸς, Δηϊφόντῃ καὶ Ὑρνηθοῖ πλέον ἢ Κείσῳ καὶ τοῖς ἀδελφοῖς νέμοντες.
3 Ἐπίδαυρος δὲ, ἀφ' οὗ τὸ ὄνομα τῇ γῇ ἐτέθη, ὡς μέν φασιν Ἠλεῖοι, Πέλοπος ἦν· κατὰ δὲ Ἀργείων δόξαν καὶ τὰ ἔπη τὰς μεγάλας ἠοίας ἦν Ἐπιδαύρῳ πατὴρ Ἄργος ὁ Διός [2]). Ἐπιδαύριοι δὲ Ἀπόλλωνι Ἐπιδαυ-
4 ρον παῖδα προσποιοῦσιν. Ἀσκληπιοῦ δὲ ἱερὰν μάλιστα εἶναι

1) Δηϊφόντης — παίδων] De hoc vid. C. 28.

2) Ἄργος ὁ Διός] Vid. Apollodor. L. II, C. 1, 2.

εἶναι τὴν γῆν, ἐπὶ λόγῳ συμβέβηκε τοιῷδε. Φλεγύαν. Ἐπιδαύριοί φασιν ἐλθεῖν ἐς Πελοπόννησον, πρόφασιν μὲν ἐπὶ θέᾳ τῆς χώρας, ἔργῳ δὲ κατάσκοπον πλήθους τῶν ἐνοικούντων, καὶ εἰ τὸ πολὺ μάχιμον εἴη τῶν ἀνθρώπων. ἦν γὰρ δὴ Φλεγύας πολεμικώτατος τῶν τότε, καὶ ἐπιὼν ἑκάστοτε, ἐφ' οὓς τύχοι, τοὺς καρπούς ἔφερε καὶ ἤλαυνε τὴν λείαν. ὅτε δὲ παρεγένετο ἐς Πελοπόννησον, εἵπετο ἡ θυγάτηρ αὐτῷ, λελη-θυῖα ἔτι τὸν πατέρα, ὅτι ἐξ Ἀπόλλωνος εἶχεν ἐν γαστρί. ὡς δὲ ἐν τῇ γῇ τῇ Ἐπιδαυρίων ἔτεκεν, ἐκτίθησι τὸν παῖδα ἐς τὸ ὄρος τοῦτο, ὃ δὴ Τίτθειον ὀνομάζουσιν ἐφ' ἡμῶν, τηνικαῦτα δὲ ἐκαλεῖτο Μύρτιον [3]· ἐκ-κειμένῳ δὲ ἐδίδου μέν οἱ γάλα μία τῶν περὶ τὸ ὄρος τῶν ποιμαινομένων αἰγῶν, ἐφύλασσε δὲ ὁ κύων ὁ τοῦ αἰπόλου [4]) Φρουρός. Ἀρεσθάνας δὲ (ὄνομα γὰρ τῷ ποιμένι τοῦτο ἦν) ὡς τὸν ἀριθμὸν οὐχ εὕρισκεν ὁμολογοῦντα τῶν αἰγῶν καὶ ὁ κύων ἅμα ἀπεσάτει τῆς ποίμνης, οὕτω τὸν Ἀρεσθάναν ἐς πᾶν φασιν ἀφικνεῖσθαι ζητήσεως, εὑρόντα δὲ ἐπιθυμῆσαι τὸν παῖδα ἀνελέσθαι, καὶ ὡς ἐγγὺς ἐγένετο, ἀσπαπὴν εἶδεν ἐκλάμψασαν ἀπὸ τοῦ παιδός, νομίσαντα δὲ εἶναι θεῖόν τι, ὥσπερ ἦν, ἀποτραπέσθαι. ὁ δὲ αὐτίκα ἐπὶ γῆν καὶ θάλασσαν πᾶσαν ἠγγέλλετο, τά τε ἄλλα ὁπόσα βούλοιτο εὑρίσκειν ἐπὶ τοῖς κάμνουσι, καὶ ὅτι ἀνίσησι τεθνεῶτας. Λέγεται δὲ καὶ ἄλλος ἐπ' αὐτῷ [5]) λόγος. Κορωνίδα κύουσαν Ἀσκληπιὸν Ἴσχυϊ τῷ Ἐλάτου συγγενέσθαι· καὶ τὴν μὲν ἀποθανεῖν ὑπὸ

3) Μύρτιον] Cod. Mosc. Μύργιον.

4) ὁ τοῦ αἰπόλου] *Kuhn.* mavult ὁ τοῦ αἰπολίου, *gregis caprarum.*

5) ἐπ' αὐτῷ] Uterque Cod. ἐπ' αὐτό.

Ἀρτέμιδος ἀμυνομένης τῆς ἐς τὸν Ἀπόλλωνα ὕβρεως, ἐξημμένης δὲ ἤδη τῆς πυρᾶς ἁρπάσαι λέγεται τὸν
6 παῖδα Ἑρμῆς ἀπὸ τῆς Φλογός. Ὁ δὲ τρίτος τῶν λόγων ἥκιστα (ἐμοὶ δοκεῖν) ἀληθής ἐστιν, Ἀρσινόης ποιήσας εἶναι τῆς Λευκίππου παῖδα Ἀσκληπιόν. Ἀπολλοφάνει γὰρ τῷ Ἀρκάδι ἐς Δελφοὺς ἐλθόντι καὶ ἐρομένῳ τὸν θεὸν, εἰ γένοιτο ἐξ Ἀρσινόης Ἀσκληπιὸς καὶ Μεσσηνίοις πολίτης εἴη, ἔχρησεν ἡ Πυθία·

Ὦ μέγα χάρμα βροτοῖς βλαστὼν Ἀσκληπιὲ πᾶσιν,
Ὃν Φλεγυηΐς ἔτικτεν ἐμῇ φιλότητι μιγεῖσα
Ἰμερόεσσα Κορωνὶς ἐνὶ κραναῇ Ἐπιδαύρῳ.

οὗτος ὁ χρησμὸς δηλοῖ μάλιστα οὐκ ὄντα Ἀσκληπιὸν Ἀρσινόης, ἀλλὰ Ἡσιόδου ἢ τῶν τινα ἐμπεποιηκότων ἐς τὰ Ἡσιόδου τὰ ἔπη συνθέντα ἐς τὴν Μεσσηνίων
7 χάριν. Μαρτυρεῖ δέ μοι καὶ τόδε, ἐν Ἐπιδαύρῳ τὸν θεὸν γενέσθαι. τὰ γὰρ Ἀσκλήπεια [6]) εὑρίσκω τὰ ἐπιφανέστατα ἐξ Ἐπιδαύρου. τοῦτο μὲν γὰρ Ἀθηναῖοι τῆς τελετῆς λέγοντες Ἀσκληπιῷ μεταδοῦναι, τὴν ἡμέραν ταύτην Ἐπιδαύρια ὀνομάζουσι, καὶ θεὸν ἀπ' ἐκείνου φασὶν Ἀσκληπιὸν σφισι νομισθῆναι· τοῦτο δὲ Ἀρχίας ὁ Ἀρισταίχμου τὸ συμβὰν σπάσμα θηρεύ-

6) τὰ γὰρ Ἀσκλήπεια] Ἀσκλήπεια contractum pro Ἀσκληπίεια, quod frequentius in Pausania. Attamen nihil hic mutandum, ſicuti *Kuhn.* vult; variat enim ſcriptura in hoc et ſimilibus vocabulis, v. c. Ὀλυμπίειον, Ὀλύμπιον etc. Ἀσκληπίεια autem non ſolum *templa et ſigna Aeſculapii*, ſed etiam ejus *ſacra*, uti h. l, denotare, ſatis notum eſt. Quae hic ſequuntur, inde ſunt explicanda, quod octavus myſteriorum dies Epidauria dicebatur. Vid. Lakemacher Antiqu. Graec. ſacr. p. 621.

θηρεύοντί οἱ περὶ τὸν Πίνδασον ἰαθεὶς [7]) ἐν τῇ Ἐπιδαυρίᾳ, τὸν θεὸν ἐπηγάγετο ἐς Πέργαμον. ἀπὸ δὲ τοῦ Περγαμηνῶν Σμυρναίοις γέγονεν ἐφ' ἡμῶν Ἀσκλήπειον τὸ ἐπὶ θαλάσσῃ. τὸ δ' ἐν Βαλανάγραις [8]) ταῖς Κυρηναίων, ἐστὶν Ἀσκληπιὸς καλούμενος ἰατρὸς, ἐξ Ἐπιδαύρου καὶ οὗτος. ἐκ δὲ τοῦ παρὰ Κυρηναίοις τὸ ἐν Λεβήνῃ [9]) τῇ Κρητῶν ἐστιν Ἀσκληπεῖον. Διάφορον δὲ Κυρηναίοις τοσόνδε ἐς Ἐπιδαυρίους ἐστὶν, ὅτι αἴγας οἱ Κυρηναῖοι θύουσιν, Ἐπιδαυρίοις οὐ καθεστηκότος. Θεὸν δὲ Ἀσκληπιὸν νομισθέντα ἐξ ἀρχῆς καὶ οὐκ ἀνὰ χρόνον λαβόντα τὴν φήμην [10]) τεκμηρίοις καὶ ἄλλοις εὑρίσκω, καὶ Ὁμήρου μαρτυρεῖ μοι τὰ περὶ Μαχάονος ὑπὸ Ἀγαμέμνονος εἰρημένα [11]).

Ταλθύβι, ὅττι τάχιστα Μαχάονα δεῦρο κάλεσσον
Φῶτ', Ἀσκληπιοῦ υἱόν·
ὡς ἂν εἰ λέγοι θεοῦ παῖδ' ἄνθρωπον.

7) Πίνδασον ἰαθεὶς] Cod. V. Πινδαρσον ἰασθεὶς, et Mosc. Πίνδαρον cum suprascripto σ. Plin. H. N. L. V. C. 30. in fine *Pindasium* montem memorat, et ex eo fluvium *Cetium* profluere dicit.

8) τὸ δ' ἐν Βαλανάγραις etc.] Uterque Cod. exhibet Βαλάγγραις. Neutrius loci in aliis fit mentio. τὸ δ' ἐν — καλούμενος est constructio ad sensum, nisi malis legere τῷ δ'.

9) Λεβήνῃ] Ptolem. scribit Λέβηνα, Strabo Λεβήν.

10) τὴν φήμην] Cod. Vind. τὴν μνήμην.

11) Ὁμήρου — εἰρημένα] Locus extat Il. Δ. v. 193. 194.

CAPUT XXVII.

De Aesculapii sacro luco apud Epidaurios — Aesculapii signo — aede Tholo et picturis in ea, ac pilis, quibus morbi et nomina sanatorum inscripta sunt — Hippolyto ab Aesculapio in vitam revocato — theatro Epidaurio-rum — aliis templis et memorandis in luco Aesculapii — templis et operibus ab Antonino Senatore Epidauri ex-structis — montibus luco imminentibus et memo-randis ibi.

Τὸ δὲ ἱερὸν ἄλσος τοῦ Ἀσκληπιοῦ περιέχουσιν ὄροι [1]) πανταχόθεν· οὐδὲ ἀποθνήσκουσιν, οὐδὲ τίκτουσιν αἱ γυναῖκες σφισιν ἐντὸς τοῦ περιβόλου, καθὰ καὶ ἐπὶ Δήλῳ [2]) τῇ νήσῳ τὸν αὐτὸν νόμον. τὰ δὲ θυόμενα, ἤν τέ τις Ἐπιδαυρίων αὐτῶν, ἤν τε ξένος ὁ θύων ᾖ, κατα-ναλίσκουσιν ἐντὸς τῶν ὅρων. τὸ δὲ αὐτὸ γιγνόμενον
2 οἶδα καὶ ἐν Τιτάνῃ [3]). Τοῦ δὲ Ἀσκληπιοῦ τὸ ἄγαλμα μεγέθει μὲν τοῦ Ἀθήνησιν Ὀλυμπίου Διὸς ἥμισυ ἀπο-δεῖ, πεποίηται δὲ ἐλέφαντος καὶ χρυσοῦ· μηνύει δὲ ἐπίγραμμα, τὸν εἰργασμένον εἶναι Θρασυμήδην Ἀρι-γνώτου Πάριον. κάθηται δὲ ἐπὶ θρόνου βακτηρίαν κρατῶν, τὴν δὲ ἑτέραν τῶν χειρῶν ὑπὲρ κεφαλῆς ἔχει τοῦ δράκοντος, καί οἱ κύων παρακατακείμενος πεποίη-

1) ὄροι] *Amas.* legisse videtur ὄρη, vertens *montes*; quae lectio iis, quae in fine hujus Capitis sunt, ὄρη δέ εἰσιν ὑπὲρ τὸ ἄλσος, et ex Strabone firmari possit, qui L. VIII. p. 575. dicit, Epidaurum περικλείεσθαι ὄρεσι ὑψηλοῖς. Sed vulgatam bene se habere, sequentia testantur ἐντὸς τοῦ περιβόλου et ἐντὸς τῶν ὅρων.

2) καθὰ κμὶ ἐπὶ Δήλῳ] *Sylb.* conjicit κατὰ etc., ut per tmesin a verbis τὸν αὐτὸν νόμον separatum sit, sicuti C. 33. κατὰ δή τι ἐξ Ἀθηνᾶς ὄνειρον. Sed τὸν αὐτὸν νόμον et τὸν αὐτ. τρόπον saepius absolute absque κατὰ ponuntur. De re ipsa vid. Thucyd. L. III. f. 104.

3) Τιτάνῃ] Vid. supra C. 11.

πεποίηται. τῷ θρόνῳ δὲ ἡρώων [4]) ἐπειργασμένα Ἀργείων ἐστὶν ἔργα, Βελλεροφόντου τὸ ἐς τὴν Χίμαιραν, καὶ Περσεὺς ἀφελὼν τὴν Μεδούσης κεφαλήν. τοῦ ναοῦ δέ ἐστι πέραν, ἔνθα οἱ ἱκέται [5]) τοῦ θεοῦ καθεύδουσιν. Οἴκημα δὲ περιφερὲς λίθου λευκοῦ, 3
καλούμενον Θόλος, ᾠκοδόμηται πλησίον, θέας ἄξιον. ἐν δὲ αὐτῷ Παυσίου γράψαντος βέλη μὲν καὶ τόξον ἐστὶν ἀφειεὼς Ἔρωτος, λύραν δὲ ἀντ' αὐτῶν ἁράμενος φέρει [6]). γέγραπται δὲ ἐνταῦθα καὶ Μέθη, Παυσίου καὶ τοῦτο ἔργον, ἐξ ὑαλίνης φιάλης πίνουσα· ἴδοις δ' ἂν ἐν τῇ γραφῇ φιάλην τε ὑάλου καὶ δι' αὐτῆς γυναικὸς πρόσωπον. σῆλαι [7]) δ' εἰσήκεσαν ἐντὸς τοῦ περιβόλου, τὸ μὲν ἀρχαῖον καὶ πλέονες, ἐπ' ἐμοῦ δὲ ἐξ λοιπαί. ταύταις ἐγγεγραμμένα καὶ ἀνδρῶν καὶ γυναικῶν ἐστιν ὀνόματα ἀνεσθέντων ὑπὸ τοῦ Ἀσκληπιοῦ, προσέτι δὲ καὶ νόσημα, ὅ τι ἕκαστος ἐνόσησε, καὶ ὅπως ἰάθη· γέγραπται δὲ φωνῇ τῇ Δωρίδι. Χωρὶς δὲ 4
ἀπὸ τῶν ἄλλων ἐστὶν ἀρχαία σῆλη, ἵππους δὲ Ἱππόλυτον ἀναθεῖναι τῷ θεῷ φησὶν [8]) εἴκοσι. ταύτης τῆς

4) δὲ ἡρώων] In Cod. Vind. desunt

5) ἱκέται] Cod Vind. οἰκέται ex vulgari harum vocum permutatione Vulgatam rectam esse, in notis ad Cap. 11. docuimus.

6) λύραν — φέρει] Winkelm. *Descript. des pierres grav. de M. le B. de Stosch* p. 143. hoc forte ad harmoniam astrorum Pythagorae alludi putat. Mihi potius hac imagine amoris cum dulci musices affectu vinculum expressum videtur.

7) σῆλαι etc.] Strabo L. VIII. p. 575. templum Aesculapii tabellis repletum fuisse dicit, quibus ista inscripta fuerint. Idem refert Eustath. ad Homer. Il. β. v. 561.

8) φησὶν] Sic scribendum esse pro φασὶν, *Kuhn.* bene conjecit et Cod. Mosc. illud exhibet. Quemadmodum σῆλη hic *dicere* seu *indicare* aliquid dicitur, sic in Theophrasti char. mor. περὶ Ἀλαζονείας est, γράμματα εἰπεῖν, ὡς etc.

σήλης τῷ ἐπιγράμματι ὁμολογοῦντα λέγουσιν Ἀρικιεῖς, ὡς τεθνεῶτα Ἱππόλυτον ἐκ τῶν Θησέως ἀρῶν ἀνέστησεν Ἀσκληπιός [9]). ὁ δὲ ὡς αὖθις ἐβίω, οὐκ ἠξίου νέμειν τῷ πατρὶ συγγνώμην, ἀλλὰ ὑπεριδὼν τὰς δεήσεις ἐς Ἰταλίαν ἔρχεται πρὸς τοὺς Ἀρικιεῖς, καὶ ἐβασίλευσέ τε αὐτόθι, καὶ ἀνῆκε τῇ Ἀρτέμιδι τέμενος, ἔνθα ἄχρις ἐμοῦ μονομαχίας ἆθλα ἦν [10]), καὶ ἱεροῦσθαι τῇ θεῷ τὸν νικῶντα. ὁ δὲ ἀγὼν ἐλευθέρων μὲν προσέκειτο [11]) οὐδενὶ, οἰκέταις δὲ ἀποδρᾶσι τοὺς
5 δεσπότας. Ἐπιδαυρίοις δέ ἐστι θέατρον ἐν τῷ ἱερῷ, μάλιστα, ἐμοὶ δοκεῖν, θέας ἄξιον· τὰ μὲν γὰρ Ῥωμαίων πολὺ δή τι καὶ ὑπερῆρε τῶν πανταχοῦ τῷ κόσμῳ, μεγέθει δὲ Ἀρκάδων τὸ ἐν Μεγάλῃ πόλει· ἁρμονίας δὲ ἢ κάλλους εἵνεκα ἀρχιτέκτων ποῖος ἐς ἄμιλλαν Πολυκλείτῳ γένοιτ' ἂν ἀξιόχρεως [12]); Πολύκλειτος γὰρ καὶ θέατρον τοῦτο καὶ οἴκημα τὸ πε-
6 ριφερὲς ὁ ποιήσας ἦν. Ἐντὸς δὲ τοῦ ἄλσους ναός τέ ἐστιν Ἀρτέμιδος, καὶ ἄγαλμα Ἠπιόνης [13]), καὶ Ἀφρο-

9) Ἀρικιεῖς — Ἀσκληπιός etc.] Cod. Mosc. perperam exhibet Ἀρκιεῖς, uti et in Ald exempl. est. De *Aricia*, urbe in via Appia, et *Diana Aricina* vid. Strabon. L. V. p. 365. 366. et ibi Casaub. In Stephano est Ἀρίκεια et gentile Ἀρικηνός. Hippolytus redivivus inde *Virbius* dictus, de quo vid. Serv. ad Virgil. Aen. VII. v. 761. et Vossii Etymol. v. *vir*.

10) ἆθλα ἦν] Uterque Codex ἆθλον ἦν.

11) προσέκειτο] *Sylb.* mavult προέκειτο.

12) τὰ μὲν — ἀξιόχρεως] Haec verba declarant, *Epidauriorum theatrum Romanorum theatra superare ornamentorum ratione, Megalopolitanum magnitudine, nulli vero cedere partium convenientia et venustate, quippe quod a Polycleto exstructum sit.* Ab hoc vero verborum sensu prorsus aberrarunt interpretes.

13) Ἠπιόνης] *uxoris Aesculapii*, uti ex C. 29. init. patet et ex Suida h. v.

НБ ОНУ імені І.І.Мечникова

Ἀφροδίτης ἱερὸν, καὶ Θέμιδος, καὶ σάδιον, οἱ Ἕλλησι [14]) τὰ πολλὰ γῆς χῶμα, καὶ κρήνη τῷ τε ὀρόφῳ καὶ κόσμῳ τῷ λοιπῷ θέας ἀξία. Ὁπόσα δὲ Ἀντωνῖνος ἀνὴρ τῆς συγκλήτου βουλῆς ἐφ' 7
ἡμῶν ἐποίησεν, ἔστι μὲν Ἀσκληπιοῦ λουτρὸν, ἔστι δὲ ἱερὸν θεῶν, οὓς Ἐπιδώτας ὀνομάζουσιν. ἐποίησε δὲ καὶ Ὑγείᾳ ναὸν, καὶ Ἀσκληπιῷ καὶ Ἀπόλλωνι ἐπίκλησιν Αἰγυπτίοις [15]). καὶ ἦν γὰρ σοὰ καλουμένη Κότυος [16]), καταρυέντος [17]) δέ οἱ τοῦ ὀρόφου, διέφθαρτο ἤδη πᾶσα, ἄτε ὑμῆς τῆς πλίνθου ποιηθεῖσα· ἀνῳκοδόμησε καὶ ταύτην. Ἐπιδαυρίων δὲ οἱ περὶ τὸ ἱερὸν [18]) μάλιστα ἐταλαιπώρουν, ὅτι μήτε αἱ γυναῖκες ἐν σκέπῃ σφίσιν ἔτικτον, καὶ ἡ τελευτὴ τοῖς κάμνουσιν ὑπαίθριος ἐγίγνετο. ὁ δὲ καὶ ταῦτα ἐπανορθούμενος κατεσκευάσατο οἴκησιν, ἐνταῦθα ἤδη καὶ ἀποθανεῖν ἀνθρώπῳ, καὶ τεκεῖν γυναικὶ ὅσιον. Ὄρη δέ εἰσιν ὑπὲρ τὸ ἄλσος, τό τε Τιτθίου [19]), 8

S 5 καὶ

14) κρήνη, σάδιον, οἱ Ἕλλησι etc.] Verba οἱ Ἕλλησι sententiam turbare et obscuram reddere, nemini non liquere arbitror. Cod. Mosc. dat οἳ, et *Amas.* ista prorsus omittit interpretatus: *curriculum praeterea magna ex parte agger.* Etiamsi οἳ probare et vertere velis *ibi* (vid. Hesych. h. v.), vox Ἕλλησι tamen alieno loco est. Quare maxime mihi arridet *Palmerii* (Exerc. p. 375.) emendatio scribentis: σάδιον, οἷον Ἕλλησι τὰ πολλὰ, γῆς χῶμα, *stadium, quale Graecis ut plurimum, agger terreus.* Sic stadium *aggesta terra constructum* memoratur L. VIII. C. 47. et hippodromus L. VI. C. 20.

15) Αἰγυπτίοις] *Amas.* legit Αἰγυπτίῳ.

16) Κότυος] De *Cotye Daemone*, turpis libidinis praeside, vid. Suid. h. v.

17) καταρυέντος] Cod. M. καταῤῥυέντος, et mox pro διέφθαρτο uterque Codex exhibet διέφθαρται.

18) οἱ περὶ τὸ ἱερὸν] scil. Ἀσκληπιοῦ. Redit Pausan. ad hoc templum, quod initio capitis descripserat.

19) Τιτθίου] Supra C. 26. fuit Τίτθειον. Forte hic Τιτθιον vel Τίτθειον scribendum sit.

καὶ ἕτερον ὀνομαζόμενον Κυνόρτιον, Μαλεάτου δὲ Ἀπόλλωνος [20]) ἱερὸν ἐν αὐτῷ. τοῦτο μὲν δὴ τῶν ἀρχαίων· τὰ δὲ ἄλλα, ὅσα περὶ τὸ ἱερὸν τοῦ Μαλεάτου, καὶ Ἑλύτρου κρήνη [21]), ἐς ὃ τὸ ὕδωρ συλλέγεται σφισι τὸ ἐκ τοῦ θεοῦ, Ἀντωνῖνος καὶ ταῦτα Ἐπιδαυρίοις ἐποίησε.

CAPUT XXVIII.

De draconibus, cum iis, quos regio Epidauria alit, tum aliis Aesculapio sacris — monte Coryphaeo et templo Dianae Coryphaeae — loco Hyrnethium dicto, ac de Deïphonte et Hyrnetho — sepulcris Meliſſae et Patroclis (seu Proclis).

Δράκοντες δὲ οἱ λοιποὶ καὶ ἕτερον γένος ἐς τὸ ξανθότερον ῥέποντες χρόας ἱεροὶ μὲν τοῦ Ἀσκληπιοῦ νομίζονται, καί εἰσιν ἀνθρώπους ἥμεροι· τρέφει δὲ μόνη σφᾶς ἡ τῶν Ἐπιδαυρίων γῆ. τὸ δὲ αὐτὸ εὑρίσκω καὶ ἄλλαις χώραις συμβεβηκός. Λιβύη μέν γε μόνη κροκοδείλους τρέφει χερσαίους [1]), διπήχεων οὐκ ἐλάσσονας. παρὰ δὲ Ἰνδῶν μόνων ἄλλα τε νομίζεται καὶ ὄρνιθες οἱ ψιττακοί. τοὺς δὲ ὄφεις οἱ Ἐπιδαύριοι

20) Μαλεάτου — Ἀπόλλωνος] Ejusdem mentio fit L. III. C. 12. Forte ita dictus fuit a Malea, promontorio. Vid. L. III. C. 23.

21) Ἑλύτρου κρήνη] Scribendum esse ἕλυτρον κρήνης, jam *Sylb.* et *Kuhn.* monuerunt. Firmatur haec emendatio L. VII. C. 27. et significatu vocis ἕλυτρον, quae *quodvis involucrum et receptaculum* denotat, et ad varias res transfertur. Vid. Hesych. et Suid. Sic ἕλυτρον κρήνης hic est, quod nostris dicitur *Brunnenkaſten, Waſſerbehältniß.*

1) κροκοδείλους — χερσαίους] Ex Herodoti L. IV. f. 192. Vid. Salmaſ. Exercit. p. 454.

δαύριοι τοὺς Μεγαλαύνας ἐπὶ [2]) πλέον πηχῶν καὶ τριάκοντα προήκοντας, οἷοι παρά τε Ἰνδοῖς τρέφονται καὶ ἐν Λιβύῃ, ἄλλο δή τι γένος φασὶν εἶναι, καὶ οὐ δράκοντας. Ἐς δὲ τοῦ ὄρους ἀνιοῦσι τὴν κορυφήν [3]) 2
ἐστὶ καθ' ὁδὸν στρεπτῆς καλουμένης ἐλαίας φυτόν, αἰτίου τοῦ περιαγαγόντος τῇ χειρὶ Ἡρακλέους ἐς τοῦτο τὸ σχῆμα. εἰ δὲ καὶ Ἀσιναίοις τοῖς ἐν τῇ Ἀργολίδι [4]) ἔθηκεν ὅρον τοῦτον, οὐκ ἄγαν ἔγωγε εἰδείην, ἐπεὶ μηδὲ ἑτέρωθι, ἀνασάτου γενομένης χώρας, τὸ σαφὲς ἔτι οἷόν τε τῶν ὅρων ἐξευρεῖν. ἐπὶ δὲ τῇ ἄκρᾳ τοῦ ὄρους Κορυφαίας ἐστὶν ἱερὸν Ἀρτέμιδος, οὗ καὶ Τελέσιλλα ἐποιήσατο ἐν ἄσματι μνήμην. κατοῦσι δὲ ἐς τῶν Ἐπιδαυρίων τὴν πόλιν, χωρίον ἐστὶ πεφυκυίας ἀγριελαίας ἔχον· Τρηθιον δὲ καλοῦσι τὸ χωρίον. τὰ δὲ ἐς αὐτὸ [5]), ὡς Ἐπιδαύριοί τε λέ- 3
γουσι καὶ εἰκὸς ἔχει, γράψω. Κεισὸς καὶ οἱ λοιποὶ Τημένου παῖδες [6]) μάλιστα ἤδεσαν Δηϊφόντην λυπήσοντες,

2) τοὺς Μεγαλαύνας ἐπὶ etc.] Cod. Vind. τοὺς μεγάλους ἐς ἐπὶ, et Mosc. μεγάλους ἐς, omisso ἐπὶ, quae posterior genuina lectio et vulgata paulatim inde effecta esse videtur.

3) τοῦ ὄρους — τὴν κορυφὴν] Montis nomen, quod hic deest, ex fine praecedentis Cap. huc revocandum esset, scil. Κυνόρτιον. Sed Stephan. v. Κορυφαῖον genuinam lectionem servavit: Κορυφαῖον, ὄρος ἐπὶ τῷ Ἐπιδαυρίῳ, ἐν ᾧ τιμᾶται Ἄρτεμις Κορυφαία, Παυσανίας δευτέρῳ. Hujus priscae lectionis vestigia latent etiam in utroque Codice; Vindob. enim exhibet τὸ ὄρος — τὸ κόρυφον, et Mosc. τοῦ ὄρους — τὸν κορυφόν. Quare sine dubio scribendum est τὸ ὄρος — τὸ Κορυφαῖον.

4) Ἀσιναίοις — Ἀργολίδι] Vid. infra C. 36. Paullo post pro ἀνας. γενομένης χώρας equidem mallem ἀνας. γενομένης τῆς χώρας.

5) ἐς αὐτὸ] Ex utroque Codice rescripsi pro vulgata ἐπ' αὐτῇ, quae nec ad τὸ χωρίον referri, nec explicari poterat, nisi nomine Τρηθῷ paullo durius ex sequentibus suppleto.

6) Κεισὸς καὶ — παῖδες etc.] Ab his, quae sequuntur, filiorum

σοντες, εἰ διαλῦσαί πως ἐξ αὐτοῦ [7]) τὴν Ὑρνηθὼ δυνηθεῖεν. ἀφίκοντο οὖν ἐς Ἐπίδαυρον Κερύνης καὶ Φάλκης· (Ἀγραίῳ γὰρ τῷ νεωτάτῳ τὰ ποιούμενα οὐκ ἤρεσκεν) οὗτοι δὲ σήσαντες τὸ ἅρμα ὑπὸ τὸ τεῖχος, κήρυκα ἀποστελλουσι παρὰ τὴν ἀδελφὴν, ἐλθεῖν δῆθεν ἐς λόγους αὐτῇ βουλόμενοι. ὡς δὲ ὑπήκουσε καλοῦσιν, ἐνταῦθα οἱ νεανίσκοι πολλὰ μὲν Δηϊφόντου κατηγόρουν, πολλὰ δὲ αὐτοὶ ἱκέτευον ἐκείνην ἐπαυνῆκειν ἐς Ἄργος, ἄλλα τε ἐπαγγελλόμενοι καὶ ἀνδρὶ δώσειν αὐτὴν Δηϊφόντου τὰ πάντα ἀμείνονι, καὶ ἀνθρώπων πλειόνων καὶ γῆς ἄρχοντι εὐδαιμονεστέρας. Ὑρνηθὼ δὲ τοῖς λεχθεῖσιν ἀλγήσασα ἀπεδίδου σφίσι τὴν ἴσην, Δηϊφόντην μὲν αὐτῇ τε ἄνδρα ἀρεστὸν εἶναι φήσασα, καὶ Τημένῳ γενέσθαι γαμβρὸν οὐ μεμπτόν· ἐκείνοις δὲ Τημένου προσήκειν σφαγεῦσιν ὀνομάζεσθαι μᾶλλον ἢ παισί. καὶ τὴν μὲν οὐδὲν ἔτι ἀποκρινάμενοι συλλαμβάνουσιν, ἀναθέντες δὲ ἐς τὸ ἅρμα ἀπήλαυνον. Δηϊφόντῃ δὲ ἀγγέλλει τις τῶν Ἐπιδαυρίων, ὡς Κερύνης καὶ Φάλκης οἴχοιντο ἄγοντες ἄκουσαν Ὑρνηθώ. ὁ δὲ αὐτός τε, ὡς τάχος εἶχεν, ἤμυνε, καὶ οἱ Ἐπιδαύριοι πυνθανόμενοι προσεβοήθουν. Δηϊφόντης δὲ Κερύνην μὲν, ὡς κατελάμβανεν, ἀναιρεῖ βαλών, Φάλκην δὲ ἐχόμενον Ὑρνηθοῦς βαλεῖν μὲν ἔδεισε, μὴ ἁμαρτὼν γένοιτο αὐτῆς ἐκείνης φονεύς, συμπλακεὶς δὲ ἐπειρᾶτο ἀφαιρεῖσθαι. Φάλκης δὲ ἀντεχόμενος καὶ ἕλκων βιαιότερον ἀπέκτεινεν ἔχουσαν ἐν γαστρί. καὶ ὁ μὲν συνεὶς, οἷα ἐς τὴν ἀδελφὴν ἐξειρ-

rum Temeni nominibus prorsus illa discrepant, quae Apollod. habet L. II. C. 6. p. 171., ubi vid. not.

7) ἐξ αὐτοῦ] Pro his uterque Codex exhibet ἀπάντων.

ἐξειργασμένος ἔργα ἦν, ἤλαυνε τὸ ἅρμα ἀφειδέστερον, προλαβεῖν τῆς ὁδοῦ σπεύδων, πρὶν ἢ πάντας ἐπ' αὐτὸν συλλεχθῆναι τοὺς Ἐπιδαυρίους. Δηϊφόντης δὲ σὺν τοῖς παισὶν (ἐγεγόνεσαν γὰρ καὶ παῖδες αὐτῷ πρότερον ἔτι, υἱοὶ μὲν Ἀντιμένης καὶ Ξάνθιππός τε καὶ Ἀργεῖος, θυγάτηρ δὲ Ὀρσοβία· ταύτην Πάμφυλον τὸν Αἰγιμίου λέγουσιν ὕστερον γῆμαι) τότε δὲ ἀναλαβόντες τὸν νεκρὸν τῆς Ὑρνηθοῦς κομίζουσιν ἐς τοῦτο τὸ χωρίον τὸ ἀνὰ χρόνον Ὑρνήθιον κληθέν. καὶ οἱ ποιησάμενοι [8]) ἡρῷον τιμὰς καὶ ἄλλας δεδώκασι, καὶ ἐπὶ τοῖς πεφυκόσιν ἐλαιοῖς, καὶ εἴ δή τι ἄλλο δένδρον· ἐς ὃ [9]) καθέστηκε νόμος, τὰ θραυόμενα μηδένα ἐς οἶκον φέρεσθαι, μηδὲ χρᾶσθαί σφισιν ἐς μηδέν, κατὰ χώραν δ' αὐτοῦ [10]) λείπουσιν ἱερὰ εἶναι τῆς Ὑρνηθοῦς. Οὐ πόρρω δὲ τῆς πόλεως Μελίσσης 4
μνῆμά ἐστιν, ἣ Περιάνδρῳ συνῴκησε τῷ Κυψέλου, καὶ ἕτερον Πατροκλέους [11]), πατρὸς τῆς Μελίσσης. ἐτυράννει δὲ καὶ οὗτος Ἐπιδαυρίων, καθὰ δὴ καὶ ὁ γαμβρὸς οἱ Περίανδρος Κορίνθου.

8) ποιησάμενοι] Uterque Cod. ποιησαντες.

9) ἐς ὃ] *quare*, *quam ob causam*, uti Cap. sequ. ἐς ὃ ἐς Δελφοὺς ἀπέστειλαν. Alias ἐς ὃ in Pausania denotat *dum*, *donec*.

10) αὐτοῦ] Forte αὐτὰ legere praestet.

11) Πατροκλέους] Herodot. L. III. s. 50. 51. habet Περκλῆς, nec non Diogen. Laërt. L. I. s. 100. et Athen. L. XIII. p. 589 F. Quare et in Paus. sic scribendum esse, haud dubito. Vid. Valken. ad Herod. l. c. et Palmer. Exerc. p. 376.

CAPUT

CAPUT XXIX.

De memorandis in urbe Epidauro templis et signis — Aegina insula e regione Epidauri, antea Oenone dicta — Phocide — Aeacidis — Aeginetarum fatis — Aeginae memorandis — Aeaceo et siccitate Graeciae Aeaci precibus sublata — Phoci certamine cum Telamone et Peleo ejusque nece — theatro et stadio Aeginae.

Αὐτὴ δὲ καὶ τῶν Ἐπιδαυρίων ἡ πόλις παρείχετο ἐς μνήμην τάδε ἀξιολογώτατα. τέμενος δή ἐστιν Ἀσκληπιοῦ, καὶ ἀγάλματα, ὁ θεὸς αὐτὸς καὶ Ἠπιόνη· γυναῖκα δὲ εἶναι τὴν Ἠπιόνην Ἀσκληπιοῦ φασι. ταῦτά ἐστιν ἐν ὑπαίθρῳ, λίθου Παρίου. ναοὶ δὲ ἐν τῇ πόλει καὶ Διονύσου καὶ Ἀρτέμιδός ἐστιν ἄλσος [1]), εἰκάσαις ἂν θερούσῃ [2]) τὴν Ἄρτεμιν. Ἀφροδίτης τέ ἱερὸν πεποίηται· τὸ δὲ πρὸς τῷ λιμένι ἐπὶ ἄκρας ἀνεχούσης ἐς θάλασσαν λέγουσιν Ἥρας εἶναι. τὴν δὲ Ἀθηνᾶν ἐν τῇ ἀκροπόλει, ξόανον θέας ἄξιον, Κισσαίαν ἐπονομάζουσιν.

2 Αἰγινῆται δὲ οἰκοῦσιν ἔχοντες τὴν νῆσον ἀπ' ἀντικρὺ τῆς Ἐπιδαυρίας. ἀνθρώπους δ' οὐκ εὐθὺς ἐξ ἀρχῆς λέγουσιν ἐν αὐτῇ γενέσθαι, Διὸς δὲ ἐς ἔρημον κομισαντος Αἴγιναν τὴν Ἀσωποῦ, τῇ μὲν τὸ ὄνομα ἐτέθη τοῦτο ἀντὶ Οἰνώνης. Αἰακοῦ δὲ αἰτήσαντος, ὡς ηὐξήθη, παρὰ Διὸς οἰκήτορας, οὕτω οἱ τὸν Δία ἀνεῖναι τοὺς ἀνθρώπους φασὶν ἐκ τῆς γῆς. βασιλεύσαντα

1) Ἀρτέμιδός ἐστιν ἄλσος] Cod. Vindob. Ἀρτέμιδός ἐστιν ἄγαλμα.

2) θερούσῃ] *Amas.*, qui vertit *metenti*, θεριζούσῃ legisse videtur. *Sylb.* ingeniose conjicit, scribendum esse θηρευούσῃ, *venanti*.

σαντα δὲ ἐν τῇ γῇ πλὴν Αἰακοῦ οὐδένα εἰπεῖν ἔχουσιν. ἐπεὶ μηδὲ τῶν Αἰακοῦ παίδων τινὰ ἴσμεν καταμείναντα· Πηλεῖ μὲν συμβὰν καὶ Τελαμῶνι ἐπὶ Φόνῳ φεύγειν τῷ Φώκου, τῶν δὲ αὖ Φώκου παίδων περὶ τὸν Παρνασσὸν οἰκησάντων ἐν τῇ νῦν καλουμένῃ Φωκίδι. Τὸ δὲ ὄνομα προϋπῆρχεν [3]) ἤδη τῇ χώρᾳ, Φώκου τοῦ 3
Ὀρνυτίωνος γενεᾷ πρότερον ἐς αὐτὴν ἐλθόντος. ἐπὶ μὲν δὴ Φώκου τούτου περὶ Τιθορέαν τε καὶ Παρνασσὸν ἐκαλεῖτο ἡ Φωκίς· ἐπὶ δὲ τοῦ Αἰακοῦ καὶ [4]) πᾶσιν ἐξενίκησεν, ὡς οἱ Μινύαι τέ εἰσιν Ὀρχομενίοις ὅμοροι, καὶ ἐπὶ Κάρφειαν [5]) τὴν Λοκρῶν καθήκουσι. Γεγόνασι 4
δὲ ἀπὸ μὲν Πηλέως οἱ ἐν τῇ Ἠπείρῳ βασιλεῖς· Τελαλῶνος δὲ τῶν παίδων Αἴαντος μέν ἐστιν ἀφανέστερον γένος, οἷα ἰδιωτεύσαντος [6]) ἀνθρώπου, πλὴν ὅσον Μιλτιάδης, ὃς Ἀθηναίοις ἐς Μαραθῶνα ἡγήσατο, καὶ Κίμων ὁ Μιλτιάδου προῆλθον ἐς δόξαν. οἱ δὲ Τευκρίδαι βασιλεῖς διέμειναν Κυπρίων ἄρχοντες ἐς Εὐαγόραν. Φώκῳ δὲ Ἄσιος ὁ τὰ ἔπη ποιήσας γενέσθαι φησὶ Πανοπέα καὶ Κρίσον [7]). καὶ Πανοπέως μὲν ἐγένετο Ἐπειός, ὁ τὸν ἵππον τὸν δούρειον, ὡς

3) προϋπῆρχεν] Cod. Vind. ὑπῆρχεν. De re ipsa vid. L. X. C. 1. ab initio, coll. L. II. C. 4.

4) ἐπὶ δὲ τοῦ Αἰακοῦ καὶ] etc.] Plenius enunciatum fuisset ἐπὶ δὲ Φώκου τοῦ Αἰακοῦ. Conf. L. X. C. 1. init.

5) Μινύαι τέ — Κάρφειαν etc.] De Minyis vid. L. IX. C. 36., Heyne V. C ad Apollod. p. 178. et schol. Apollon. L. III. v. 1093. Pro Κάρφειαν sine dubio scribendum est Σκάρφειαν ex Paus. L. VII. C. 15., Strabone et Stephano.

6) Αἴαντος — ἰδιωτεύσαντος] Haec repugnare videntur iis, quae in Pausania relata legimus L. I. C. 42.: Αἴαντα οὖν τὴν ἀρχὴν τὴν Ἀλκάθου διαδεξάμενον etc. At si οἷα hic comparative interpreteris, *tanquam*, *instar*, nulla aderit amplius discrepantia.

7) Κρίσον] Schol. ad Eurip. Oreſt. v. 33. Κρισσον habent.

ὡς Ὅμηρος ἐποίησεν [8]), ἐργασάμενος. Κρίσου δὲ ἦν ἀπόγονος τρίτος Πυλάδης, Στροφίου τε ὢν τοῦ Κρίσου, καὶ Ἀναξιβίας ἀδελφῆς Ἀγαμέμνονος [9]). γένη μὲν τοσαῦτα τῶν καλουμένων Αἰακιδῶν, ἐξεχώ-
5 ρησε δὲ ἑτέρωσε ἀπ' ἀρχῆς. Χρόνῳ δὲ ὕστερον μοῖρα Ἀργείων τῶν Ἐπίδαυρον ὁμοῦ Δηϊφόντῃ κατασχόντων διαβᾶσα ἐς Αἴγιναν, καὶ Αἰγινήταις τοῖς ἀρχαίοις γενόμενοι σύνοικοι, τὰ Δωριέων ἔθη καὶ φωνὴν κατεσήσαντο ἐν τῇ νήσῳ. προελθοῦσι δὲ Αἰγινήταις ἐς μέγα δυνάμεως, ὡς Ἀθηναίων γενέσθαι ναυσὶν ἐπικρατεστέρους, καὶ ἐν τῷ Μηδικῷ πολέμῳ παρασχέσθαι πλοῖα μετά γε Ἀθηναίους πλεῖστα, οὐ παρέμεινεν ἐς ἅπαν ἡ εὐδαιμονία. γενόμενοι δὲ ὑπὸ Ἀθηναίων ἀνάστατοι, Θυραίαν [10]) τὴν ἐν τῇ Ἀργολίδι, Λακεδαιμονίων δέντων, ᾤκησαν. καὶ ἀπέλαβον μὲν τὴν νῆσον, ὅτε περὶ Ἑλλήσποντον αἱ Ἀθηναίων τριήρεις ἐλήφθησαν, πλούτου δὲ ἡ δυνάμεως οὐκέτι ἐξεγένετο ἐς ἴσον προελθεῖν σφίσι. προσπλεῦσαι δὲ Αἴγινά ἐστι νήσων τῶν Ἑλληνίδων ἀπορωτάτη. πέτραι τε γὰρ ὕφαλοι περὶ πᾶσαν, καὶ χοιράδες ἀνεστήκασι. μηχανήσασθαι δὲ ἐξεπίτηδες ταῦτα Αἰακόν φασι, λῃστῶν [11]) τῶν ἐκ θαλάσσης φόβῳ, καὶ πολεμίοις ἀνδράσι μὴ ἄνευ
6 κινδύνου εἶναι. Πλησίον δὲ τοῦ λιμένος, ἐν ᾧ μάλιστα ὁρμί-

8) ὡς Ὅμηρος ἐπ.] Odyss. Θ. v. 494. 495. Conf Serv. ad Virgil Aen. II. v. 264.

9) Ἀναξιβίας ἀδ. Ἀγ.] Vid. Eustath. ad Il. B. v. 296.

10) Θυραίαν] Variat scriptura; C. 38. in fine, ubi eadem narrantur, est Θυρέα, et L. III. C. 3. Θυραία. Verior scriptura esse videtur Θυρία, ita enim in Herodoto L. I. f. 82. et Thucyd. L. II. f. 27. et L. IV. f. 57., nec non in Strabone et Stephano. Vid. Wessel. ad Diodor. XIV. 44. et Ruhnken. V. C. ad Tim. p. 74. Ad rem vidend. Herod. et Thucyd. l. c. coll. Paus. L. II. C. 38.

11) λῃστῶν] Uterque Codex λῃστειῶν.

ὁρμίζονται, ναός ἐστιν Ἀφροδίτης· ἐν ἐπιφανεστάτῳ δὲ τῆς πόλεως τὸ Αἰάκειον καλούμενον, περίβολος τετράγωνος λευκοῦ λίθου. ἐπειργασμένοι δέ εἰσι κατὰ τὴν εἴσοδον οἱ παρὰ Αἰακόν ποτε ὑπὸ τῶν Ἑλλήνων ϛαλέντες. αἰτίαν δὲ τὴν αὐτὴν Αἰγινῆται καὶ οἱ λοιποὶ λέγουσιν. αὐχμὸς τὴν Ἑλλάδα ἐπὶ χρόνον ἐπίεζε, καὶ οὔτε τὴν ἐκτὸς Ἰσθμοῦ χώραν, οὔτε Πελοποννησίοις ὗσεν ὁ θεός· ἐς ὃ ἐς Δελφοὺς ἀπέστειλαν ἐρησομένους τὸ αἴτιον ὅ τι εἴη, καὶ αἰτήσοντας ἅμα λύσιν τοῦ κακοῦ. τούτοις ἡ Πυθία εἶπε, Δία ἱλάσκεσθαι, χρῆναι δὲ, εἴπερ ὑπακούσει [12]) σφίσιν, Αἰακὸν τὸν ἱκετεύσοντα εἶναι. οὕτως Αἰακοῦ δεησομένους ἀποστέλλουσιν ἀφ' ἑκάστης πόλεως. καὶ ὁ μὲν τῷ Πανελληνίῳ Διὶ θύσας καὶ εὐξάμενος τὴν Ἑλλάδα γῆν ἐποίησεν ὕεσθαι· τῶν δὲ ἐλθόντων ὡς αὐτὸν εἰκόνας ταύτας ἐποιήσαντο οἱ Αἰγινῆται. τοῦ περιβόλου δὲ ἐντὸς ἐλαῖαι πεφύκασιν ἐκ παλαιοῦ, καὶ βωμός ἐστιν, οὐ πολὺ ἀνέχων ἐκ τῆς γῆς· ὡς δὲ καὶ μνῆμα οὗτος ὁ βωμὸς εἴη Αἰακοῦ λεγόμενον, ἔστιν ἐν ἀπορρήτῳ. Παρὰ 7.
δὲ τὸ Αἰάκειον Φώκου τάφος χῶμά ἐστι, περιεχόμενος κύκλῳ κρηπῖδι, ἐπίκειται δέ οἱ λίθος τραχύς. καὶ ἡνίκα Φῶκον [13]) Τελαμὼν καὶ Πηλεὺς προηγάγοντο ἐς ἀγῶνα πενταθλου, καὶ περιῆλθεν ἐς Πηλέα ἀφεῖναι τὸν λίθον (οὗτος γὰρ ἀντὶ δίσκου σφίσιν ἦν), ἑκὼν τυγχάνει τοῦ Φώκου. ταῦτα δὲ ἐχαρίζοντο τῇ μητρί· αὐτοὶ μὲν γὰρ ἐγεγόνεσαν ἐκ τῆς Σκίρω-

12) ὑπακούσει] Cod. Vind. ὑπακούσει, et mox pro ἱκετεύσοντα Cod. Mosc. ἱκετεύσαντα.

13) ἡνίκα Φῶκον etc.] De caede Phoci et fuga Pelei ac Telamonis vid. schol. ad Hom. Il. Π. v. 14. et Heyne V. C. ad Apollod. p. 782.

Σκίρωνος θυγατρὸς [14]), Φῶκος δὲ οὐκ ἐκ τῆς αὐτῆς, ἀλλ' ἐξ ἀδελφῆς Θέτιδος [15]) ἦν, εἰ δὴ τἀ ὄντα λέγουσιν Ἕλληνες. Πυλάδης τέ μοι καὶ διὰ ταῦτα φαίνεται, καὶ οὐκ Ὀρέστου Φιλία μόνον, βουλεῦσαι Νεοπτολέμῳ τὸν φόνον [16]). τότε δὲ ὡς τῷ δίσκῳ πληγεὶς ἀπέθανεν ὁ Φῶκος, φεύγουσιν ἐπιβάντες νεὼς οἱ Ἐνδηΐδος παῖδες. Τελαμὼν δὲ ὕστερον κήρυκα ἀποστέλλων ἠρωτᾶτο, μὴ βουλεῦσαι Φώκῳ θάνατον. Αἰακὸς δὲ ἐς μὲν τὴν νῆσον ἀποβαίνειν αὐτὸν οὐκ εἴα, ἑστηκότα δὲ ἐπὶ νεὼς, εἰ δὲ ἐθέλει, χῶμα ἐν τῇ θαλάσσῃ χώσαντα ἐκέλευεν ἐντεῦθεν ἀπολογήσασθαι. οὕτως ἐς τὸν κρυπτὸν καλούμενον λιμένα ἐσπλεύσας νύκτωρ, ἐποίει χῶμα· καὶ τοῦτο μὲν ἐξειργασθὲν καὶ ἐς ἡμᾶς ἔτι μένει. καταγνωσθεὶς δὲ οὐκ ἀναίτιος εἶναι Φώκῳ τῆς τελευτῆς, τὸ δεύτερον ἐς Σαλαμῖνα ἀπέπλευσε.

8 Τοῦ λιμένος δὲ οὐ πόρρω τοῦ κρυπτοῦ θέατρόν ἐστι θέας ἄξιον, κατὰ τὸ Ἐπιδαυρίων μάλιστα, μέγεθος καὶ ἐργασίαν τὴν λοιπήν. τούτου δὲ ὄπισθεν ᾠκοδόμηται σταδίου πλευρᾷ μιᾷ, ἀνέχουσά τε αὐτῆς τὸ θέατρον, καὶ ἀντὶ ἐρείσματος ἀνάλογον ἐκείνῳ χρωμένη [17]).

14) Σκίρωνος θυγατρὸς] *Endaïdis.* In schol. ad Homeri Iliad. Π. v. 14. est Ἐνδηΐδα, τὴν Χείρωνος θυγατέρα, et ita etiam in Apollod. L. III C. 12. p. 252., ubi vid. Heyne V. C p. 774. Palmer. Exerc. p. 376. Χείρωνος in Paus. scribendum esse contendit.

15) ἐξ ἀδελφῆς Θέτ.] Cod Vindob. bene exhibet ἐκ τῆς ἀδελφῆς Θέτ. Haec Nereïs Psamathe fuit. Vid Apollodor. L. III C 12. p. 253.

16) Πυλάδης — τὸν φόνον] Scilicet ad proavum ulciscendum. Pylades enim Phoci pronepos. et Neoptolemus Pelei nepos fuit. Vid Sax. Stemmat. Tab. VII. De caede Neoptolemi vid. Virgil. Aen. II. v. 327 — 332.

17) πλευρᾷ μιᾷ — χρωμένη] Sententia quidem in promtu, sed verborum structura magis impedita est. Declarare vult Pausanias, theatro et stadio unum idemque latus commune fuisse Sic vero αὐτῆ pro αὐτῆς scribendum est, quemadmodum *Sylb.* bene emendavit.

CAPUT

CAPUT XXX.

De templis et ſignis deorum apud Aeginetas — cultu Hecates et Hecate tribus corporibus apud Athenienſes, Epipyrgidia dicta — Aphaeae ſeu Britomartis cultu — Panellenio — Auxeſia et Lamia — Troezeniorum terra, Oro et primis Troezen. regibus — Sarone, Diana et lacu Saronide — Troezene et Pittheo — Heraclidarum regno et Diomede.

Ναοὶ δὲ οὐ πολὺ ἀλλήλων ἀφεστηκότες, ὁ μὲν Ἀπόλλωνός ἐστιν, ὁ δὲ Ἀρτέμιδος, Διονύσῳ τε αὐτῷ ὁ τρίτος. Ἀπόλλωνι μὲν δὴ ξόανον γυμνόν ἐστι, τέχνης τῆς ἐπιχωρίου [1]· τῇ δὲ Ἀρτέμιδί ἐστιν ἐσθὴς, κατὰ ταυτὰ δὲ καὶ τῷ Διονύσῳ· καὶ γένεια Διόνυσος ἔχων πεποίηται. τοῦ δὲ Ἀσκληπιοῦ τὸ ἱερὸν ἔστι μὲν ἐτέρωθι καὶ οὐ ταύτῃ, λίθου [2] δὲ ἄγαλμα καθήμενον. Θεῶν δὲ Αἰγινῆται τιμῶσιν Ἑκάτην μάλιστα, καὶ τελετὴν ἄγουσιν ἀνὰ πᾶν ἔτος Ἑκάτης, Ὀρφέα σφίσι τὸν Θρᾷκα κατασήσασθαι τὴν τελετὴν λέγοντες. τοῦ περιβόλου δὲ ἐντὸς ναός ἐστι. Ξόανον δὲ ἔργον Μύρωνος, ὁμοίως ἓν πρόσωπόν τε, καὶ τὸ λοιπὸν σῶμα. Ἁλικαμένης δὲ (ἐμοὶ δοκεῖν) πρῶτος ἀγάλματα Ἑκάτης τρία ἐποίησε προσεχόμενα ἀλλήλοις, ἣν Ἀθηναῖοι καλοῦσιν Ἐπιπυργιδίαν [3]. ἔστηκε δὲ παρὰ τῆς ἀπτέρου Νίκης τὸν νεών. Ἐν Αἰγίνῃ δὲ πρὸς τὸ ὄρος τοῦ Πανελληνίου 3

1) τέχνης τῆς ἐπιχωρίου] h. e. Αἰγινητικῆς, de qua ſupra in not.

2) καὶ οὐ ταύτῃ, λίθου etc.] Cod. Vind. poſt ταύτῃ inſerit πεποίηται, quod ſubſequentibus jungendum eſſet.

3) Ἐπιπυργιδίαν etc.] Heſych. Minervae mentionem facit, quae Abderae Ἐπιπυργίτις dicebatur; vid. h. v. Νίκης ἀπτέρου templum memoratur L. I. C. 22.

Новгуница Мечникова

Διὸς ἰοῦσίν ἐστιν Ἀφαίας ἱερὸν, ἐς ἣν καὶ Πίνδαρος [4]) ἆσμα Αἰγινήταις ἐποίησεν. Φασὶ δὲ οἱ Κρῆτες (τούτοις γάρ ἐστι τὰ ἐς αὐτὴν ἐπιχώρια), Καρμάνορος τοῦ καθήραντος Ἀπόλλωνα ἐπὶ Φόνῳ τῷ Πύθωνος παῖδα Εὔβουλον εἶναι· Διὸς δὲ καὶ Κάρμης τῆς Εὐβούλου Βριτόμαρτιν [5]) γενέσθαι· χαίρειν δὲ αὐτὴν δρόμοις τε καὶ θήραις, καὶ Ἀρτέμιδι μάλιστα φίλην εἶναι. Μίνωα δὲ ἐρασθέντα φεύγουσα ἔρριψεν ἑαυτὴν ἐς δίκτυα ἀφειμένα ἐπ' ἰχθύων θήρᾳ [6]). ταύτην μὲν θεὸν ἐποίησεν Ἄρτεμις, σέβουσι δὲ οὐ Κρῆτες μόνον, ἀλλὰ καὶ Αἰγινῆται, λέγοντες Φαίνεσθαί σφισιν ἐν τῇ νήσῳ τὴν Βριτόμαρτιν. ἐπίκλησις δέ οἱ παρά τε Αἰγινήταις ἐστὶν Ἀφαία, καὶ Δίκτυννα ἐν Κρήτῃ. Τὸ δὲ Πανελλήνιον, ὅτι μὴ τοῦ Διὸς τὸ ἱερὸν, ἄλλο τὸ ὄρος ἀξιόλογον εἶχεν οὐδέν. τοῦτο δὲ τὸ ἱερὸν λέγουσιν Αἰακὸν ποιῆσαι τῷ Διΐ. Τὰ δὲ ἐς τὴν Αὐξησίαν καὶ Λάμιαν [7]), ὡς οὐχ ὗεν ὁ θεὸς Ἐπιδαυρίοις, ὡς τὰ ξόανα ταῦτα ἐκ μαντείας ποιήσαιντο [8]) ἐλαίας παρὰ Ἀθηναίων λαβόντες, ὡς Ἐπιδαύριοι μὲν οὐκ ἀπέφερον ἔτι Ἀθηναίοις, ἃ ἐτάξαντο, οἷα Αἰγινητῶν ἐχόντων τὰ ἀγάλματα, Ἀθηναίων δὲ ἀπώλοντο οἱ διαβάντες ἐς ταῦτα [9]) ἐς Αἴγιναν.

4) Ἀφαίας ἱερὸν, — Πίνδαρος etc.] De Aphaea vid. Heyne V. C ad Virgil. Cirin T. IV. p. 137. Conf. Schneideri Carm. Pindar. fragmenta.

5) Βριτόμαρτιν] De hoc mytho vid. Antonin. Liberal. C. 40, Strab. L. X. p. 733. Hesych. h. v. et ibi not. Confer. Salmas. Exercit. Plin. p. 171. 172.

6) θήρᾳ] Cod. Vind. in margine habet ἄγρᾳ.

7) Αὐξησίαν καὶ Λάμιαν] Paullo plura de his refert C 32. hujus Libri et Herodot. L. V. c. 82. 83., qui vero Δαμίης scribit, de qua nominis varietate ibi videndus est Valkenar

8) ποιήσαιντο] Modus indefinitus ceteris hic non respondet; quare mallem scribere ἐποιήσαντο, quam lectionem uterque Codex mendose servavit, exhibens ποιήσαντο

9) ἐς ταῦτα] God. Vind. haud

ναν· ταῦτα εἰπόντος Ἡροδότου καθέκαστον αὐτῶν ἐπ' ἀκριβὲς, οὔ μοι γράφειν κατὰ γνώμην ἦν εὖ προειρημένα, πλὴν τοσοῦτό γε, ὅτι εἶδόν τε τὰ ἀγάλματα, καὶ ἔθυσά σφισι κατὰ αὐτὰ, καθὰ ἤδη καὶ Ἐλευσῖνι θύειν νομίζουσιν. Αἰγίνης μὲν καὶ Αἰακοῦ ἕνεκα καὶ ἔργων, ὁπόσα ἀπεδείξατο, ἐς τοσόνδε ἔστω μνήμη.

Τῆς δὲ Ἐπιδαυρίας ἔχονται Τροιζήνιοι σεμνύνοντες, εἴπερ καὶ ἄλλοι τινὲς, τὰ ἐγχώρια. Φασὶ δὲ, Ὧρον γενέσθαι σφίσιν ἐν γῇ πρῶτον. ἐμοὶ μὲν οὖν Αἰγύπτιον φαίνεται, καὶ οὐδαμῶς Ἑλληνικὸν ὄνομα Ὧρος εἶναι. βασιλεῦσαι δ' οὖν φασιν αὐτὸν, καὶ Ὡραίαν ἀπ' αὐτοῦ καλεῖσθαι τὴν γῆν· Ἄλθηπον [10]) δὲ Ποσειδῶνος παῖδα καὶ Λητίδος τῆς Ὧρου, παραλαβόντα μετὰ Ὧρον τὴν ἀρχὴν, Ἀλθηπίαν ὀνομάσαι τὴν γῆν. ἐπὶ τούτου βασιλεύοντος Ἀθηνᾶν καὶ Ποσειδῶνα ἀμφισβητῆσαι λέγουσι περὶ τῆς χώρας, ἀμφισβητήσαντας δὲ ἔχειν ἐν κοινῷ· πεπρωτάξαι γὰρ οὕτω Δία σφίσι. καὶ διὰ τοῦτο Ἀθηνᾶν τε σέβουσι Πολιάδα καὶ Σθενιάδα ὀνομάζοντες τὴν αὐτὴν, καὶ Ποσειδῶνα βασιλέα ἐπίκλησιν. καὶ δὴ καὶ νόμισμα αὐτοῖς τὸ ἀρχαῖον ἐπίσημα ἔχει τρίαιναν, καὶ Ἀθηνᾶς πρόσωπον [11]). Μετὰ δὲ Ἄλθηπον Σάρων ἐβασίλευσεν. 7
ἔλεγον δὲ, ὅτι οὗτος τῇ Σαρωνίδι τὸ ἱερὸν Ἀρτέμιδι ᾠκοδόμησεν ἐπὶ θαλάσσῃ τελματώδει καὶ ἐπιπολῆς μᾶλλον, ὥστε καὶ Φοιβαία λίμνη διὰ τοῦτο ἐκαλεῖτο. Σάρωνα δὲ (θηρεύειν γὰρ δὴ μάλιστα ἤρητο) ἔλαφον διώ-

 κοντα

haud male dat ἐνταῦθα, et paullo infra pro κατὰ αὐτὰ exhibet κατὰ τὰ αὐτά.

10) Ἄλθηπον] C. 32. est Ἄλθιππος, ubi vero libri scripti quoque exhibent Ἄλθηπον.

11) νόμισμα — πρόσωπον] Idem legitur in Plutarchi Thes. f. 6. init. Conf. Oisel. select. numism. p. 95.

κοντα ἐς θάλασσαν, ὡς οὐ κατελάμβανε, συνεσπεσεῖν φευγούσῃ [12]). καὶ ἥ τε ἔλαφος ἐνήχετο ἀπωτέρω τῆς γῆς, καὶ ὁ Σάρων εἴχετο τῆς ἄγρας, ἐς ὃ ὑπὸ προθυμίας ἀφίκετο ἐς τὸ πέλαγος· ἤδη δὲ κάμνοντα αὐτὸν καὶ ὑπὸ τῶν κυμάτων κατακλυζόμενον ἐπέλαβε τὸ χρεών. ἐκπεσόντα δὲ τὸν νεκρὸν κατὰ τὴν Φοιβαίαν λίμνην ἐς τὸ ἄλσος τῆς Ἀρτέμιδος ἐντὸς τοῦ ἱεροῦ περιβόλου θάπτουσι, καὶ λίμνην ἀπὸ τούτου Σαρωνίδα τὴν ταύτῃ θάλασσαν καλοῦσιν ἀντὶ Φοιβαίας. τοὺς δὲ ὕστερον βασιλεύσαντας οὐκ ἴσασιν ἄχρις Ὑπέρητος καὶ Ἄνθα. τούτους δὲ εἶναι Ποσειδῶνος καὶ Ἀλκυόνης Ἄτλαντος θυγατρός, καὶ πόλεις αὐτοὺς ἐν τῇ χώρᾳ φασὶν Ὑπερείαν τε καὶ Ἀνθειαν οἰκίσαι· Ἀέτιον δὲ τοῦ Ἄνθα τοῦ πατρὸς καὶ τοῦ θείου παραλαβόντα τὴν ἀρχὴν τὴν ἑτέραν τῶν πόλεων Ποσειδωνιάδα ὀνομάσαι. Τροιζῆνος δὲ καὶ Πιτθέως παρὰ Ἀέτιον ἐλθόντων, βασιλεῖς μὲν τρεῖς ἀντὶ ἑνὸς ἐγένοντο. ἴσχυον δὲ οἱ παῖδες μᾶλλον οἱ Πέλοπος. σημεῖον δέ· ἀποθανόντος γὰρ Τροιζῆνος, Πιτθεὺς τὴν νῦν πόλιν, συναγαγὼν τοὺς ἀνθρώπους, ὠνόμασεν ἀπὸ τοῦ ἀδελφοῦ Τροιζῆνα συλλαβὼν Ὑπερείαν τε καὶ Ἀνθειαν. πολλοῖς δὲ ἔτεσιν ὕστερον, ἐς ἀποικίαν ἐκ Τροιζῆνος καλέντες, Ἁλικαρνασσὸν ἐν τῇ Καρίᾳ καὶ Μύνδον ἀπῴκισαν οἱ γεγονότες ἀπ' Ἀετίου τοῦ Ἄνθα [13]).

8 Τροιζῆ-

12) Σάρωνα δὲ — ὡς οὐ κατελάμβανε, συνεσπεσεῖν φευγούσῃ] Verba ὡς οὐ κατελ. quemvis legentem paullulum offendere, arbitror. Sed uterque Codex, iſtis omiſſis, hunc locum ita exhibet: Σάρωνα δὲ (θ. γ. ὀ. μ. ἔρητο) κατέλαβεν ἔλαφον διώκοντα ἐς θάλασσαν συνεσπεσεῖν φ. Sic κατέλαβεν pro ἐπέλαβεν, συνέβη, accidit, dictum et ſententia plana eſt.

13) Ἁλικαρνασσὸν — τοῦ Ἄνθα] Vid. Strab. L. VIII. p. 574. et L. XIV. p. 970. In Paul. C. 31. in fine eſt τοῦ Ἀνθου, et Straboni nomin. Ἄνθης. Conf. Paul. L. IX. C. 22.

Τροιζῆνος δὲ οἱ παῖδες, Ἀνάφλυστος καὶ Σφῆτος, μετοικοῦσιν ἐς τὴν Ἀττικὴν, καὶ οἱ δῆμοι [14]) τὰ ὀνόματα ἔχουσιν ἀπὸ τούτων. Τὰ δὲ ἐς Θησέα θυγατριδοῦν Πιτθέως εἰδόσι τὰ ἐς αὐτὸν οὐ γράφω. Δεῖ δέ με τοσόνδε ἔτι δηλῶσαι. Ἡρακλειδῶν γὰρ κατελθόντων ἐδέξαντο καὶ οἱ Τροιζήνιοι συνοίκους Δωριέων τῶν ἐξ Ἄργους, καὶ πρότερον ἔτι Ἀργείων ὄντες κατήκοοι· καὶ σφᾶς καὶ Ὅμηρος ἐν καταλόγῳ [15]) φησὶν ὑπὸ Διομήδους ἄρχεσθαι. Διομήδης γὰρ καὶ Εὐρύαλος ὁ Μηκιστέως, Κυάνιππον τὸν Αἰγιαλέως παῖδα ὄντα, ἐπιτροπεύοντες, Ἀργείων ἡγήσαντο ἐς Τροίαν. Σθένελος δὲ, ὡς ἐδήλωσα ἐν τοῖς πρότερον [16]), οἰκίας τε ἦν ἐπιφανεστέρας, τῶν Ἀναξαγορίδων καλουμένων, καὶ ἡ βασιλεία τούτῳ μάλιστα ἦν ἡ Ἀργείων προσήκουσα. τοσαῦτα Τροιζηνίοις ἐχόμενα ἱστορίας ἦν, παρεξ ὅσαι [17]) πόλεις παρ' αὐτῶν φασιν ἀποικισθῆναι. κατασκευὴν δὲ ἱερῶν, καὶ ὅσα ἄλλα ἐς ἐπίδειξιν, τὸ ἐντεῦθεν ἐπεξειμι.

14) οἱ δῆμοι] Vid. Steph. et Suid. v. Ἀνάφλυστος et Σφητός.

15) Ὅμηρος ἐν καταλ.] Il. B. v. 560. sq.

16) ἐδήλωσα ἐν τ. πρότ.] L. II. C. 18.

17) τοσαῦτα — ἦν, παρεξ ὅσαι etc.] Uterque Codex exhibet mendosam lectionem — παρέξαι ὅσαι etc.

CAPUT XXXI.

De templo et ſignis Dianae Sospitae in foro Troezen. a Theſeo poſt Aſterionis caedem dedicatis — aris deum inferorum — Pitthei monumento — templo Muſarum et Ardalidis (Muſis) — Muſei ara ac ſomno Muſis amico — templo Dianae Lyceae — ſacro lapide et Oreſte ibi a caede purgato — aris Bacchi Saotae, Themidum et Solis Eleutherii — templo Apollinis Thearii — ſignis mulierum Athenienſium — Oreſtis tabernaculo ejusque luſtratione — Hippocrene — ſigno Mercurii Polygii et Herculis clava — templo Jovis Servatoris et fonte Chryſoroa.

Ἐν τῇ ἀγορᾷ Τροιζηνίων ναὸς καὶ ἀγάλματα Ἀρτέμιδός ἐστι Σωτείρας. Θησέα δὲ ἐλέγετο ἱδρύσασθαι καὶ ὀνομάσαι Σώτειραν, ἡνίκα Ἀστερίωνα τὸν Μίνω [1]) καταγωνισάμενος ἀνέστρεψεν ἐκ τῆς Κρήτης. ἀξιολογώτατον δὲ εἶναι τοῦτο ἔδοξέν οἱ τῶν κατειργασμένων, οὐ τοσοῦτον (ἐμοὶ ἐδόκει), ὅτι ἀνδρεία τοὺς ἀποθανόντας ὑπὸ Θησέως ὑπερέβαλεν ὁ Ἀστερίων, ἀλλὰ τό τε ἐκ τοῦ λαβυρίνθου δυσέξοδον καὶ λαθόντα ἀποδρᾶναι μετὰ τὸ ἔργον ἐποίησεν εἰκότα τὸν λόγον, ὡς προνοίᾳ θείᾳ καὶ αὐτὸς ἀνασωθείη Θησεὺς καὶ οἱ σὺν
2 αὐτῷ. Ἐν τούτῳ δέ εἰσι τῷ ναῷ βωμοὶ θεῶν τῶν λεγομένων ὑπὸ γῆν ἄρχειν. καί Φασιν ἐξ ᾅδου Σεμέλην τε ὑπὸ Διονύσου κομισθῆναι ταύτῃ, καὶ ὡς Ἡρακλῆς ἀναγάγοι τὸν κύνα τοῦ ᾅδου. ἐγὼ δὲ Σεμέλῃ μὲν οὐδὲ ἀποθανεῖν ἀρχὴν πείθομαι, Διὸς δὲ οὖσαν γυναῖκα· τὰ δὲ ἐς τὸν ὀνομαζόμενον ᾅδου κύνα, ἐτέρωθι

1) Ἀστερίωνα τ. Μίνω] *Minotaurum* vocatum, uti in Apollodoro legimus, qui de hoc et ſequentibus videndus L. III. C. 1. 4., ubi conf. not.

ρωθι ἔσαι μοι δῆλα [2]), ὁποῖα εἶναί μοι δοκῶ. Ὄπισθεν δὲ τοῦ ναοῦ Πιτθέως μνῆμά ἐστι, τρεῖς δὲ ἐπ' αὐτῷ θρόνοι κεῖνται λίθου λευκοῦ· δικάζειν δὲ Πιτθέα [3]) καὶ ἄνδρας δύο σὺν αὐτῷ λέγουσιν ἐπὶ τῶν θρόνων. Οὐ πόρρω δὲ ἱερὸν Μουσῶν ἐστι. ποιῆσαι δὲ ἔλεγον αὐτὸ Ἄρδαλον παῖδα Ἡφαίστου· καὶ αὐλόν τε εὑρεῖν νομίζουσι τὸν Ἄρδαλον τοῦτον, καὶ τὰς Μούσας ἀπ' αὐτοῦ καλοῦσιν Ἀρδαλίδας [4]). ἐνταῦθα Πιτθέα διδάξαι λόγων τέχνην φασὶ, καί τι βιβλίον, Πιτθέως δὴ σύγγραμμα, ὑπὸ ἀνδρὸς ἐκδοθὲν Ἐπιδαυρίου, καὶ αὐτὸς ἐπελεξάμην. Τοῦ Μουσείου δὲ πόρρω [5]) βωμός ἐστιν ἀρχαῖος, Ἀρδάλου καὶ τοῦτον (ὡς φασιν) ἀναθέντος. ἐπὶ δὲ αὐτῷ Μούσαις καὶ Ὕπνῳ θύουσι, λέγοντες, τὸν ὕπνον θεῶν μάλιστα [6]) εἶναι φίλον ταῖς Μούσαις. Πλησίον δὲ τοῦ θεάτρου Λυκείας [7]) ναὸν Ἀρτέμιδος ἐποίησεν Ἱππόλυτος. ἐς δὲ τὴν ἐπίκλησιν οὐδὲν εἶχον πυθέσθαι παρὰ τῶν ἐξηγητῶν, ἀλλὰ ἢ λύκους ἐφαίνετό μοι τὴν Τροιζηνίαν λυμαινομένους ἐξελεῖν ὁ Ἱππόλυτος, ἢ Ἀμαζόσι παρόντα πρὸς μητρὸς ἦν ἐπίκλησις τῆς Ἀρτέμιδος αὕτη [8]). 3 4 5 6

2) ἑτέρωθι ἔσαι μοι δῆλα] Vid. L. III. C. 25. Uterque Cod. pro ἔσαι haud male habet ἔσω.

3) δικάζειν δὲ Πιτθέα] De Pitthei sapientiae laude vid. Plutarch. Thes. f. 3.

4) Ἀρδαλίδας] Quod Musarum nomen etiam Hesych. et Plutarch. habent. Vid. not. ad Hesych.

5) Τοῦ Μουσείου δὲ πόρρω] Sylburgii conjecturam — δὲ οὐ πόρρω firmat Cod. Vind., qui οὐ exhibet.

6) θεῶν μάλ.] Uterque Cod. θεὸν μάλιστα.

7) Λυκείας] In utroque Cod. est Λυκαίας. Sic supra C. 9. in fine Apollo Λυκαῖος, etiam a *lupis* denominatus.

8) ἢ Ἀμαζόσι παρόντα πρὸς μητρὸς ἦν — αὕτη] Nec orationis structurae convenit παρόντα, nec commode explicari potest. Admodum vero probanda

7 εἴη δ' ἂν ἔτι καὶ ἄλλο οὐ γινασκόμενον ὑπὸ ἐμοῦ. Τὸν δὲ ἔμπροσθεν τοῦ ναοῦ λίθον, καλούμενον δὲ ἱερόν, εἶναι λέγουσιν, ἐφ' οὗ ποτε ἄνδρες Τροιζηνίων ἐννέα
8 Ὀρέστην ἐκάθηραν ἐπὶ τῷ φόνῳ τῆς μητρός. Εἰσὶ δὲ οὐ μακρὰν τῆς Λυκείας Ἀρτέμιδος βωμοὶ διεστηκότες οὐ πολὺ ἀπ' ἀλλήλων. ὁ μὲν πρῶτός ἐστιν αὐτῶν Διονύσου, κατὰ δή τι μάντευμα ἐπίκλησιν Σαώτου [9]). δεύτερος δὲ Θεμίδων ὀνομαζόμενος· Πιτθεὺς τοῦτον ἀνέθηκεν, ὡς λέγουσιν. Ἡλίου δὲ Ἐλευθερίου καὶ σφίσιν εἰκότι λόγῳ δοκοῦσί μοι ποιῆσαι βωμὸν, ἐκ-
9 φυγόντες δουλείαν ἀπὸ Ξέρξου τε καὶ Περσῶν. Τὸ δὲ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ Θεαρίου κατασκευάσαι μὲν Πιτθέα ἔφασαν, ἔστι δὲ ὧν οἶδα παλαιότατον. ἀρχαῖος μὲν οὖν καὶ Φωκαεῦσι τοῖς ἐν Ἰωνίᾳ ναός ἐστιν Ἀθηνᾶς, ὃν Ἅρπαγός ποτε ὁ Μῆδος ἐνέπρησεν· ἀρχαῖος δὲ καὶ ὁ Σαμίοις Ἀπόλλωνος Πυθίου· πλὴν πολύ γε ὕστερον τοῦ παρὰ Τροιζηνίοις ἐποιήθησαν. ἄγαλμα δέ ἐστι τὸ ἐφ' ἡμῶν ἀνάθημα Αὐλίσκου, τέχνη δὲ Ἕρμωνος Τροιζηνίου. τοῦ δὲ Ἕρμωνος τούτου καὶ τὰ
10 τῶν Διοσκούρων ξόανά ἐστι. Κεῖνται δὲ ἐν σοᾷ τῆς ἀγορᾶς γυναῖκες, λίθου καὶ αὗται καὶ οἱ παῖδες. εἰσὶ δὲ, ἃς Ἀθηναῖοι [10]) Τροιζηνίοις γυναῖκας καὶ τέκνα ἔδωκαν σώζειν, ἐκλιπεῖν σφίσιν ἀρέσαν τὴν πόλιν, μηδὲ στρατῷ πεζῷ τὸν Μῆδον ἐπιόντα ὑπομεῖναι. λέγονται δὲ, οὐ

banda videtur *Hertungii* conjectura in margine Codic. Oporiniani: ἣ Ἀμ., παρ' ὧν τὰ πρὸς μητρὸς ἦν, ἐπίκλ. τ. Ἀ. αὕτη. Quae emendatio quodammodo firmatur Cod Mosc., qui Ἀρτεμιδός ἐστιν αὕτη exhibendo declarat, ἦν ad praecedentia pertinere. *vel Amazonibus, a quibus maternum genus ducebat* (Hippolytus), *hoc est Dianae cognomentum.*

9) Σαώτου] Hujus signum e ligno memoratur C. 37. init.

10) εἰσὶ δὲ, ἃς Ἀθηναῖοι etc.] Vid. Herodot. L. VIII. f. 41. et Plutarch. Themistocl. f. 10.

οὐ πασῶν τῶν γυναικῶν (οὐ γὰρ δὴ πολλαί τινες ἐκεῖναι), ὁπόσαι δὲ ἀξιώματι προεῖχον, τούτων εἰκόνας ἀναθεῖναι μόνων. Τοῦ δὲ ἱεροῦ τοῦ Ἀπόλλωνός ἐστιν 11
οἰκοδόμημα ἔμπροσθεν, Ὀρέστου καλούμενον σκηνή. πρὶν γὰρ ἐπὶ τῷ αἵματι καθαρθῆναι τῆς μητρὸς, Τροιζηνίων οὐδεὶς πρότερον ἤθελεν αὐτὸν οἴκῳ δέξασθαι· καθίσαντες δὲ ἐνταῦθα ἐκάθαιρον καὶ εἱστίων, ἐς ὃ ἀφήγνισαν. καὶ νῦν ἔτι οἱ ἀπόγονοι τῶν καθηράντων ἐνταῦθα δειπνοῦσιν ἐν ἡμέραις ῥηταῖς. κατορυχθέντων δὲ ὀλίγον ἀπὸ τῆς σκηνῆς τῶν καθαρσίων, φασὶν ἀπ' αὐτῶν ἀναφῦναι [11]) δάφνην, ἣ δὴ καὶ ἐς ἡμᾶς ἐστιν ἡ πρὸ τῆς σκηνῆς ταύτης. καθῆραι δέ φασιν Ὀρέστην καθαρσίοις καὶ ἄλλοις, καὶ ὕδατι ἀπὸ τῆς ἵππου κρήνης. Ἔστι γὰρ καὶ Τροιζηνίοις ἵππου κρήνη καλουμένη [12]), καὶ ὁ λόγος ἐς αὐτὴν διαφόρως τῶν Βοιωτῶν ἔχει. Πηγάσῳ γὰρ τῷ ἵππῳ καὶ οὗτοι λέγουσι τὸ ὕδωρ ἀνεῖναι τὴν γῆν [13]) θίγοντι τοῦ ἐδάφους τῇ ὁπλῇ, Βελλεροφόντην δὲ ἐλθεῖν ἐς Τροιζῆνα γυναῖκα αἰτήσαντα Λύθραν παρὰ Πιτθέως, πρὶν δὲ γῆμαι, συμβῆναί οἱ φυγεῖν ἐκ Κορίνθου. Καὶ Ἑρμῆς ἐνταῦ- 13
θά ἐστι Πολύγιος καλούμενος. πρὸς τούτῳ τῷ ἀγάλματι τὸ ῥόπαλον θεῖναί φασιν Ἡρακλέα· καὶ (ἦν γὰρ κοτίνου) τοῦτο μὲν (ὅτῳ πίσᾳ) ἐνέφυ τῇ γῇ, καὶ ἀνεβλάστησεν αὖθις, καὶ ἔστιν ὁ κότινος πεφυκὼς ἔτι.

τὸν

11) ἀναφῦναι] Sic legendum esse conjeceram pro vulgata ἀναφῆναι, cum Cod. Vind. hanc ipsam lectionem exhiberet; quare illam in textum recepi.

12) ἵππου κρήνη καλ.] De altera Hippocrene sub Helicone vid. L. IX. C. 31. Uterque Cod. ἵππου καλ. κρήνη, et mox pro διαφόρως τῶν Βοιωτῶν ἔχει dat τῶν Βοιωτ. διαφόρως ἔχει.

13) τὴν γῆν] Cod. Mosc. τὴν πηγὴν, quam lectionem *Amas.* secutus esse videtur.

τὸν δὲ Ἡρακλέα λέγουσιν ἀνευρόντα τὸν πρὸς τῇ Σαρω-
14 νίδι κότινον ἀπὸ τούτου τεμεῖν ῥόπαλον [14]). Ἔστι δὲ
καὶ Διὸς ἱερὸν, ἐπίκλησιν Σωτῆρος· ποιῆσαι δὲ αὐτὸ
βασιλεύοντα Ἀέτιον τὸν Ἄνθου λέγουσιν. ὕδωρ δὲ ὀνο-
μάζουσι Χρυσορόαν. αὐχμοῦ δὲ ἐπὶ ἔτη συμβάντος
σφίσιν ἐννέα, ἐν οἷς οὐχ ὗεν ὁ θεὸς, τὰ μὲν ἄλλα
ἀναξηρανθῆναί φασιν ὕδατα, τὸν δὲ Χρυσορόαν
τοῦτον καὶ τότε ὁμοίως διαμεῖναι ῥέοντα.

CAPUT XXXII.

De Hippolyti cultu et ſacris apud Troezen. — templo Apollinis Epibaterii — Lamia et Auxeſia, virginibus Creticis — templo Veneris Speculatricis ac Phaedrae Hippolytique ſepulcris — templo Minervae Stheniadis in arce — templo Panis Lyterii — templo Iſidis in urbe Troezen. — memorandis in via Hermionem verſus, in via ad portum Celenderis et in via ad mare Piſiphaeum.

Ἱππολύτῳ δὲ τῷ Θησέως τέμενός τε ἐπιφανέστατον ἀν-
εῖται, καὶ ναὸς ἐν αὐτῷ, καὶ ἄγαλμά ἐστιν ἀρχαῖον·
καὶ ταῦτα μὲν Διομήδην [1]) λέγουσι ποιῆσαι, καὶ προσ-
έτι θῦσαι τῷ Ἱππολύτῳ πρῶτον. Τροιζηνίοις δὲ ἱε-
ρεὺς μέν ἐστιν Ἱππολύτου τὸν χρόνον τοῦ βίου πάντα
ἱερωμένος, καὶ θυσίαι καθεστήκασιν ἐπέτειοι. δρῶσι
δὲ καὶ ἄλλο τοιόνδε· ἑκάστη παρθένος πλόκαμον ἀ-
ποκείρεται οἱ πρὸ γάμου, κειραμένη δὲ ἀνέθηκεν ἐς
τὸν

14) τὸν δὲ Ἡρακλέα — ῥόπαλον] In gemma hoc expreſſum deprehendit Winkelm. *Deſcript. d. pierr. gr.* p. 273.

1) καὶ ταῦτα μὲν Διομήδην] Pro vulgata καὶ τοῦτον Διομήδη iſta reſcripſi ex utroque Codice et *Amaſaco*, qui vertit: *quae omnia.*

τὸν ναὸν φέρουσα [2]). ἀποθανεῖν δὲ αὐτὸν οὐκ ἐθέλουσι συρέντα ὑπὸ τῶν ἵππων, οὐδὲ τὸν τάφον ἀποφαίνουσιν εἰδότες· τὸν δὲ ἐν οὐρανῷ καλούμενον ἡνίοχον, τοῦτον εἶναι νομίζουσιν ἐκεῖνον Ἱππόλυτον, τιμὴν παρὰ θεῶν ταύτην ἔχοντα. Τούτου δὲ ἐντὸς τοῦ περι- 2
βόλου ναός ἐστιν Ἀπόλλωνος Ἐπιβατηρίου [3]), Διομήδους ἀνάθημα ἐκφυγόντος τὸν χειμῶνα, ὃς τοῖς Ἕλλησιν ἐπεγένετο [4]) ἀπὸ Ἰλίου νομιζομένοις· καὶ τὸν ἀγῶνα τῶν Πυθίων Διομήδην πρῶτον θεῖναί φασι τῷ Ἀπόλλωνι. Ἐς δὲ τὴν Λάμιαν καὶ Αὐξησίαν (καὶ γὰρ Τροιζηνίοις μέτεστιν αὐτῶν) οὐ τὸν αὐτὸν λέγουσιν ὃν Ἐπιδαύριοι καὶ Αἰγινῆται λόγον· ἀλλὰ ἀφικέσθαι παρθένους ἐκ Κρήτης, σασιασάντων δὲ ὁμοίως τῶν ἐν τῇ πόλει ἁπάντων καὶ ταύτας φασὶν ἀπὸ τῶν ἀντισασιωτῶν καταλευσθῆναι, καὶ ἑορτὴν ἄγουσί σφισι Λιθοβολίαν ὀνομάζοντες. Κατὰ δὲ τὸ 3
ἕτερον τοῦ περιβόλου μέρος σάδιόν ἐστιν [5]) Ἱππολύτου καλούμενον, καὶ ναὸς ὑπὲρ αὐτοῦ Ἀφροδίτης Κατασκοπίας. αὐτόθεν γὰρ, ὁπότε γυμνάζοιτο ὁ Ἱππόλυτος, ἀπέβλεπεν ἐς αὐτὸν ὀρῶσα [6]) ἡ Φαίδρα. ἐνταῦθα ἔτι ἐπεφύκει ἡ μυρσίνη, τὰ φύλλα, ὡς καὶ πρότερον

2) ἑκάστη παρθένος — φέρουσα] Vid. Euripid. Hippol. v. 1423 — 1426 et ibi Valkenar.

3) Ἐπιβατηρίου] *Classiarii*, ab ἐπιβάτης, de qua v. vid. Hesych. et Suid.

4) ἐπεγένετο] Ex utroque Codice pro vulgata ἐγένετο posui, uti et paullo infra Διομήδην pro Διομήδη.

5) Κατὰ δὲ τὸ ἕτερον τ. π. μέρος σάδιόν ἐστιν] In vulgatis fuit τὸ ἔργον et σαδίου, quod utrumque ferri non poterat. Istam veram lectionem, quam *Kuhn.* conjectura assecutus erat, ex Codice Viudob. restitui. *Amas.* ἔρκος legisse videtur vertens: *adhaerer materiae septo* etc.

6) ὀρῶσα] *Kuhn.* mavult ἰρῶσα, et ita quoque emendat Valkenar. ad Euripid. Hippol. v. 31. p. 166.

τερον ἔγραψα [7]), ἔχουσα τετρυπημένα. καὶ ἡνίκα ἠπορεῖτο ἡ Φαίδρα, καὶ ῥαιῶνην τῷ ἔρωτι οὐδεμίαν εὗρισκεν, ἐς ταύτης τὰ φύλλα ἐσιναμώρει [8]) τῆς μυρσίνης. ἔστι δὲ καὶ τάφος Φαίδρας, ἀπέχει δὲ οὐ πολὺ τοῦ Ἱππολύτου μνήματος, τὸ δὲ οὐ πόρρω κέχωσαι τῆς μυρσίνης. τοῦ δὲ Ἀσκληπιοῦ τὸ ἄγαλμα ἐποίησε μὲν Τιμόθεος, Τροιζήνιοι δὲ οὐκ Ἀσκληπιὸν, ἀλλὰ εἰκόνα Ἱππολύτου φασὶν εἶναι. καὶ οἰκίαν ἰδὼν οἶδα Ἱππολύτου. πρὸ δὲ αὐτῆς ἐστιν Ἡράκλειος καλουμένη κρήνη [9]), τὸ ὕδωρ, ὡς οἱ Τροιζήνιοι λέγου-
4 σιν, ἀνευρόντος Ἡρακλέους. Ἐν δὲ τῇ ἀκροπόλει τῆς Σθενιάδος καλουμένης ναός ἐστιν Ἀθηνᾶς. αὐτὸ δὲ εἰργάσατο τῆς θεοῦ τὸ ξόανον Κάλλων Αἰγινήτης. μαθητὴς δὲ ὁ Κάλλων ἦν Τεκταίου καὶ Ἀγγελίωνος, οἳ Δηλίοις ἐποίησαν τὸ ἄγαλμα τοῦ Ἀπόλλωνος· ὁ δὲ Ἀγγελίων καὶ Τεκταῖος παρὰ Διποίνῳ καὶ Σκύλλιδι
5 ἐδιδάχθησαν. Κατιόντων δὲ αὐτόθεν, Λυτηρίου Πανός ἐστιν ἱερόν. Τροιζηνίων γὰρ τοῖς τὰς ἀρχὰς ἔχουσιν ἔδειξεν ὀνείρατα, ἃ εἶχεν, ἄκεσιν [10]) λιμοῦ
6 πιέσαντος, Ἀθηναίους δὲ μάλιστα. Διαβὰς δὲ καὶ ἐς τὴν Τροιζηνίαν, ναὸν ἴδοις Ἴσιδος, καὶ ὑπὲρ αὐτὸν Ἀφροδίτης Ἀσκραίας [11]). τὸν μὲν ναὸν ἐν μητρο-

7) πρότερον ἔγραψα] Vid. L. I. C. 22.

8) ἐσιναμώρει] Συναμωρεῖν est *deperdere*, *vastare*, apud Herodot. L. I. f. 152. et L. VIII. f. 35., et accusativo jungitur; quare ἐς ante ταύτης hic ablatum malim. Uterque Codex mendose exhibet ἐσιαθεμώρει.

9) κρήνη] Cod. Mosc. dat σήλη.

10) ἃ εἶχεν, ἄκεσιν] Forte scribendum sit ἃ εἶχεν ἐς ἄκεσιν.

11) Ἀσκραίας] In utroque Codice scribitur Ἀκραίας, quod *Sylb.* conjecerat. Venus Ἀκραία apud Cnidios culta memoratur L. I. C. 2., nec Pausanias L. IX. C. 29. de *Ascra* Boeotiae agens Veneris facit mentionem.

μητροπόλει [12]) τῇ Τροιζῆνι Ἁλικαρνασσεῖς ἐποίησαν, τὸ δὲ ἄγαλμα τῆς Ἴσιδος ἀνέθηκε Τροιζηνίων δῆμος. Ἰοῦσι δὲ τὴν διὰ τῶν ὀρέων ἐς Ἐρμιόνην, πηγή τέ ἐστι 7
τοῦ Ὑλικοῦ ποταμοῦ, Ταυρίου δὲ τὸ ἐξαρχῆς καλουμένου, καὶ πέτρα Θησέως ὀνομαζομένη, μεταβαλοῦσα καὶ αὐτὴ [13]) τὸ ὄνομα, ἀνελομένου Θησέως ὑπ' αὐτῇ κρηπῖδας τὰς Αἰγέως καὶ ξίφος· πρότερον δὲ βωμὸς ἐκαλεῖτο Σθενίου Διός. τῆς δὲ πέτρας πλησίον Ἀφροδίτης ἐστὶν ἱερὸν Νύμφας, ποιήσαντος Θησέως, ἡνίκα ἔσχε γυναῖκα Ἑλένην. ἔστι δὲ ἔξω τείχους καὶ Ποσειδῶνος ἱερὸν Φυταλμίου. μηνίσαντα γάρ σφισι τὸν Ποσειδῶνα ποιεῖν φασιν ἄκαρπον τὴν χώραν, ἅλμης εἰς τὰ σπέρματα καὶ τῶν φυτῶν τὰς ῥίζας καθιεμένης· ἐς ὃ θυσίαις τε εἵλκυσαν καὶ εὐχαῖς οὐκέτι ἅλμην ἀνῆκεν ἐς τὴν γῆν. ὑπὲρ δὲ τοῦ Ποσειδῶνος τὸν ναόν ἐστι Δημήτηρ Θεσμοφόρος, Ἀλθήπου [14]),
καθὰ λέγουσιν, ἱδρυσαμένου. Καταβαίνουσι δὲ ἐπὶ 8
τὸν πρὸς τῇ Κελενδέρει καλούμενον [15]) λιμένα, χωρίον ἐστὶν,

12) τὸν μὲν ναὸν ἐν μητροπ. etc.] Cod. Mosc. pro ναὸν dat ἄτε, quod commode locum habere potest; rationem enim reddit, cur potissimum Halicarnass. hoc templum exstruxerint. De Halicarnasso, Troezenis colonia, vid. supra C. 30. in fine.

13) καὶ αὐτὴ etc.] Cod. Mosc καὶ αὐτό. Male. Ad rem conf. L. I. C. 27. et ibi not. et L. II. C. 34., ubi eadem leguntur.

14) Ἀλθήπου] Ex Cod. Vindob. et Mosc. hoc nomen, quod supra C. 30. ita scriptum fuit, restitui pro vulgata Ἀλθιπίου *Althepus* Neptuni filius perhibebatur.

15) τὸν πρὸς τῇ Κελενδέρει καλούμενον] Vulgatae καλουμένῃ praestare videbatur καλουμενον, quod uterque Cod. exhibebat; quare illud recepi. Urbis Celenderis, prope quam portus fuit, Strabo L. XIV. p 986. mentionem facit, sed in Ciliciae urbium enumeratione, et libri scripti ibi dant Μελενδερις.

ἐστὶν, ὃ Γενέθλιον ὀνομάζουσι, τεχθῆναι Θησέα ἐνταῦθα λέγοντες· πρὸ δὲ τοῦ χωρίου τούτου ναός ἐστιν Ἄρεως, Θησέως καὶ ἐνταῦθα Ἀμαζόνας μάχῃ κρατήσαντος· αὗται δ' ἂν εἴησαν τῶν ἐν τῇ Ἀττικῇ πρὸς
9 Θησέα καὶ Ἀθηναίους ἀγωνισαμένων. Ἐπὶ θάλασσαν δὲ τὴν Ψιφαίαν [16]) πορευομένοις, κότινος πέφυκεν ὀνομαζόμενος ῥάχος σρεπτός. ῥάχους [17]) μὲν δὴ καλοῦσι Τροιζήνιοι πᾶν ὅσον ἄκαρπον, ἐλαίας, κότινον, καὶ φυλίαν [18]), καὶ ἔλαιον. σρεπτὸν δὲ ἐπονομάζουσι τοῦτο, ὅτι ἐνεσχεθεισῶν αὐτῷ τῶν ἡνιῶν ἀνετράπη τοῦ Ἱππολύτου τὸ ἅρμα. τούτου δὲ οὐ πολὺ τῆς Σαρωνίας Ἀρτέμιδος ἀφέσηκε τὸ ἱερὸν, καὶ τὰ ἐς αὐτὸ ἐμήνυσεν ὁ λόγος ἤδη μοι [19]). τοσόνδε δὲ ἔτι δηλώσει· Σαρώνια γὰρ δὴ κατὰ ἔτος τῇ Ἀρτέμιδι [20]) ἑορτὴν ἄγουσι.

16) Ψιφαίαν] *Camerar.* legit Ψηφαίαν. Sic a ψήφοις, *calculis*, haec maris pars dicta videri possit.

17) ῥάχους] Hesych. h. v. ἔστι δὲ ἀκανθώδες φυτὸν etc.

18) φυλίαν] Ex Cod. Vind. pro φυλλίαν. Vid. Hesych. v. φυλίης et φυλίη. Quae hic inter arbores fructus expertes enumeratur ἔλαιος, *olea mascula* est, vel *oleaster* (ἀγριέλαιος). Mox ἐνεσχεθεισῶν *Sylburg.* recte mutandum censet in ἐνοχεθεισῶν.

19) ἐμήνυσεν — μοι] Uterque Codex pro ἐμήνυσεν dat ἐδήλωσεν. Utra harum lectionum glossema sit, decernere non ausim: ἐδήλωσεν Pausaniae usitatius est. De Diana Saronia vel Saronide vid. supra C. 30.

20) κατὰ ἔτος τῇ Ἀρτ.] Ex utroque Codice τῇ restitui pro vulgato ἓν, quod usui loquendi prorsus repugnabat. Valkenar. ad Herodot. p. 589. pro ἓν scribendum conjecerat vel ἕκατον vel ἐν Ἀρτέμιδος.

CAPUT

CAPUT XXXIII.

De insulis Troezeniorum, Hiera, ante Sphaeria dicta — Calauria et memorandis in ea — Demosthenis monumento et Homeri caecitate ac paupertate — Demosthene et Harpalo.

Νῆσοι δέ εἰσι Τροιζηνίοις, μία μὲν πλησίον τῆς ἠπείρου, καὶ διαβῆναι ποσὶν ἐς αὐτήν ἐστιν. αὕτη Σφαιρία {ὀνομαζομένη / πρότερον} Ἱερὰ δι' αἰτίαν ἐκλήθη τοιαύτην. ἔστιν ἐν αὐτῇ [1]) Σφαίρου μνῆμα, Πέλοπος δὲ ἡνίοχον εἶναι λέγουσι τὸν Σφαῖρον. τούτῳ κατὰ δή τι ἐξ Ἀθηνᾶς ὄνειρον κομίζουσα Αἴθρα χοὰς διέβαινεν ἐς τὴν νῆσον, διαβάσῃ δὲ ἐνταῦθα λέγεται Ποσειδῶνι μιχθῆναι. ἱδρύσατο μὲν διὰ τοῦτο Αἴθρα ναὸν ἐνταῦθα Ἀθηνᾶς Ἀπατουρίας, καὶ Ἱερὰν ἀντὶ Σφαιρίας ὠνόμασε τὴν νῆσον. κατεσήσατο δὲ καὶ ταῖς Τροιζηνίων παρθένοις ἀνατιθέναι πρὸ γάμων [2]) τὴν ζώνην τῇ Ἀθηνᾷ τῇ Ἀπατουρίᾳ. Καλαύρειαν δὲ Ἀπόλλωνος ἱερὰν τὸ ἀρχαῖον εἶναι λέγουσιν, ὅτε περ ἦσαν καὶ οἱ Δελφοὶ Ποσειδῶνος. λέγεται δὲ καὶ τοῦτο· ἀντιδοῦναι τὰ χωρία σφᾶς ἀλλήλοις. φασὶ δὲ καί [3]) τι καὶ λόγιον μνημονεύουσιν· 2

Ἴσον

1) ἔστιν ἐν αὐτῇ] Reddidi ἐν, quod in vulgatis deerat, ex utroque Codice.

2) πρὸ γάμων] Cod. Vind. πρὸ γάμου, et Mosc. mendose πρὸς γάμον.

3) ἀντιδοῦναι — ἀλλήλοις. φασὶ δὲ καί etc.] Haec sine ulla dubitatione sic sunt interpungenda et legenda: ἀντιδοῦναι — ἀλλήλοις φασί τε, καὶ etc. Oraculi effatum, quod hic sequitur, Strabo L. VIII. p. 574. ex Ephoro in medium profert.

Ἰσόν τοι [4]) Δῆλόν τε Καλαύρειάν [5]) τε νέμεσθαι,
Πυθώ τ' ἠγαθέην, καὶ Ταίναρον ἠνεμόεσσαν [6]).

3 Ἔστι δ' οὖν Ποσειδῶνος ἱερὸν ἐνταῦθα ἄγιον, ἱερᾶται δὲ αὐτῷ παρθένος, ἕς τ' ἂν ἐς ὥραν προσέλθῃ γάμου. τοῦ περιβόλου δὲ ἐντὸς καὶ τὸ Δημοσθένους μνῆμά ἐστι. καί μοι τὸ δαιμόνιον δεῖξαι μάλιστα ἐπὶ τούτου δοκεῖ καὶ Ὁμήρου πρότερον, ὡς εἴη βάσκανον· εἰ δὴ Ὅμηρον μὲν προδιεφθαρμένον τοὺς ὀφθαλμοὺς ἐπὶ τοσούτῳ κακῷ κακὸν δεύτερον πενία πιέζουσα ἐπὶ πᾶσαν γῆν πτωχεύοντα ἦγε [7]). Δημοσθένει δὲ Φυγῆς τε συνέπεσεν ἐν γήρᾳ λαβεῖν πεῖραν, καὶ ὁ θάνατος
4 ἐγένετο οὕτω βίαιος. Εἴρηται μὲν οὖν περὶ αὐτοῦ καὶ ἄλλοις, καὶ αὐτῷ Δημοσθένει πλεῖστα, ἢ μὴν τῶν χρημάτων, ἃ ἐκ τῆς Ἀσίας ἤγαγεν Ἅρπαλος, μὴ μεταλαβεῖν αὐτόν· τὸ δὲ ὕστερον λεχθὲν ἐπέξειμι, ὁποῖον ἐγένετο. Ἅρπαλος μὲν ὡς ἐξ Ἀθηνῶν ἀπέδρα διαβὰς ναυσὶν ἐς Κρήτην, οὐ πολὺ ὕστερον ὑπὸ τῶν θεραπευόντων ἀπέθανεν οἰκετῶν· οἱ δὲ [8]) ὑπὸ ἀνδρὸς Μακεδόνος Παυσανίου δολοφονηθῆναί φασιν αὐτόν. τὸν δὲ οἱ τῶν χρημάτων διοικητὴν φυγόντα ἐς Ῥόδον Φιλόξενος Μακεδὼν συνέλαβεν, ὃς καὶ αὐτὸν παρὰ Ἀθηναίων ἐξήτησεν Ἅρπαλον· τὸν δὲ παῖδα τοῦτον ἔχων ἤλεγχεν, ἐς ὃ πάντα ἐπύθετο, ὅσοι τῶν Ἁρπάλου τι ἔτυχον εἰληφότες· μαθὼν δὲ ἐς Ἀθήνας γράμματα ἐπέστελλεν. ἐν τούτοις τοῖς γράμμασι τοὺς

4) Ἰσόν τοι] Uterque Codex Ἰσόν τε.

5) Καλαύρειάν] Strabo l. c. Καλαυρίαν. Scripturam variare, vidimus L. I. C 8.

6) ἠνεμόεσσαν] Strabo l. c. ἠνεμόεντα.

7) ἦγε] Cod. Vind. ἤγαγε.

8) Ἅρπαλος — ἀπέθανεν οἰκετῶν· οἱ δὲ etc.] Diodor., qui L. XVII. p. 574. 575. plura de Harpalo refert, aliam de ejus nece sequitur narrationem, qua a Thimbrone, amicorum quodam, dolose occisus feretur.

τοὺς λαβόντας παρὰ Ἀρπάλου καταριθμῶν καὶ αὐτοὺς, καὶ ὁπόσον αὐτῶν ἔλαβεν ἕκαστος, οὐδὲ ἐμνημόνευσεν ἀρχὴν Δημοσθένους, Ἀλεξάνδρῳ τε ἐς τὰ μάλιστα ἀπεχθανομένου, καὶ αὐτὸς ἰδίᾳ προσκρούσας. Δημοσθένει μὲν οὖν τιμαὶ καὶ ἑτέρωθι τῆς Ἑλλάδος, καὶ παρὰ τῶν Καλαυρείας εἰσὶν οἰκητόρων.

CAPUT XXXIV.

De oppido Methanis in isthmo Troezeniorum — balneis calidis — remedio contra Africi venti noxios flatus — parvis insulis, quae Pelopis insulae dicuntur — urbe Hermione et memorandis in via ad illam — promontorio Scyllaeo — promontorio Bucephala et insulis Haliusa, Pityusa, Aristeris, Tricrana, et monte Buporthmo — insulis Aperopia et Hyidrea — reliquiis priscae urbis Hermionensium — monte Prone et templis Veneris ejusque cultu in urbe Hermione.

Τῆς δὲ Τροιζηνίας γῆς ἐστιν Ἰσθμὸς ἐπὶ πολὺ διήκων ἐς θάλασσαν, ἐν δὲ αὐτῷ πόλισμα οὐ μέγα ἐπὶ θαλάσσῃ Μέθανα [1]) ᾤκισαι. Ἴσιδος δὲ ἐνταῦθα ἱερόν ἐστι, καὶ ἄγαλμα ἐπὶ τῆς ἀγορᾶς Ἑρμοῦ, τὸ δὲ ἕτερον Ἡρακλέους. Τοῦ δὲ πολίσματος τριάκοντά που σταδία 2 ἀπέχει θερμὰ λουτρά. Φασὶ δὲ, Ἀντιγόνου τοῦ Δημητρίου Μακεδόνων βασιλεύσαντος, τότε πρῶτον τὸ ὕδωρ φανῆναι, φανῆναι δὲ οὐχ ὕδωρ εὐθὺς, ἀλλὰ πῦρ ἀναζέσαι πολὺ ἐκ τῆς γῆς, ἐπὶ δὲ τούτῳ μαραν-θέντι ῥυῆναι τὸ ὕδωρ, ὃ δὴ καὶ ἐς ἡμᾶς ἄνεισι, θερμόν

1) Μέθανα] Strabo L. VIII. p. 575. inter Troezena et Epidaurum ponit hanc urbem, eamque apud Thucydidem (L. IV. C. 45.) in quibusdam exemplaribus Μεθώνην scribi affirmat. Vid. ibi Casaub.

τε καὶ δεινῶς ἁλμυρόν. λουσαμένῳ δὲ ἐνταῦθα, οὔτε ὕδωρ ἐστὶν ἐγγὺς ψυχρὸν, οὔτε ἐσπεσόντα ἐς τὴν θάλασσαν ἀκινδύνως νήχεσθαι· θηρία γὰρ καὶ ἄλλα καὶ κύνας παρέχεται πλείστους.

3 Ὃ δὲ ἐθαύμασα ἐν τοῖς Μεθάνοις μάλιστα, γράψω καὶ τοῦτο. ἄνεμος ὁ Λὶψ βλασανούσαις ταῖς ἀμπέλοις ἐμπίπτων ἐκ τοῦ Σαρωνικοῦ κόλπου τὴν βλάστην σφῶν ἀφαυαίνει. κατιόντος οὖν ἔτι τοῦ πνεύματος, ἀλεκτρυόνα τὰ πτερὰ ἔχοντα διαπαντὸς λευκὰ διελόντες ἄνδρες δύο ἐναντίοι περιθέουσι τὰς ἀμπέλους, ἥμισυ ἑκάτερος τοῦ ἀλεκτρυόνος φέρων. ἀφικόμενοι δ' ἐς τὸ αὐτὸ, ὅθεν ὡρμήθησαν, κατορύσσουσιν ἐνταῦθα.

4 τοῦτο μὲν πρὸς τὸν Λίβα σφίσιν ἐστὶν εὑρημένον. Τὰς δὲ νησίδας, αἳ πρόκεινται τῆς χώρας, ἀριθμὸν ἐννέα οὔσας, Πέλοπος μὲν καλοῦσι. τοῦ θεοῦ δὲ ὄντος, μίαν ἐξ αὐτῶν οὔ φασιν ὔεσθαι. τοῦτο δὲ εἰ τοιοῦτόν ἐστιν, οὐκ οἶδα, ἔλεγον δὲ οἱ περὶ τὰ Μέθανα. ἐπεὶ χάλαζάν [2]) γε ἤδη θυσίαις εἶδον καὶ ἐπῳδαῖς ἀνθρώπους ἀποτρέποντας. τὰ μὲν δὴ Μέθανα Ἰσθμός ἐστι

5 τῆς Πελοποννήσου [3]). Ἐντὸς δὲ τοῦ Ἰσθμοῦ τῆς Τροιζῆνος ὅμορός ἐστιν Ἑρμιόνη. οἰκισὴν δὲ τῆς ἀρχαίας πόλεως Ἑρμιονεῖς γενέσθαι φασὶν Ἑρμίονα Εὔρωπος· τὸν δὲ Εὔρωπα (ἦν γὰρ δὴ Φορωνέως) Ἡροφάνης ὁ Τροιζήνιος ἔφασκεν εἶναι νόθον· οὐ γὰρ δή ποτε ἐς Ἄργον τὸν Νιόβης, θυγατριδοῦν ὄντα Φορωνέως, τὴν ἐν

2) ἐπὶ χάλαζάν etc.] Ad ea, quae paullo ante de remedio contra noxios Africi flatus narrantur, haec sunt revocanda. De superstitione veterum in grandine avertenda vid. Clem. Alex. Stromat. L. VI. p. 631., Plin. H. N. L. XVII. C. 28. in fine et Pallad. de re rust. L. I. C. 35.

3) τὰ μὲν δὴ Μέθανα Ἰ. ἐστι τ. Πελοποννήσου] Forte ex Strab. et Thucyd. l. c. legendum sit — Ἰ. ἐστι τῆς Χερρονήσου. Mox pro Τροιζῆνος uterque Codex Τροιζηνίων exhibet.

ἐν Ἄργει περιελθεῖν ἀρχήν, παρόντος Φορωνεῖ γνησίου παιδός. ἐγὼ δὲ, εἰ καὶ γνήσιον ὄντα Εὔρωπα πρότερον τὸ χρεὼν ἢ Φορωνέα ἔλαβεν [4]), εὖ οἶδα, ὡς οὐκ ἔμελλεν ὁ παῖς αὐτῷ Νιόβης παιδὶ ἴσα οἴσεσθαι, Διός τε [5]) εἶναι δοκοῦντι. ἐπῴκησαν δὲ καὶ Ἑρμιόνην ὕστερον Δωριεῖς οἱ ἐξ Ἄργους. πόλεμον δὲ οὐ δοκῶ γενέσθαι σφίσιν· ἐλέγετο γὰρ ἂν ὑπὸ Ἀργείων. Ἔστι 6
δὲ ὁδὸς ἐς Ἑρμιόνην ἐκ Τροιζῆνος κατὰ τὴν πέτραν, ἣ πρότερον μὲν ἐκαλεῖτο Σθενίου Διὸς βωμός, μετὰ δὲ Θησέα ἀνελόμενον τὰ γνωρίσματα ὀνομάζουσιν οἱ νῦν Θησέως αὐτήν. κατὰ ταύτην οὖν τὴν πέτραν ἰοῦσιν ὀρεινὴν ὁδὸν, ἔστι μὲν Ἀπόλλωνος ἐπίκλησιν Πλατανισίου ναός [6]). ἔστι δὲ Εἰλεοὶ χωρίον, ἐν δὲ αὐτῷ Δήμητρος καὶ Κόρης τῆς Δήμητρος ἱερά. τὰ δὲ πρὸς θάλασσαν ἐν ὅροις τῆς Ἑρμιονίδος, ἱερὸν Δήμητρός ἐστιν ἐπίκλησιν Θερμησίας [7]). Σταδίους δὲ ὀγδοήκοντα 7
ἀπέχει μάλιστα ἄκρα, Σκυλλαῖον ἀπὸ τῆς Νίσου καλουμένη θυγατρός. ὡς γὰρ δὴ τὴν Νισαίαν ὁ Μίνως καὶ τὰ Μέγαρα εἶλεν, ἐκείνης προδούσης, οὔτε γυναῖκα ἔξειν αὐτὴν ἔτι ἔφασκε, καὶ προσέταξε τοῖς Κρησὶν ἐκβάλλειν τῆς νεώς, ἀποθανοῦσαν δὲ ἀπέρριψεν ἐς τὴν ἄκραν ταύτην ὁ κλύδων. τάφον δὲ οὐκ ἀποφαίνουσιν αὐτῆς, ἀλλὰ περιοφθῆναι τὸν νεκρὸν φασι, διαφορηθέντα ὑπὸ τῶν ἐκ θαλάσσης ὀρνίθων. Ἀπὸ 8
δὲ Σκυλλαίου πλέοντι ὡς ἐπὶ τὴν πόλιν, ἄκρα τ' ἐστὶν

4) ἔλαβεν] Uterque Codex bene dat ἐπέλαβεν.

5) Διός τε] Scribendum esse Διός γε, in promtu est. Mox pro Ἑρμιόνην bis uterque Codex habet Ἑρμιόνα, uti et in Pausan. aliquoties est. Steph. utramque formam agnoscit, Ἑρμιὼν et Ἑρμιόνη.

6) Πλατανισ. ναός] Cod. V. exhibet Πλ. βωμὸς cum variante ναὸς in margine notata.

7) Θερμησίας] Cod. uterque Θερμασίας. *Amas.* Theumesiae.

ἑτέρα Βουκέφαλα, καὶ μετὰ τὴν ἄκραν νῆσοι. πρώτη μὲν Ἁλιοῦσα· παρέχεται δὲ αὕτη λιμένα ἐνορμίσασθαι ναυσὶν ἐπιτήδειον. μετὰ δὲ Πιτυοῦσα· τρίτη δὲ, ἣν Ἀριστερὰς ὀνομάζουσι. ταύτας δὲ παραπλεύσαντί ἐστιν αὖθις ἄκρα καλουμένη ἀνέχουσα [8]) ἐκ τῆς ἠπείρου, μετὰ δὲ αὐτὴν νῆσος Τρίκρανα [9]) καλουμένη, καὶ ὄρος ἐς θάλασσαν ἀπὸ τῆς Πελοποννήσου προβεβλημένον Βούπορθμος. ἐν Βουπόρθμῳ δὲ πεποίηται μὲν ἱερὸν Δήμητρος καὶ τῆς παιδὸς, πεποίηται δὲ Ἀθη-
9 νᾶς· ἐπίκλησις δὲ ἐστι τῇ θεῷ Προμαχόρμα. Πρόκειται δὲ Βουπόρθμου νῆσος Ἀπεροπία [10]) καλουμένη. τῆς δὲ Ἀπεροπίας ἀφέστηκεν οὐ πολὺ ἑτέρα νῆσος Ὑδρέα [11]). μετὰ ταύτην αἰγιαλός τε παρήκει τῆς ἠπείρου μηνοειδὴς, καὶ ἀκτὴ μετὰ τὸν αἰγιαλὸν ἐπὶ Ποσειδίον [12]), ἐκ τῆς θαλάσσης μὲν ἀρχομένη τῆς πρὸς ἀνατολὰς, προήκουσα δὲ ὡς ἐπὶ τὴν ἑσπέραν. ἔχει δὲ καὶ λιμένας ἐν αὐτῇ. μῆκος μὲν δὴ τῆς ἀκτῆς ἐστιν ἑπτά που σάδια, πλάτος δὲ, ᾗ πλατυτάτη,
10 σαδίων τριῶν, οὐ πλέον. Ἐνταῦθα ἡ προτέρα πόλις τοῖς Ἑρμιονεῦσιν ἦν. ἔστι δέ σφισι καὶ νῦν ἔτι ἱερὰ αὐτόθι. Ποσειδῶνος μὲν ἐπὶ τῆς ἀκτῆς τῇ ἀρχῇ, προελθοῦσι

8) ἄκρα καλουμένη ἀνέχουσα etc.] Nomen promontorii, quod hic deest, *Amasaeo* est *Acra*. Sed libri scripti aliud nomen, quod excidit, restituunt. Cod. Mosc. exhibet ἄκρα κωλυεργίαν ἔχουσα, et Cod. Vind. eandem lectionem dat cum hisce verbis in margine adscriptis: γρ. Κωλυεργία καλουμένη ἀνέχουσα.

9) Τρίκρανα] Cod. Vindob. Τρίκαια.

10) Ἀπεροπία] Uterque Cod. Ἀεροπέα.

11) Τὑδρέα] Sine dubio Τὑδρέα scribendum, sicuti Stephanus habet.

12) αἰγιαλός τε — καὶ ἀκτὴ — ἐπὶ Ποσειδίον] αἰγιαλὸς et ἀκτὴ differre videntur, uti Romanorum *litus* et *ora*, *ora maritima*. Ποσειδίον templum Neptuni est, quod paullo infra memoratur.

θοῦσι δὲ ἀπὸ θαλάσσης ἐς τὰ μετέωρα νεὼς Ἀθηνᾶς, παρὰ δὲ αὐτῷ σταδίου θεμέλια. ἐν δὲ αὐτῷ τοὺς Τυνδάρεω παῖδας ἀγωνίσασθαι λέγουσιν. ἔστι δὲ καὶ ἕτερον οὐ μέγα τῆς Ἀθηνᾶς ἱερὸν, ὁ δὲ ὄροφος κατερρύηκεν αὐτῷ· καὶ Ἡλίῳ ναὸς, καὶ ἄλσος Χαρίσιν. ὁ δὲ Σεράπιδι ᾠκοδόμηται καὶ Ἰσιδι· καὶ περίβολοι [13]) μεγάλων λίθων λογάδων εἰσίν· ἐντὸς δὲ αὐτῶν ἱερὰ δρῶσιν ἀπόῤῥητα Δήμητρι. τοσαῦτα μὲν Ἐρμιονεῦσίν ἐστιν ἐνταῦθα. Ἡ δὲ ἐφ' ἡμῶν πόλις ἀπέχει μὲν τῆς ἄκρας, ἐφ' ἣ τοῦ Ποσειδῶνος τὸ ἱερὸν, τέσσαρας μάλιστα σταδίους· κειμένη δὲ ἐν ὁμαλῷ τὰ πρῶτα ἠρέμα ἐς πρόσαντες ἄνεισι· τὸ δέ ἐστιν ἤδη τοῦ Πρώνος. Πρῶνα γὰρ τὸ ὄρος τοῦτο ὀνομάζουσι. Τεῖχος μὲν δὴ περὶ πᾶσαν τὴν Ἐρμιόνα ἔσηκε· τὰ δὲ ἐς συγγραφὴν καὶ ἄλλα παρείχετο, καὶ ὧν αὐτὸς ποιήσασθαι μάλιστα ἠξίωσα μνήμην. Ἀφροδίτης ναός ἐστιν, ἐπίκλησιν Ποντίας καὶ Λιμενίας τῆς αὐτῆς· ἄγαλμα δὲ λευκοῦ λίθου, μεγέθει τε μέγα, καὶ ἐπὶ τῇ τέχνῃ θέας ἄξιον. καὶ ναὸς ἕτερός ἐστιν Ἀφροδίτης. αὕτη καὶ ἄλλας ἔχει παρὰ Ἐρμιονέων τιμὰς, καὶ ταῖς παρθένοις, καὶ ἣν γυνὴ χηρεύουσα παρὰ ἄνδρα μέλλῃ φοιτᾶν, ἁπάσαις πρὸ γάμου θύειν καθέστηκεν ἐνταῦθα. Δήμητρος [14]) δὴ ἱερὰ πεποίηται Θερμησίας· τὸ μὲν ἐν τοῖς πρὸς τὴν Τροιζηνίαν ὅροις, ὡς ἔτι ἔμενον οἱ δῆμοι, τὸ δὲ καὶ ἐν ταύτῃ τῇ πόλει.

13) καὶ Ἰσιδι· καὶ περίβολοι] Uterque Cod habet Ἰσιδος, et Vind insuper καὶ ἄλλοι περίβολοι. 14) καθέστηκεν ἐνταῦθα. Δήμητρος etc.] Sic interpunxi ex Codice Vind., cum in vulgatis esset: καθέστηκεν. Ἐνταῦθα Δήμ. Sequentia autem declarant, haec Cereris templa non ibidem esse.

CAPUT XXXV.

De musico ac navigandi urinandique certamine in honorem Bacchi Melanaegidis ab Hermionens. instituto — aliis templis et signis deorum in urbe Hermione — templo Cereris (Chthoniae) in monte Prone — sacrorum, quae Chthonia dicuntur, ratione — templo Clymeni — Echus porticu — locis Clymeni, Plutonis et palude Acherusia — templo Lucinae in via Masetem versus.

Πλησίον δὲ αὐτοῦ Διονύσου ναὸς Μελαναίγιδος. τούτῳ μουσικῆς ἀγῶνα κατὰ ἔτος ἕκαστον ἄγουσι [1]), καὶ ἀμίλλης κολύμβου καὶ πλοίων τιθέασιν ἆθλα. 2 Καὶ Ἀρτέμιδος ἐπίκλησιν Ἰφιγενείας ἐστὶν ἱερὸν, καὶ Ποσειδῶν χαλκοῦς, τὸν ἕτερον πόδα ἔχων ἐπὶ δελφῖνος. παρελθοῦσι δὲ ἐς τὸ τῆς Ἑστίας, ἄγαλμα μέν ἐστιν οὐδὲν, βωμὸς δὲ, καὶ ἐπ' αὐτοῦ θύουσιν Ἑστίᾳ. Ἀπόλλωνος δέ εἰσι ναοὶ τρεῖς, καὶ ἀγάλματα τρία. καὶ τῷ μὲν οὐκ ἔστιν ἐπίκλησις, τὸν δὲ Πυθαέα ὀνομάζουσι [2]), καὶ Ὅριον τὸν τρίτον. τὸ μὲν δὴ τοῦ Πυθαέως ὄνομα μεμαθήκασι παρὰ Ἀργείων· τούτοις γὰρ Ἑλλήνων πρώτοις ἀφικέσθαι Τελέσιλλά φησι τὸν Πυθαέα ἐς τὴν χώραν Ἀπόλλωνος παῖδα ὄντα. τὸν δὲ Ὅριον ἐφ' ὅτῳ καλοῦσιν, σαφῶς μὲν οὐκ ἂν ἔχοιμι εἰπεῖν· τεκμαίρομαι δὲ, περὶ γῆς ὅρων πολέμῳ σφᾶς ἢ δίκῃ νικήσαντας ἐπὶ τῷδε τιμᾶς Ἀπόλλωνι Ὁρίῳ νεῖμαι. τὸ

1) ἄγουσι] Ex utroque Codice reposui pro vulgata εἰσάγουσι, quae durior hic erat. De Baccho Melanaegide vid. Suid. v. Ἀπατούρια.

2) Πυθαέα ὀνομάζουσι] In utroque Codice inter haec duo verba insertum deprehenditur αὖτως.

τὸ δὲ ἱερὸν τῆς Τύχης νεώτατον μὲν λέγουσιν Ἑρμιονεῖς τῶν παρὰ σφίσιν εἶναι· λίθου δὲ Παρίου κολοσσὸς ἔσηκε. κρήνας δὲ, τὴν μὲν σφόδρα λεγουσιν ἀρχαίαν [3])· ἐς δὲ αὐτὴν οὐ φανερῶς τὸ ὕδωρ κάτεισιν, ἐπιλείποι δὲ οὐκ ἄν ποτε, οὐδ' εἰ πάντες καταβάντες ὑδρεύοιντο ἐξ αὐτῆς· τὴν δὲ ἐφ' ἡμῶν πεποιήκασιν. ὄνομα δέ ἐστι τῷ χωρίῳ Λειμών, ὅθεν ῥεῖ τὸ ὕδωρ ἐς αὐτήν. Τὸ δὲ λόγου μάλιστα ἄξιον ἱερὸν Δήμητρός 3
ἐστιν ἐπὶ τοῦ Πρῶνος. τοῦτο τὸ ἱερὸν Ἑρμιονεῖς μὲν Κλύμενον Φορωνέως παῖδα καὶ ἀδελφὴν Κλυμένου Χθονίαν τοὺς ἱδρυσαμένους φασὶν εἶναι. Ἀργεῖοι δὲ, ὅτε ἐς τὴν Ἀργολίδα ἦλθε Δημήτης, τότε Ἀθέραν μὲν λέγουσι καὶ Μυσίον ὡς ξενίαν παρασχόντας τῇ θεῷ, Κολόνταν δὲ [4]) οὔτε οἴκῳ δέξασθαι τὴν θεὸν, οὔτε ἀπονεῖμαί τι ἄλλο ἐς τιμήν· ταῦτα δὲ οὐ κατὰ γνώμην Χθονίᾳ τῇ θυγατρὶ ποιεῖν αὐτόν. Κολόνταν μὲν οὖν φασιν ἀντὶ τούτων συγκαταπρησθῆναι τῇ οἰκίᾳ, Χθονίαν δὲ κομισθεῖσαν ἐς Ἑρμιόνα ὑπὸ Δήμητρος Ἑρμιονεῦσι ποιῆσαι τὸ ἱερόν. Χθονία δ' οὖν ἡ θεός τε 4
αὕτη καλεῖται, καὶ Χθόνια ἑορτὴν [5]) κατὰ ἔτος ἄγουσι ὥρᾳ θέρους· ἄγουσι δὲ οὕτως. ἡγοῦνται μὲν αὐτοῖς τῆς πομπῆς οἵ τε ἱερεῖς τῶν θεῶν, καὶ ὅσοι τὰς ἐπετείους ἀρχὰς ἔχουσιν, ἕπονται δὲ καὶ γυναῖκες καὶ ἄνδρες· τοῖς δὲ καὶ παισὶν ἔτι οὖσι καθέσηκεν ἤδη

3) λέγουσιν ἀρχαίαν] Cod. Vind. dat ἔχουσιν ἀρχαίαν, et paullo infra pro ὑδρεύοιντο Cod. Vind. ὑδρεύοιεν, et Mosc. ὑδρεύωνται.

4) Κολόνταν δὲ] Uterque Codex hic et paullo infra Κολόντα habet.

5) ἡ θεός τε αὕτη καλ., καὶ Χθόνια ἑορτὴν etc.] Cod. V. haec paullo aliter exhibet: ἡ θεός τε καὶ αὐτὴ καλ., καὶ Χθονίαν ἑορτὴν etc. Mox pro αὐτοῖς τῆς πομπῆς idem Codex habet αὐτῆς τῆς πομπῆς.

τὴν θεὸν τιμᾶν τῇ πομπῇ· οὗτοι λευκὴν ἐσθῆτα καὶ ἐπὶ ταῖς κεφαλαῖς ἔχουσι στεφάνους. πλέκονται δὲ οἱ στέφανοι σφισιν ἐκ τοῦ ἄνθους, ὃ καλοῦσιν οἱ ταύτῃ Κομοσιύδαλον, ὑάκινθον, ἐμοὶ δοκεῖν, ὄντα καὶ μεγέθει καὶ χρόᾳ· ἔπεσι δέ οἱ καὶ τὰ ἐπὶ τῷ θρήνῳ γράμματα [6]). τοῖς δὲ τὴν πομπὴν πέμπουσιν ἕπονται θήλειαν ἐξ ἀγέλης βοῦν [7]) ἄγοντες διειλημμένην δεσμοῖς τε καὶ ὑβρίζουσαν ἔτι ὑπὸ ἀγριότητος. ἐλάσαντες δὲ πρὸς τὸν ναὸν, οἱ μὲν ἔσω φέρεσθαι τὴν βοῦν ἐς τὸ ἱερὸν ἀνῆκαν ἐκ τῶν δεσμῶν, ἕτεροι δὲ ἀναπεπταμένας ἔχοντες τέως τὰς θύρας, ἐπειδὰν τὴν βοῦν ἴδωσιν ἐντὸς τοῦ ναοῦ, προστίθεσαν τὰς θύρας· τεσσαρες δὲ ἔνδον ὑπολειπόμεναι γρᾶες αὗταί τὴν βοῦν εἰσιν αἱ κατεργαζόμεναι· δρεπάνῳ γὰρ, ἥτις ἂν τύχῃ, τὴν φάρυγγα ἀπέτεμε [8]) τῆς βοός. μετὰ δὲ αἱ θύραι τε ἠνοίχθησαν, καὶ προσελαύνουσιν, οἷς ἐπιτέτακται. βοῦν δὲ [9]) δευτέραν καὶ τρίτην, ἐπὶ ταύτῃ καὶ ἄλλην τετάρτην, κατεργάζονται τέλος πάσας κατὰ ταυτὰ αἱ γρᾶες. καὶ τότε ἄλλο πρόσκειται τῇ θυσίᾳ θαῦμα· ἐφ' ἣν τινα γὰρ πέσῃ τῶν πλευρῶν ἡ πρώτη βοῦς, ἀνάγκη πεσεῖν καὶ πάσας. θυσία μὲν δρᾶται τοῖς Ἑρμιονεῦσι τὸν εἰρημένον τρόπον. πρὸ δὲ τοῦ ναοῦ γυναικῶν ἱερασαμένων τῇ Δήμητρι εἰκόνες ἑστήκασιν οὐ πολλαὶ, καὶ παρελθόντι ἔσω θρόνοι τέ εἰσιν, ἐφ' ὧν αἱ γρᾶες ἀναμένουσιν ἐσελασθῆναι [10]) καθ' ἑκάστην τῶν

6) τὰ ἐπὶ τῷ θρήνῳ γράμμ.] Vid. L. I. C. 35.

7) θήλειαν — βοῦν] *Ainaſ.*, qui vertit *eximias boves*, legiſſe videtur τελείαν.

8) ἀπέτεμε] In utroque Codice eſt ὑπέτεμε.

9) ἐπιτέτακται. βοῦν δὲ etc.] Mallem ſic interpungere et ſcribere: — ἐπιτέτακται, βοῦν τε — τετάρτην· κατεργάζονται etc. Pro ἐπὶ ταύτῃ uterque Codex habet ἐπὶ ταύτην, et τέλη pro vulgata τέλος.

10) ἐσελασθῆναι] Ex utroque Codice dedi pro vulgata ἐσιλασθῆναι.

τῶν βοῶν, καὶ ἀγάλματα οὐκ ἄγαν ἀρχαῖα, Ἀθηνᾶς καὶ Δημήτης. αὐτὸ δὲ, ὃ σέβουσιν ἐπὶ πλέον ἢ τἆλλα, ἐγὼ μὲν οὐκ εἶδον, οὐ μὴν οὐδὲ ἀνὴρ ἄλλος, οὔτε ξένος, οὔτε Ἑρμιονέων αὐτῶν· μόναι δὲ, ὁποῖόν τί ἐστιν, αἱ γρᾶες ἴσασιν. Ἔστι δὲ καὶ ἄλλος ναός· εἰκόνες δὲ περὶ πάντα ἑστήκασιν αὐτόν. οὗτος ὁ ναός ἐστιν ἀπαντικρὺ τοῦ τῆς Χθονίας, καλεῖται δὲ Κλυμένου, καὶ τῷ Κλυμένῳ θύουσιν ἐνταῦθα. Κλύμενον δὲ οὐκ ἄνδρα Ἀργεῖον ἐλθεῖν ἔγωγε ἐς Ἑρμιόνα ἡγοῦμαι. τοῦ θεοῦ δέ εἰσιν ἐπικλήσεις [11]), ὅν τινα ἔχει λόγος βασιλέα ὑπὸ γῆν εἶναι. παρὰ μὲν δὴ τοῦτόν ἐστιν ἄλλος ναὸς καὶ ἄγαλμα Ἄρεως. Τοῦ δὲ τῆς Χθονίας ἐστὶν ἱερὸν σὺν κατὰ τὴν δεξιὰν, Ἠχοῦς ὑπὸ τῶν ἐπιχωρίων καλουμένη [12]). Φθεγξαμένῳ δὲ ἀνδρὶ τὰ ὀλίγιστα ἐς τρεῖς ἀντιβοῆσαι πέφυκεν. Ὄπισθεν δὲ τοῦ ναοῦ τῆς Χθονίας χωρία ἐστὶν, ἃ καλοῦσιν Ἑρμιονεῖς τὸ μὲν Κλυμένου, τὸ δὲ Πλούτωνος, τὸ τρίτον δὲ αὐτῶν λίμνην Ἀχερουσίαν. περιείργεται μὲν δὴ πάντα θριγκοῖς [13]) λίθων, ἐν δὲ τῷ τοῦ Κλυμένου καὶ γῆς χάσμα· διὰ τούτου δὲ Ἡρακλῆς ἀνῆγε τοῦ ᾅδου τὸν κύνα κατὰ τὰ λεγόμενα ὑπὸ Ἑρμιονέων. Πρὸς δὲ τὴν πύλην, καθ' ἣν ὁδὸς εὐθεῖά ἐστιν ἄγουσα ἐπὶ Μάσητα [14]), Εἰληθυίας ἐστὶν ἐντὸς τοῦ τείχους ἱερόν.

ἄλλως

11) εἰσιν ἐπικλήσεις] Bene *Sylb.* emendat: ἐστιν ἐπίκλησις. *Clymenum* enim Plutonis cognomen esse, innuere vult Pausanias. De quo vid. Suid v. Κλύμ. et Heins. ad Ovid. Fast. VI. v. 757. Paullo ante pro ἐς Ἑρμιόνα uterque Cod. habet ἐπ' Ἑρμιόνα.

12) καλουμένη] Cod. Vind. dat ἐπικαλουμένη et mox pro ἐς τρεῖς *Sylb.* bene conjicit scribendum esse ἐς τρίς. Sic ἐς δὶς L. VII. C. 21. in fine et ἐς ἅπαξ interdum occurrit.

13) θριγκοῖς] In utroque Codice scribitur θριγγοῖς.

14) ἐπὶ Μάσητα] Vid. Steph. v. Μάσης, qui hunc Paus. locum excitat.

ἄλλως μὲν δὴ κατὰ ἡμέραν ἑκάστην καὶ θυσίαις καὶ θυμιάμασι μεγάλως τὴν θεὸν ἱλάσκονται, καὶ ἀναθήματα δίδοται πλεῖστα τῇ Εἰληθυίᾳ· τὸ δὲ ἄγαλμα οὐδενὶ, πλὴν εἰ μὴ ἄρα ταῖς ἱερείαις, ἔξιν ἰδεῖν.

CAPUT XXXVI.

De Halice urbe — monte Coccygio, antea Thornace — Maſete navali — Didymis — Aſine urbe, Aſinaeorum cum Argivis certamine et Aſines excidio — Lerna, ac fluviis Eraſino et Phrixo — loco, ubi Plutone rapta Proſerpina ad inferos deſcendiſſe fertur — monte et fluvio Pontino.

Κατὰ δὲ τὴν ἐπὶ Μάσητα εὐθεῖαν προελθοῦσιν ἑπτά που σταδίους καὶ ἐπ' ἀριστερὰ[1]) ἐκτραπεῖσιν, ἐφ' Ἁλίκην ἐστὶν ὁδός. ἡ δὲ Ἁλίκη τὰ μὲν ἐφ' ἡμῶν ἔστιν ἔρημος, ᾠκεῖτο δὲ καὶ αὖτη ποτέ· καὶ Ἁλικὸς λόγος ἐν σήλαις[2]) ἐστὶ ταῖς Ἐπιδαυρίων, αἱ τοῦ Ἀσκληπιοῦ τὰ ἰάματα ἐγγεγραμμένα ἔχουσιν. ἄλλο δὲ σύγ-
2 γραμμα οὐδὲν οἶδα ἀξιόχρεων, ἔνθα ἦ πόλεως Ἁλικῆς, ἢ ἀνδρῶν ἐστιν Ἁλικῶν μνήμη. Ἔστι δ' οὖν ὁδὸς καὶ ἐς ταύτην τοῦ τε Πρώνος μέση, καὶ τοῦ Θόρνακος καλουμένου[3]) τὸ ἀρχαῖον. ἀπὸ δὲ τῆς Διὸς ἐς κόκκυγα

1) ἐπ' ἀριστερὰ] Uterque Cod. ἐς ἀριστερὰ, et mox pro ἐφ' Ἁλίκην Cod. Vind dat ἐς Ἁλίκην.

2) Ἁλικὸς λόγος ἐν σήλαις etc.] *Narratio Halicenſis* ſeu de *Halicenſi quodam*. Palmer Exercit. p 379 temere Ἁλίκης λόγος emendandum cenſet. De pilis iſtis vid. ſupra C. 27.

3) νῦν τοῦ Θόρνακος καλουμ.] Cod. Vind. καὶ ἑτέρου τοῦ Θόρνακος καλ., et Cod Moſc. καὶ ὄρος ἑτέρου Θ. κ. Ex his vera lectio facile conſtitui poteſt, ita ſcilicet: καὶ ὄρους ἑτέρου Θ. κ. De monte Thornace vid. L. III. C. 10. 11. et Steph.

κυγα τὸν ὄρνιθα ἀλλαγῆς λεγομένης ἐνταῦθα γενέσθαι [4]) μετονομασθῆναι τὸ ὄρος φασίν. ἱερὰ δὲ καὶ ἐς τόδε ἐπὶ ἄκρων τῶν ὀρῶν, ἐπὶ μὲν τῷ Κοκκυγίῳ Διός, ἐν δὲ τῷ Πρῶνί ἐστιν Ἥρας. καὶ τοῦ τε Κοκκυγίου πρὸς τοῖς πέρασι ναός ἐστι, θύραι δὲ οὐκ ἐφεστήκασιν, οὐδὲ ὄροφον εἶχεν, οὐδέ οἱ τι ἐνῆν ἄγαλμα· εἶναι δὲ ἐλέγετο ὁ ναὸς Ἀπόλλωνος. Παρὰ δὲ αὐτὸν 3
ὁδός ἐστιν ἐπὶ Μάσητα τοῖς ἐκτραπεῖσιν ἐκ τῆς εὐθείας. Μάσητι δὲ οὔσῃ πόλει τὸ ἀρχαῖον, καθὰ καὶ Ὅμηρος [5]) ἐν Ἀργείων καταλόγῳ πεποίηκεν, ἐπινείῳ καθ' ἡμᾶς ἐχρῶντο Ἑρμιονεῖς. ἀπὸ Μάσητος δὲ ὁδὸς ἐν δεξιᾷ ἐστιν ἐπὶ ἄκραν καλουμένην Στρουθοῦντα. σάδιοι δὲ ἀπὸ τῆς ἄκρας ταύτης κατὰ τῶν ὀρῶν τὰς κορυφὰς πεντήκοντά εἰσι καὶ διακόσιοι, ἐπὶ Φιλανόριόν τε καλούμενον καὶ ἐπὶ Βολεούς [6]). οἱ δὲ Βολεοὶ οὗτοι λίθων εἰσὶ σωροὶ λογάδων. Χωρίον δὲ ἕτερον, ὃ Δι- 4
δύμους ὀνομάζουσι, σάδια εἴκοσιν αὐτόθεν ἀφέστηκεν. ἐνταῦθα ἔστι μὲν ἱερὸν Ἀπόλλωνος, ἔστι δὲ Ποσειδῶνος, ἐπὶ δὲ αὐτοῖς Δήμητρος. ἀγάλματα δὲ ὀρθὰ λίθου λευκοῦ. Τὸ δὲ ἐντεῦθέν ἐστιν Ἀργείων ἡ ποτὲ Ἀσίνη [7]) 5
καλουμένη, καὶ Ἀσίνης ἐστὶν ἐρείπια ἐπὶ θαλάσσῃ. Λακεδαιμονίων δὲ καὶ τοῦ βασιλέως Νικάνδρου τοῦ Χαρίλλου τοῦ Πολυδέκτου τοῦ Εὐνόμου τοῦ Πρυτάνιδος τοῦ Εὐρυπῶντος ἐς τὴν Ἀργολίδα ἐσβαλόντων στρατιᾷ,

4) ἀλλαγῆς λεγομένης ἐνταῦθα γενέσθαι] Cod. Vind. exhibet ἀλλαγῆς γενομένης ἐνταῦθα, omisso γενέσθαι, et Mosc. quoque γενομένης, sed retento γενέσθαι. Eandem fabulam tetigit Pausanias supra C. 17.

5) Ὅμηρος etc.] Vid. Il. B. v. 562.

6) Βολεούς] Uterque Codex Βολαίους, sed mox Βολεοί.

7) Ἀσίνη] Pro vulgata Ἀσίνα reposui ex utroque Codice, reliquis Pausaniae locis, Strabone L. VIII. p. 552. 573. et Stephano. Plura de Asine habet Pausan. L. IV. C. 34. Conf. L. III. C. 7. et Index.

στρατιᾷ, συνεσέβαλόν σφισιν οἱ Ἀσιναῖοι, καὶ ἐδήωσαν σὺν ἐκείνοις τῶν Ἀργείων τὴν γῆν. ὡς δὲ ὁ στόλος τῶν Λακεδαιμονίων ἀπῆλθεν οἴκαδε, στρατεύουσιν ἐπὶ τὴν Ἀσίνην οἱ Ἀργεῖοι, καὶ ὁ βασιλεὺς αὐτῶν Ἔρατός [8]). καὶ χρόνον μέν τινα ἀπὸ τοῦ τείχους ἠμύναντο οἱ Ἀσιναῖοι, καὶ ἀποκτείνουσιν ἄλλους τε καὶ Λυσίστρατον ἐν τοῖς δοκιμωτάτοις ὄντα Ἀργείων. ἁλισκομένου δὲ τοῦ τείχους, οὗτοι μὲν γυναῖκας ἐς τὰ πλοῖα ἐνθέμενοι καὶ παῖδας ἐκλείπουσι τὴν αὑτῶν· Ἀργεῖοι δὲ ἐς ἔδαφος καταβαλόντες τὴν Ἀσίνην, καὶ τὴν γῆν προσορισάμενοι τῇ σφετέρᾳ, Πυθαέως τε Ἀπόλλωνος ὑπελείποντο ἱερὸν (καὶ νῦν ἔτι δῆλόν ἐστι) καὶ τὸν Λυ-
6 σίστρατον πρὸς αὐτῷ θάπτουσιν. Ἀπέχει δὲ Ἀργείων τῆς πόλεως τεσσαράκοντα καὶ οὐ πλείω στάδια ἡ κατὰ Λέρναν θάλασσα [9]). κατιόντων δὲ ἐς Λέρναν, πρῶτον μὲν καθ' ὁδόν ἐστιν ὁ Ἐρασῖνος, ἐκδίδωσι δὲ ἐς τὸν Φρίξον· ὁ Φρίξος δὲ ἐς τὴν θάλασσαν τὴν μεταξὺ Τημενίου καὶ Λέρνης. ἀπὸ δὲ Ἐρασίνου τραπεῖσιν ἐς ἀριστερὰ σταδίους ὅσον ὀκτὼ, Διοσκούρων ἱερόν ἐστιν ἀνάκτων· πεποίηται δέ σφισι κατὰ ταυτὰ καὶ
7 ἐν τῇ πόλει τὰ ξόανα. Ἀναστρέψας δὲ ἐς τὴν εὐθεῖαν τόν τε Ἐρασῖνον διαβήσῃ, καὶ ἐπὶ τὸν Χειμαῤῥον ποταμὸν [10]) ἀφίξῃ. πλησίον δὲ αὐτοῦ περίβολός ἐστι λίθων,

8) Ἔρατός] Cod. Vindob. Ἄρατος, et Mosc. Ἐρατέος.

9) ἡ κατὰ Λέρναν θάλασσα] Vid. Strab. L. VIII. p. 566. et 570.

10) Χειμαῤῥον ποταμ.] Cod. Mosc. Χείμαρον. Variat scriptura; vid. Albert. ad Hesych. v. χίμαροι. Χειμαῤῥος vero hic nomen proprium esse videtur, et ita usurpari Suidas testatur h. v. Plura ejusmodi nomina appellativa, quae vim propriorum acceperunt, in Pausania obvia sunt, uti Πηγῶν, Λειμῶν, Ποταμοί etc.

λίθων, καὶ τὸν Πλούτωνα ἁρπάσαντα, ὡς λέγεται, κόρην τὴν Δήμητρος καταβῆναι ταύτῃ φασὶν ἐς τὴν ὑπόγεων νομιζομένην ἀρχήν [11]). ἡ δὲ Λέρνα ἐστὶν, ὡς καὶ τὰ πρότερα ἔχει μοι τοῦ λόγου, πρὸς θαλάσσῃ, καὶ τελετὴν Λερναῖα ἄγουσιν ἐνταῦθα Δήμητρι. Ἔστι 8
δὲ ἄλσος ἱερὸν, ἀρχόμενον μὲν ἀπὸ ὄρους, ὃ καλοῦσι Ποντῖνον. τὸ δὲ ὄρος ὁ Ποντῖνος οὐκ ἐᾷ τὸ ὕδωρ ἀπορρεῖν τὸ ἐκ τοῦ θεοῦ, ἀλλὰ ἐς αὐτὸ [12]) καταδέχεται. ῥεῖ δὲ καὶ ποταμὸς ἀπ' αὐτοῦ Ποντῖνος. καὶ ἐπὶ κορυφῇ τοῦ ὄρους ἱερόν τε Ἀθηνᾶς Σαΐτιδος [13]), ἐρείπια ἔτι μόνα, καὶ θεμέλια οἰκίας ἐστὶν Ἱπποµέδοντος, ὃς Πολυνείκει τῷ Οἰδίποδος τιμωρήσων ἦλθεν ἐς Θήβας.

11) Πλούτωνα — ἐς τὴν ὑπόγεων ν. ἀ.] Uterque Codex dat ὑπογαίων. Cum fabula ipsa quodammodo convenit Apollod. p. 16., et Strabo L. VIII. p. 573. apud Hermionenses ad inferos descensum perhiberi refert. Sed et alium locum, *Erineum* appellatum, in agro Eleusinio fuisse, ibique Plutonem rapta Proserpina in orcum descendisse, in Pausania relatum legimus L. I. C. 38.

12) ἐς αὐτὸ] *Sylb.* bene conjicit ἐς αὐτό.

13) Ἀθ. Σαΐτιδος] Forte ab Aegypti urbe *Saï* ita dicta, ubi Minervae magnifice exstructa propylaea fuere. Vid. Herodot. L. II. C. 175.

CAPUT

CAPUT XXXVII.

De luco platanis consito ad montem Pontinum et Amymone fluvio — signis et templis in hoc luco — Philammone initiorum Lernaeorum auctore — hydra Lernaea — lacu Alcyonia, ubi Bacchus ad inferos descendit, ejusque profunditate immensa.

Ἀπὸ δὴ τοῦ ὄρους τούτου τὸ ἄλσος ἀρχόμενον πλατάνων τὸ πολὺ ἐπὶ τὴν θάλασσαν καθήκει. ὅροι δὲ αὐτοῦ τῇ μὲν ποταμὸς ὁ Ποντῖνος, τῇ δὲ ἕτερος ποταμὸς, Ἀμυμώνη [1]) δὲ ἀπὸ τῆς Δαναοῦ θυγατρὸς
2 ὄνομα τῷ ποταμῷ. Ἐντὸς δὲ τοῦ ἄλσους ἀγάλματα ἔστι μὲν Δήμητρος Προσύμνης, ἔστι δὲ Διονύσου καὶ Δήμητρος καθήμενον ἄγαλμα οὐ μέγα. ταῦτα μὲν λίθου πεποιημένα. ἑτέρῳ δὲ ναῷ Διόνυσος Σαώτης καθήμενον ξόανον, καὶ Ἀφροδίτης ἄγαλμα ἐπὶ θαλάσσῃ [2]) λίθου. ἀναθεῖναι δὲ αὐτὸ τὰς θυγατέρας λέγουσι τὰς Δαναοῦ [3]), Δαναὸν δὲ αὐτὸ τὸ ἱερὸν ἐπὶ
3 Ποντίνῳ ποιῆσαι τῆς Ἀθηνᾶς. Κατασήσασθαι δὲ τῶν Λερναίων τὴν τελετὴν Φιλάμμωνά [4]) φασι. τὰ μὲν

1) Ἀμυμώνη] Hujus fontium quoque Apollodor. L. II. C. 5. 2. in fabula de hydra Lernaea mentionem facit.

2) Ἀφροδίτης ἄγ. ἐπὶ θαλάσσῃ] Ἀναδυομένη intelligenda, seu *marina*, de qua vid. Heyne V. C. *Antiquar. Auff.* p. 126. sq. 1. *St.* Sic *Mare Venerem parvulam sustinens* L. II. C. 1. et *Cupido Venerem e mari emergentem excipiens* L. V. C. 11.

3) τὰς θυγατέρας λ. τὰς Δαναοῦ] Cod. Vind. τὰς Δαναοῦ θυγατ. λ., et Cod. Mosc. τὰς θυγατέρας λ. τοῦ Δαναοῦ.

4) Φιλάμμωνά] In Cod. Vind. hic et paullo infra Φιλάμωνα, sed ab aliis constanter duplici μ scribitur. Fuit *Philammon* ex priscorum vatum numero tempore Orphei, Apollinis et Philonidis filius; vid. schol. ad Homeri Odyss. T. v. 432. Illum, non Orpheum, cum Argonautis profectum esse, ex Pherecyde

μὲν οὖν λεγόμενα ἐπὶ τοῖς δρωμένοις δῆλά ἐστιν οὐκ ὄντα ἀρχαῖα· ἃ δὲ ἤκουσα ἐπὶ τῇ καρδίᾳ γεγράφθαι τῇ πεποιημένῃ τοῦ ὀρειχάλκου [5]), οὐδὲ ταῦτα ὄντα Φιλάμμωνος Ἀρριφῶν εὗρε, τὸ μὲν ἀνέκαθεν Τρικωνιεὺς τῶν ἐν Αἰτωλίᾳ, τὰ δὲ ἐφ' ἡμῶν Λυκίων τοῖς μάλιστα ὁμοίως δόκιμος, δεινὸς δὲ ἐξευρεῖν, ἃ μή τις πρότερον εἶδεν, καὶ δὴ καὶ ταῦτα φωρᾶσαι· ἐπὶ τῷδε τὰ ἔπη, καὶ ὅσα οὐ μετὰ μέτρου μεμιγμένα ἦν τοῖς ἔπεσι, τὰ πάντα Δωριστὶ ἐπεποίητο [6]). πρὶν δὲ

cyde referunt schol. Apollonii L. I. v. 23. Ejus filius ex Argiope Nympha Thamyris fuit; vid. Paus. L. IV. C. 33., Apollodor. p. 91 et Suid. v. φιλ.

5) τοῦ ὀρειχάλκου] De hoc *metalli* genere vid. schol. Apollonii Rhodii L. IV. v. 973. et Vossii Etymolog. v. *Aurichalcum*.

6) οὐδὲ ταῦτα ὄντα φιλ. Ἀρριφῶν εὗρε, τὸ μὲν ἀνέκαθεν — Δωριστὶ ἐπεποίητο] Codex Vindob. pro εὗρε, τὸ μὲν ἀνέκ. male exhibet εὕρατο μὲν ἀνέκ., et Mosc. εὕρετο μὲν ἀνέκ. In Pausania enim aliquoties obvia sunt τὸ μὲν ἀνέκαθεν — τὰ δὲ ἐφ' ἡμῶν, *ab origine quidem* (*oriundus quidem*) — *nostra vero aetate*. Sic L. IX. C. 27. τὸ μὲν ἀνέκαθεν ἐξ Ἰωνίας — τὰ δὲ ἐφ' ἡμῶν τελοῦντες ἐς Ῥωμαίους. Pro Τρικωνιεὺς *Sylb.* scribendum censet Τριχωνιεὺς ex Stephano v. Τριχώνιον. Ceterum totum hunc locum prava distinctione luxatum et male versum recta interpunctione constitui, ut, quae Pausanias declarare voluerit, in promtu sit. Illa enim ita sunt interpretanda: *Quae vero cordi ex aurichalco fabricato inscripta audivi, ea non esse Philammonis, Arrhiphon deprehendit origine quidem Triconiensis ex Aetolia, nostra vero aetate Lyciorum ex spectatissimis, ac solers non solum ad ea excogitanda, quae nemo antea novit, sed ad id ipsum etiam deprehendendum. Hujus tempore versus, et quae soluta oratione versibus immista erant* (sc. in illo corde), *omnia Dorica dialecto conscripta fuere. — Philammonis vero aetate Dorienſium nomen nondum omnibus Graecis notum fuit.* Pro ἐπὶ τῷδε mallem scribere ἐπὶ τοῦδε, cum ἐπὶ ad *tempus, aetatem* declarandam semper fere genitivo jungatur, rarius dativo.

δὲ Ἡρακλείδας κατελθεῖν ἐς Πελοπόννησον, τὴν αὐτὴν ἠφίεσαν Ἀθηναίοις οἱ Ἀργεῖοι φωνήν· ἐπὶ δὲ Φιλάμμωνος οὐδὲ τὸ ὄνομα τῶν Δωριέων (ἐμοὶ δοκεῖν) ἐς ἅπαντας ἠκούετο Ἕλληνας. ταῦτα μὲν δὴ ἀπέ-
4 φαινεν οὕτως ἔχοντα. Τῆς δὲ Ἀμυμώνης πέφυκεν ἐπὶ τῇ πηγῇ πλάτανος· ὑπὸ ταύτῃ τὴν ὕδραν [7]) τραφῆναι τῇ πλατάνῳ φασίν. ἐγὼ δὲ τὸ θηρίον πείθομαι [8]) τοῦτο καὶ μεγέθει διενεγκεῖν ὑδρῶν ἄλλων, καὶ τὸν ἰὸν οὕτω δή τι ἔχειν ἀνίατον, ὡς τὸν Ἡρακλέα ἀπὸ τῆς χολῆς αὐτοῦ τὰς ἀκίδας φαρμακεῦσαι τῶν οἰστῶν. κεφαλὴν δὲ εἶχεν (ἐμοὶ δοκεῖν) μίαν, καὶ οὐ πλείονας. Πείσανδρος δὲ ὁ Καμιρεὺς [9]), ἵνα τὸ θηρίον τε δοκοίη φοβερώτερον, καὶ αὐτῷ γίγνηται ἡ ποίησις ἀξιοχρεως μᾶλλον, ἀντὶ τούτων τὰς κεφαλὰς
5 ἐποίησε τῇ ὕδρᾳ τὰς πολλάς. Εἶδον δὲ καὶ πηγὴν Ἀμφιαράου καλουμένην, καὶ τὴν Ἀλκυωνίαν [10]) λίμνην, δι' ἧς φασιν Ἀργεῖοι Διόνυσον εἰς τὸν ᾅδην ἐλθεῖν Σεμέλην ἀνάξοντα· τὴν δὲ ταύτῃ κάθοδον δεῖξαί οἱ Πόλυμνον [11]). τῇ δὲ Ἀλκυωνίᾳ πέρας τοῦ βάθους οὐκ

7) ὑπὸ ταύτῃ τὴν ὕδραν etc.] Uterque Codex habet ὑπὸ ταύτην. De hydra Lernaea conf. Apollodor. L. II. C. 5. 2. et ibi Heyne V. C.

8) πείθομαι] Pro vulgata πύθομαι restitui ex Cod. Vindob. et Mosc., nec non ex Amasaei interpretatione. *Sylb.* illud sagaciter jam odoratus erat.

9) Πείσανδρος δὲ ὁ Καμιρεὺς] In utroque Codice, uti et in Aldina, est Πίσανδρος. Illud *Sylb.* reposuit ex Suida v. Πείσανδρος et Stephano v. Κάμιρος. Pro Καμιρεὺς Cod. Vind. dat Καμαρεύς. Variat hoc nomen gentile, uti Stephan. testatur, ubi vid. Berkel. De Pisandro, poëta Rhodio, vidend. Suidas, qui multa de eo collegit, et Heyne V. C. ad Virgil. Aen. L. II. p. 233.

10) Ἀλκυωνίαν] *Sylb.* mavult Ἀλκυονίαν.

11) Πόλυμνον] *Clemens Alex.*, qui in *admonit. ad gentes* p. 22. de hac fabula prolixius agit, habet Πρόσυμναν.

НБ ОНУ імені І.МЕЧНИКОВА

οὐκ ἔστιν, οὐδέ τινα οἶδα ἄνθρωπον ἐς τὸ τέρμα αὐτῆς οὐδεμιᾷ μηχανῇ καθικέσθαι δυνηθέντα· ὅπου καὶ Νέρων σταδίων πολλῶν κάλως [12]) ποιησάμενος, καὶ συνάψας ἀλλήλους, ἀπαρτήσας δὲ καὶ μόλυβδον ἐπ' αὐτῶν, καὶ εἰ δή τι χρήσιμον ἄλλο ἐς τὴν πεῖραν, οὐδὲ οὗτος [13]) οὐδένα ἐξευρεῖν ἐδυνήθη ὅρον τοῦ βάθους. καὶ τόδε ἤκουσα ἄλλο. τὸ ὕδωρ τῆς λίμνης, ὡς ἰδόντα εἰκάσαι, γαληνόν ἐστι καὶ ἠρεμαῖον· παρεχόμενον δὲ ὄψιν τοιαύτην, διανήχεσθαι τολμήσαντα πάντα τινὰ καθέλκειν πέφυκε, καὶ ἐς βυθὸν ὑπολαβὸν ἀπήνεγκε. περίοδος δὲ τῆς λίμνης ἐστὶν οὐ πολλή, ἀλλὰ ὅσον γε σταδίου τρίτον· ἐπὶ δὲ τοῖς χείλεσιν αὐτῆς πόα καὶ σχοῖνοι πεφύκασι. τὰ δὲ ἐς αὐτὴν Διονύσου δρώμενα ἐν νυκτὶ [14]) κατὰ ἔτος ἕκαστον οὐχ ὅσιον ἐς ἅπαντας ἦν μοι γράψαι.

12) κάλως] Cod. Mosc. κάλους et Vind. mendose κάλλους. Mox pro ἀλλήλους uterque Codex bene exhibet ἀλλήλοις.

13) οὐδὲ οὗτος] *Sylb.* praefert οὐδὲ οὕτως.

14) τὰ — δρώμενα ἐν νυκτὶ] Tangit illa turpia Clemens Alex. adm. ad gent. p. 22.

CAPUT XXXVIII.

De Temenio, urbe Argivorum — urbe Nauplia et fonte Canatho — de asino palmitum amputationem monstrante — Genesio et Apobathmis — Thyrea, et pugna Argivorum cum Spartanis ibi commissa — Athene, Neri, Eva, vicis, et Polemocrate — monte Parnone et Tano fluvio.

Ἐκ Λέρνης δὲ ἰοῦσιν ἐς Τημένιον (τὸ δὲ Τημένιόν ἐστιν Ἀργείων, ὠνομάσθη δὲ ἀπὸ Τημένου τοῦ Ἀριστομάχου· καταλαβὼν γὰρ καὶ ἐχυρωσάμενος τὸ χωρίον ἐπολέμει σὺν τοῖς Δωριεῦσιν αὐτόθι τὸν πρὸς Τισαμενὸν καὶ Ἀχαιοὺς πόλεμον) ἐς τοῦτο οὖν τὸ Τημένιον ἰοῦσιν, ὅτε Φρίξος ποταμὸς ἐκδίδωσιν ἐς θάλασσαν, καὶ Ποσειδῶνος ἱερὸν ἐν Τημενίῳ πεποίηται καὶ Ἀφροδίτης ἕτερον, καὶ μνῆμά ἐστι Τημένου [1]), τιμὰς ἔχον παρὰ
2 Δωριέων τῶν ἐν Ἄργει. Τημενίου δὲ ἀπέχει Ναυπλία πεντήκοντα (ἐμοὶ δοκεῖν) σταδίους, τὰ μὲν ἐφ' ἡμῶν ἔρημος· οἰκιστὴς δὲ ἐγένετο αὐτῆς Ναύπλιος Ποσειδῶνος λέγομενος καὶ Ἀμυμώνης εἶναι [2]). λείπεται δὲ καὶ τειχῶν ἔτι ἐρείπια, καὶ Ποσειδῶνος ἱερὸν καὶ λιμένες εἰσὶν ἐν Ναυπλίᾳ, καὶ πηγὴ Κάναθος καλουμένη. ἐνταῦθα τὴν Ἥραν φασὶν Ἀργεῖοι κατὰ ἔτος λουμένην [3]) παρθένον γίνεσθαι. οὗτος μὲν δή σφισιν ἐκ τελετῆς, ἣν ἄγουσι τῇ Ἥρᾳ, λόγος τῶν ἀπορρήτων
3 ἐστίν. Τὰ δὲ ὑπὸ τῶν ἐν Ναυπλίᾳ λεγόμενα ἐς τὸν ὄνον, ὡς

1) μνῆμά ἐστι Τημένου] Temenum ibi sepultum refert quoque Strabo L. VIII. p. 566.

2) Ἀμυμ. εἶναι] Abest εἶναι in Cod. Mosc. Paullo infra post ἱερὸν Cod. Vind. inserit ἐστί. De Nauplia, Argivorum navali, vid. Strab. L. VIII. p. 566. et Steph.

3) λουμένην] Cod. Vind. λουμένην, quod et Camerar. probaverat.

ὡς ἐπιφαγὼν ἀμπέλου κλῆμα ἀφθονώτερον ἐς τὸ μέλλον ἀπέφηνε τὸν καρπόν, καὶ ὄνος σφίσιν ἐν πέτρᾳ πεποιημένος διὰ τοῦτό ἐστιν, ἅτε ἀμπέλων διδάξας τομήν, παρίημι οὐκ ἀξιόλογα ἡγούμενος. Ἔστι δὲ ἐκ 4
Λέρνης καὶ ἑτέρα παρ' αὐτὴν ὁδὸς τὴν θάλασσαν ἐπὶ χωρίον, ὃ Γενέσιον ὀνομάζουσι. πρὸς θαλάσσῃ δὲ τοῦ Γενεσίου Ποσειδῶνος ἱερόν ἐστιν οὐ μέγα. τούτου δ' ἔχεται χωρίον ἄλλο Ἀπόβαθμοι· γῆς δὲ ἐνταῦθα πρῶτον τῆς Ἀργολίδος Δαναὸν σὺν τοῖς παισὶν ἀποβῆναι λέγουσιν. ἐντεῦθεν διελθοῦσιν Ἀνιγραῖα καλούμενα ὁδὸν καὶ σενὴν καὶ ἄλλως δύσβατόν ἐστιν ἐν ἀριστερᾷ μὲν καθήκουσα ἐπὶ θάλασσαν, καὶ δένδρα, ἐλαίας μάλιστα, ἀγαθὴ τρέφειν γῆ. Ἰόντι δὲ ἄνω 5
πρὸς τὴν ἤπειρον, Θυρέα a) χωρίον ἐστίν, ἔνθα δὴ ἐμαχέσαντο ὑπὲρ τῆς γῆς ταύτης λογάδες Ἀργείων τριακόσιοι πρὸς ἄνδρας Λακεδαιμονίων ἀριθμόν τε ἴσους καὶ ἐπιλέκτους ὁμοίως. ἀποθανόντων δὲ ἁπάντων πλὴν ἑνὸς Σπαρτιάτου καὶ δυοῖν Ἀργείων, τοῖς μὲν ἀποθανοῦσιν ἐχώσθησαν ἐνταῦθα οἱ τάφοι· τὴν χώραν δὲ οἱ Λακεδαιμόνιοι, γενομένου παυδημεὶ σφίσιν ἀγῶνος πρὸς Ἀργείους, κρατήσαντες βεβαίως αὐτοί τε παραυτίκα ἐκαρποῦντο, καὶ ὕστερον Αἰγινήταις ἔδωκαν ἐκπεσοῦσιν ὑπὸ Ἀθηναίων ἐκ τῆς νήσου. τὰ δὲ ἐπ' ἐμοῦ τὴν Θυρεᾶτιν ἐνέμοντο Ἀργεῖοι· φασὶ δὲ ἀνασώσασθαι δίκῃ νικήσαντες. Ἀπὸ δὲ τῶν πολυανδρίων 6
ἰόντι, Ἀθήνη τε ἐστὶν, ἐς ἣν Αἰγινῆταί ποτε ᾤκησαν,

καὶ

4) Ἰόντι — Θυρέα etc.] Uterque Codex Ἰόντα et omisso Θυρέα ejus loco dat αὐτῆς. Accusativus sic absolute positus rarius in Pausania reperitur; αὐτῆς vero, si ad praecedens γῆ revoces, quodammodo locum habere, Θυρέα tamen vix abesse potest. De pugna, quae hic memoratur, vid. not. ad C. 19. hujus libri, cui add. Strab. L. VIII. p. 578.

καὶ ἑτέρα κώμη Νηρὶς, τρίτη δὲ Εὔα [5]), μεγίστη τῶν κωμῶν, καὶ ἱερὸν Πολεμοκράτους [6]) ἐστὶν ἐν ταύτῃ. ὁ δὲ Πολεμοκράτης ἔστι καὶ οὗτος Μαχάονος υἱὸς, ἀδελφὸς δὲ Ἀλεξάνορος, καὶ ἴαται τοὺς ταύτῃ, καὶ τιμὰς
7 παρὰ τῶν προσοίκων ἔχει. Ἀνατείνει δὲ ὑπὲρ τὰς κώμας ὄρος, παρ' ὃ καὶ Λακεδαιμονίων [7]) ἐπ' αὐτοῦ πρὸς Ἀργείους ὅροι καὶ Τεγεάτας εἰσίν· ἑστήκασι δὲ ἐπὶ τοῖς ὅροις Ἑρμαῖ λίθου, καὶ τοῦ χωρίου τὸ ὄνομα. ἔστι δὲ ἀπ' αὐτῶν [8]) ποταμὸς καλούμενος Τάνος. εἰς γὰρ δὴ οὗτος ἐκ τοῦ Πάρνωνος κάτεισι ῥέων διὰ τῆς Ἀργείας, καὶ ἐκδίδωσιν ἐς τὸν Θυρεάτην κόλπον.

5) Εὔα] Stephan urbem Arcadiae hujus nominis habet, ubi vid. Berkel.

6) ἱερὸν Πολεμοκράτους] Uterque Cod. ἱερὸν τοῦ Πολεμ.

7) ὄρος, παρ' ὃ κὴ Λακ. etc.] Voculas παρ' ὃ corruptas esse et in iis nomen montis latere, haud temere ex subsequentibus ἐπ' αὐτοῦ colligere possis, quae aliter superflua essent. Quum montem Parthenium fines Argivorum et Tegeatarum disterminare ex Paus. L. VIII. C. 54. in fine constet, inde παρ' ὃ in Παρθένιον mutandum esse aliquis putet; sed obstat quod Pausan. de terminis hic loquitur, qui Spartanos ab Argivis et Tegeatis secernunt. Jam quum statim infra mons *Parnon* memoretur, cum *Sylburgio* hoc nomen hic restituendum et scribendum esse videtur: — ὄρος Πάρνων, κὴ Λακ. Libri scripti collati vulgatam exhibent, et *Amas.* vertit: *mons est, in quo* etc.

8) κὴ τοῦ χωρίου τὸ ὄνομα, ἔστι δὲ ἀπ' αὐτῶν etc.] Sequentis Libri initium declarat, hunc locum Ἑρμαῖ dictum fuisse. Quare *Sylb.* haud absurde emendat: κὴ τοῦτο χωρίου τὸ ὄνομα. At sequentia ἀπ' αὐτῶν pro *post*, *infra illas* (sc. Hermas) durius mihi dicta esse videntur. Quare aliter interpungere et sic corrigere mallem: κὴ τοῦ χωρίου τὸ ὄνομά ἐστι ἀπ' αὐτῶν. ἔστι δὲ ποταμὸς κ. τ.

ΠΑΥΣΑΝΙΟΥ

ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΕΩΣ

ΛΑΚΩΝΙΚΑ.

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

LACONICA SEU LIB. III.

CAPUT I.

De Lelege, rege Spartanorum indigena, et reliquis priscae aetatis regibus Laced. — Eurota — Lacedaemone et Sparta — Tyndareo ejusque propinquis regnum Laced. obtinentibus — duplicis regiae domus apud Laced. origine et Ariſtodemi morte — de Ariſtodemi filiis, Procle et Euryſthene, ac Thera eorum tutore — colonia in inſulam Theram deducta.

Μετὰ δὲ τοὺς Ἑρμᾶς ἐστιν ἡ Λακωνικὴ τὰ πρὸς ἑσπέρας [1]). ὡς δὲ αὐτοὶ Λακεδαιμόνιοι λέγουσι, Λέλεξ αὐτόχθων ὢν [2]) ἐβασίλευσε πρῶτος ἐν τῇ γῇ ταύτῃ, καὶ ἀπὸ τούτου Λέλεγες, ὧν ἦρχεν, ὠνομάσθησαν. Λέλεγος δὲ γίνεται Μύλης, καὶ νεώτερος Πολυκάων [3]). Πολυκάων μὲν δὴ ὅποι καὶ δι' ἥντινα αἰτίαν ἀπεχώρησεν, ἑτέρωθι δηλώσω [4]). Μύλητος δὲ

1) τὰ πρὸς ἑσπέρας] Cod. Vind. τὰ πρὸς ἑσπέραν.

2) Λέλεξ αὐτόχθ. ὢν] De hoc et ſequentibus vid. Apollodor. III. 10. 3. et ſchol. Eurip. Oreſt. v. 626. De alio Lelege quae Megarenſes narrant, legimus in Pauſ. L. I. C. 39. in fine.

3) Πολυκάων] Ex hoc loco corrigenda videntur ſchol. ad Euripid. Oreſt. v. 626., quae habent Πολύκλων.

4) ἑτέρωθι δηλώσω] Vid. L. IV. C. 1. ab initio.

δὲ τελευτήσαντος, παρέλαβεν ὁ παῖς Εὐρώτας τὴν ἀρχήν. οὗτος τὸ ὕδωρ τὸ λιμνάζον ἐν τῷ πεδίῳ διώρυγι κατήγαγεν ἐπὶ θάλασσαν· ἀπορρύεντος δὲ (ἦν γὰρ δὴ τὸ [5]) ὑπόλοιπον ποταμοῦ ῥεῦμα) ὠνόμασεν Εὐρώταν. ἅτε δὲ οὐκ ὄντων αὐτῷ παίδων ἀῤῥένων, βασιλεύειν καταλείπει Λακεδαίμονα, μητρὸς μὲν Ταϋγέτης [6] ὄντα, ἀφ' ἧς καὶ τὸ ὄρος ὠνομάσθη, ἐς Δία
3 δὲ πατέρα ἀνήκοντα κατὰ τὴν Φήμην. Συνῴκει δὲ ὁ Λακεδαίμων Σπάρτῃ θυγατρὶ τοῦ Εὐρώτα. τότε δὲ, ὡς ἔσχε τὴν ἀρχὴν, πρῶτον [7]) μὲν τῇ χώρᾳ καὶ τοῖς ἀνθρώποις μετέθετο ἀφ' αὑτοῦ τὰ ὀνόματα. μετὰ δὲ τοῦτο ᾤκησέ τε καὶ ὠνόμασεν ἀπὸ τῆς γυναικὸς πόλιν, ἣ Σπάρτη καλεῖται καὶ ἐς ἡμᾶς. Ἀμύκλας δὲ ὁ Λακεδαίμονος, βουλόμενος ὑπολιπέσθαι τι καὶ αὐτὸς ἐς μνήμην, πόλισμα ἔκτισεν ἐν τῇ Λακωνικῇ. γενομένων δέ οἱ παίδων, Ὑακινθον μὲν νεώτατον ὄντα καὶ τὸ εἶδος κάλλιστον κατέλαβεν ἡ πεπρωμένη πρότερον τοῦ πατρός. καὶ Ὑακίνθου μνῆμά [8]) ἐστιν ἐν Ἀμύκλαις ὑπὸ τὸ ἄγαλμα τοῦ Ἀπόλλωνος. ἀποθανόντος δὲ Ἀμύκλα, ἐς Ἄργαλον τὸν πρεσβύτατον τῶν Ἀμύκλα παίδων, καὶ ὕστερον ἐς Κυνόρταν, Ἀργάλου τελευτήσαντος, ἀφίκετο ἡ ἀρχή. Κυνόρτα δὲ
4 ἐγένετο Οἴβαλος. Οὗτος ΓοργοΦόνην τε τὴν Περσέως γυναῖκα ἔσχεν ἐξ Ἄργους, καὶ παῖδα ἔσχε Τυνδάρεων,

5) δὴ τὸ] *Sylb.* praefert δή τι.

6) Ταϋγέτης] *Hartung.* sic recte emendavit pro vulgata ταύτης, quod in Ald. cod. reperit; in duobus Codd. Vindob. quoque est ταύτης, in Mosc. vero Ταϋγέτης.

7) πρῶτον] Alter Codd. Vind. et Mosc. dant πρῶτα. Mox pro ᾤκησε alter Codd. Vindob. exhibet ᾤκισε, sicuti et *Amas.* legit, vertens *condidit.* Quae vera lectio esse videtur.

8) καὶ Ὑακίνθου μνῆμά etc.] Vid. L. III. C. 19. De hoc et altero Hyacintho vid. Heyne V. C. ad Apoll. p. 34. 35.

ρεων, ὧ περὶ τῆς βασιλείας Ἱπποκόων ἠμφισβήτει, καὶ κατὰ πρεσβείαν [9]) ἔχειν ἠξίου τὴν ἀρχήν. προσλαβὼν δὲ Ἰκάριον [10]) καὶ τοὺς ϛασιώτας παρὰ πολύ τε ὑπερεβάλετο δυνάμει Τυνδάρεων, καὶ ἠνάγκασεν ἀποχωρῆσαι δείσαντα, ὡς μὲν Λακεδαιμόνιοί φασιν, ἐς Πελλάναν· Μεσσηνίων δέ ἐϛιν ἐς αὐτὸν λόγος, Τυνδάρεων φεύγοντα ἐλθεῖν ὡς Ἀφαρέα ἐς τὴν Μεσσηνίαν, εἶναί τε Ἀφαρέα τὸν Περιήρους, ἀδελφὸν Τυνδάρεῳ πρὸς μητρός· καὶ οἰκῆσαί τε αὐτὸν τῆς Μεσσηνίας φασὶν ἐν Θαλάμαις, καὶ τοὺς παῖδας ἐνταῦθα οἰκοῦντι αὐτῷ γενέσθαι. χρόνῳ δὲ ὕϛερον κατῆλθέ τε ὑπὸ Ἡρακλέους Τυνδάρεως, καὶ ἀνενεώσατο τὴν ἀρχήν· ἐβασίλευσαν δὲ καὶ οἱ Τυνδάρεω παῖδες, καὶ Μενέλαος [11]) ὁ Ἀτρέως, Τυνδάρεω γαμβρὸς ὤν, Ὀρέϛης τε Ἑρμιόνῃ τῇ Μενελάου συνοικῶν. κατελθόντων δὲ Ἡρακλειδῶν ἐπὶ Τισαμενοῦ τοῦ Ὀρέϛου βασιλεύοντος, Μεσσήνη μὲν καὶ Ἄργος, ἑκατέρα μοῖρα [12]) Τήμενον, ἡ δὲ Κρεσφόντην ἔσχεν ἄρχοντας. Ἐν Λακεδαιμονίᾳ δὲ ὄντων διδύμων τῶν Ἀριϛοδήμου παίδων, οἰκίαι δύο βασίλειαι [13]) γίνονται· συναρέσαι γὰρ τῇ Πυθίᾳ φασὶν Ἀριϛοδήμῳ δὲ αὐτῷ πρότερον

9) κατὰ πρεσβείαν] h. e. κατὰ πρεσβυγένειαν, uti apud Herodot. eſt Erat. ſ. 51. Eodem ſignificatu πρεσβεία eſt L. III. C. 3. in fine.

10) προσλαβὼν δὲ Ἰκάριον etc.] Apollodor. III. 10. 5. et Strabo L. X. p. 708. discedunt a Pauſania, Icarium et Tyndareum ab Hippocoonte ejectos eſſe et apud Theſtium exulaſſe narrantes. Apollodorus l. c. pro Ἰκάριον habet Ἰκαρίωνα.

11) Μενέλαος] Ex Cod. Moſc. et vulgari ſcriptura pro vulgato Μενέλεως.

12) ἑκατέρα μοῖρα] *altera partio etc.* Sed mallem μοῖρα — ἔσχεν, *altera ſortitione — accepit.* Hanc ſortitionem prolixius refert Pauſan. L. IV. C. 3. et Apollod. II. 7. 4.

13) βασίλειαι] *Sylb.* bene emendat βασίλειοι.

ρον τὴν τελευτὴν συμβῆναι λέγουσιν ἐν Δελφοῖς, πρὶν ἢ Δωριέας κατελθεῖν ἐς Πελοπόννησον. οἱ μὲν δὴ ἀποσεμυύνοντες τὰ ἐς αὐτὸν τοξευθῆναι λέγουσιν Ἀριστόδημον ὑπὸ Ἀπόλλωνος, ὅτι οὐκ ἀφίκοιτο ἐπὶ τὸ μαντεῖον, παρὰ δὲ Ἡρακλείους ἐντυχόντος οἱ πρότερον πύθοιτο, ὡς ἐς Πελοπόννησον Δωριεῦσι γενήσεται ἥδε ἡ κάθοδος. ὁ δὲ ἀληθέστερος ἔχει λόγος, Πυλάδου τοὺς παῖδας καὶ Ἠλέκτρας, ἀνεψιοὺς ὄντας Τισαμε-
6 νῷ τῷ Ὀρέστου, φονεῦσαι τὸν Ἀριστόδημον. Ὀνόματα μὲν δὴ τοῖς παισὶν αὐτοῦ Προκλῆς καὶ Εὐρυσθένης ἐτέθη· δίδυμοι δὲ ὄντες διάφοροι τὰ μάλιστα ἦσαν. προελήλυθότες δὲ ἐπὶ μέγα ἀπεχθείας, ὅμως ἐν κοινῷ Θήρᾳ τῷ Αὐτεσίωνος [14]) ἀδελφῷ τῆς μητρὸς σφῶν ὄντι Ἀργείας, ἐπιτροπεύσαντι δὲ καὶ αὐτῶν,
7 συνήραντο ἐς ἀποικίαν. Τὴν δὲ ἀποικίαν ὁ Θήρας ἔστελλεν ἐς τὴν νῆσον, τὴν τότε ὀνομαζομένην Καλλίστην [15]), τοὺς ἀπογόνους οἱ τοῦ Μεμβλιάρου παραχωρήσεσθαι τῆς βασιλείας ἐλπίζων ἑκόντας. ὅπερ οὖν καὶ ἐποίησαν, λαβόντες λογισμὸν, ὅτι Θήρα μὲν ἐς αὐτὸν ἀνήκει Κάδμου τὸ γένος, οἱ δὲ ἦσαν ἀπόγονοι Μεμβλιάρου. Μεμβλίαρον δὲ ἄνδρα ὄντα τοῦ δήμου Κάδμος ἐν τῇ νήσῳ κατέλιπεν ἡγεμόνα εἶναι τῶν ἐποίκων. καὶ Θήρας

14) Θήρᾳ τῷ Αὐτεσίωνος] Quod vulgatum fuit ἀπὸ Ἴωνος, in stemmate Therae locum habere non poterat. Theram enim *Autesionis* filium fuisse, ex Paus. L. III. C. 15. L. IV. C. 3., Herodot. L. IV. s. 147., schol. ad Apollon. L. IV. v. 1763. aliisque satis liquet. Quare nomen illud restitui ex doctissimorum virorum conjecturis, *Palmerii* Exercit. p. 379., *Kuhnii* ad Paus. L. III. C. 15. et *Valkenar.* ad Herodot. L. IV. s. 147., qui locus etiam ad rem ipsam videndus.

15) Καλλίστην] Vid. Herodot. l. c. et Paus. L. III. C. 15. Mox pro Μεμβλιάρου Ald. et schol. Pind. Pyth. IV. habent Μεμβριάρου.

ρας μὲν τῇ τε νήσῳ μετέβαλεν ἀφ' ἑαυτοῦ τὸ ὄνομα, καί οἱ καὶ νῦν ἔτι οἱ Θηραῖοι κατὰ ἔτος ἐναγίζουσιν ὡς οἰκιστῇ. Προκλεῖ δὲ καὶ Εὐρυσθένει, μέχρι μὲν τῆς προθυμίας τῆς ἐς τὸν Θήραν, ἐς τὸ αὐτὸ συνῆλθον αἱ γνῶμαι. τὰ δὲ λοιπὰ διειςήκει σφίσιν ἐπὶ πάντα τὰ βουλεύματα. οὐ μὴν οὐδὲ ὁμονοησάντων τοὺς ἀπογόνους αὐτῶν ἐς κοινὸν κατάλογον ὑπάξειν ἔμελλον· οὐ γάρ τι [16]) τὰ πάντα ἐς τὸ αὐτὸ συνεληλύθασιν ἡλικίας, ὡς ἀνεψιόν τε ἀνεψιῷ καὶ ἀνεψιῶν παῖδας, ὡσαύτως δὲ καὶ τοὺς κατωτέρω κατὰ ἀριθμὸν τυχεῖν ἀλλήλοις [17]) γεγονότας τὸν ἴσον. ἑκατέραν οὖν τὴν οἰκίαν ἐπέξειμι αὐτῶν ἰδίως, καὶ οὐκ ἀμφοτέρας ἅμα ἐς τὸ αὐτὸ ἀναμίξας.

CAPUT II.

De Eurysthenis domo et Agidis — Echestrato regnante Lacedaemonii ejiciunt Cynurenses — Labota regnante primum bellum Argivis inferunt — de Lycurgo et Minoë legislatoribus — Lacedaemonii Archelao regnante Aegyn urbem subigunt — Teleclo regnante finitimas urbes Pharin, Amyclan et Geranthras expugnant — Alcamene regnante Charmidam in Cretam mittunt, urbem Helos evertunt et Argivos vincunt.

Εὐρυσθένει πρεσβυτέρῳ τῶν Ἀριστοδήμου παίδων ὄντι ἡλικίαν γενέσθαι λέγουσιν υἱὸν Ἄγιν. ἀπὸ τούτου δὲ τὸ γένος τὸ Εὐρυσθένους καλοῦσιν Ἀγίδας [1]). ἐπὶ τούτου

16) οὐ γάρ τι] *Sylb.* mavult οὐ γάρ τοι.

17) ἀλλήλοις] Alter ex duob. Codd. Vindob. et Cod. Mosc. bene exhibent ἀλλήλους.

1) Ἀγίδας] Eorum seriem usque ad Leonidam vid. in Herod. L. VII. s. 204 Variat hoc nomen etiam in Pausania, Ἀγίδαι et Ἀγιάδαι. vid. C. 14.

τούτου Πατρεῖ τῷ Πρευγένους [2]) κτίζοντι ἐν Ἀχαΐᾳ πόλιν, ἥντινα Πάτρας καὶ ἐς ἡμᾶς καλοῦσιν ἀπὸ τοῦ Πατρέως τούτου, συνεπελάβοντο Λακεδαιμόνιοι τοῦ οἰκισμοῦ. συνήραντο δὲ καὶ Γραΐδι τῷ Ἐχελάτου [3]) τοῦ Πενθίλου τοῦ Ὀρέστου, στελλομένῳ ναυσὶν ἐς ἀποικίαν. καὶ ὁ μὲν τὴν τῆς Ἰωνίας μεταξὺ καὶ Μυσῶν, καλουμένην δὲ Αἰολίδα ἐφ' ἡμῶν, καθέξειν ἔμελλεν· ὁ δέ οἱ πρόγονος Πενθίλος Λέσβου τὴν ὑπὲρ
2 τῆς ἠπείρου ταύτης νῆσον εἶλεν ἔτι πρότερον. Ἐπὶ δὲ Ἐχεστράτου τοῦ Ἀγιδος βασιλεύοντος ἐν Σπάρτῃ Κυνουρέας τοὺς ἐν τῇ ἡλικίᾳ Λακεδαιμόνιοι ποιοῦσιν ἀνάστατους, αἰτίαν ἐπενεγκόντες, ὡς τὴν Ἀργολίδα, συγγενῶν σφίσιν ὄντων Ἀργείων, λῃσαί τε ἐκ τῆς Κυνουριακῆς [4]) κακουργοῖεν, καὶ αὐτοὶ καταδρομὰς ἐκ τοῦ Φανεροῦ ποιοῖντο ἐς τὴν γῆν. λέγονται δὲ οἱ Κυνουρεῖς Ἀργεῖοι τὸ ἀνέκαθεν εἶναι, καὶ οἰκισθῆν φασιν αὐ-
3 τῶν [5]) Κύνουρον γενέσθαι τὸν Περσέως. Ἔτεσι δὲ ὕστερον οὐ πολλοῖς Λαβώτας ὁ Ἐχεστράτου τὴν ἀρχὴν ἔσχεν

2) Πατρεῖ τῷ Πρευγένους etc.] Conf. Paus. L. VII. C. 6. 18. 20. Quo autem vario modo compendia scribendi mendis locum dederint, utriusque Codicis Vindob. lectio rei criticae studiosis hic demonstret. Alter eorum dat περὶ τῷ Πρευγ., alter vero Πρείτῳ τῷ Πρευγ.

3) Γραΐδι τῷ Ἐχελάτου] Pro Γραΐδι scribendum esse Γρᾷ a nominativo Γρᾶς, primum Casaub. in comment. in Athen. L. XI. C. 3. in fine demonstravit, cui alii viri docti jure assenserunt. Optime vero illam emendationem firmavit Palmer. Exerc. p. 380. ex schol. Lycophr. Alex. v. 1374. Locus classicus de re ipsa est in Strab. L. XIII. p. 872. 873., ubi Γρᾶν pro Γρᾶν et pro Ἐχέλατος est Ἀρχέλαος.

4) Κυνουριακῆς] Paullo infra est Κυνουρικὴν, et ita Stephan. v. Κίνουρα. Forte utraque vocis forma usu recepta fuit; id quod ex similibus apparet, Ὀλυμπιακὸς et Ὀλυμπικὸς, Μεσσηνιακὸς et Μεσσηνικός etc.

5) φασιν αὐτῶν] Recepi αὐτῶν pro vulgata αὐτὸν ex Codice Mosc., adstipulante *Sylburgii* conjectura.

ἔσχεν ἐν Σπάρτῃ. τοῦτον τὸν Λαβώταν Ἡρόδοτος ἐν τῷ λόγῳ [6]) τῷ ἐς Κροῖσον ὑπὸ Λυκούργου τοῦ θεμένου τοὺς νόμους φησὶν ἐπιτροπευθῆναι παῖδα ὄντα, Λεωβότην δέ οἱ τίθεται τὸ ὄνομα καὶ οὐ Λαβώταν. Λακεδαιμονίοις δὲ πρῶτον τότε ἔδοξεν ἄρασθαι πρὸς Ἀργείους πόλεμον. ἐποιοῦντο δὲ ἐς αὐτοὺς ἐγκλήματα, τήν τε Κυνουρικὴν ἑλόντων αὐτῶν, ἀποτέμνεσθαι τοὺς Ἀργείους, καὶ τοὺς περιοίκους σφῶν ὑπηκόους ὄντας ἀφισάναι. τότε μὲν δὴ παρὰ οὐδετέρων πολέμησάντων ὅμως μνήμης ἄξιον πραχθῆναί φασιν οὐδέν. Τοὺς δὲ ἐφεξῆς βασιλεύσαντας τῆς οἰκίας ταύτης Δόρυσσον τὸν Λαβώτα καὶ Ἀγησίλαον Δορύσσου [7]) δι' ὀλίγου σφᾶς τὸ χρεὼν ἐπέλαβεν ἀμφοτέρους. Ἔθηκε 4
δὲ καὶ Λυκοῦργος Λακεδαιμονίοις τοὺς νόμους ἐπὶ τῆς Ἀγησιλάου βασιλείας [8]). Θεῖναι δὲ αὐτὸν λέγουσιν, οἱ μὲν παρὰ τῆς Πυθίας διδαχθέντα ὑπὲρ αὐτῶν,

6) Ἡρόδοτος ἐν τ. λ.] Vid. Herodot. L. I. ſ. 65., ubi de difficultate, qua iſta Herodoti laborant, videndus eſt Weſſeling. in not.

7) Δορύσσου] Clem. Alex., qui Strom. L. I. p. 327. A. habet Ἀγησιλάου τοῦ Δορυσσαίου, ex Pauſania et aliis corrigendus. Paullo poſt pro τὸ χρεὼν uterque Cod. dat τότε χρεών.

8) Ἔθηκε — Λυκοῦργος — βασιλείας] De difficultate in Lycurgi legislatoris aetate accurate conſtituenda vid. Plutarch. Lycurg. ſ. 1., Palmer. Exercit. p. 380. et Weſſeling. ad Herodot. L. I. ſ. 65. Ageſilao regnante Lycurgum juvenem fuiſſe, Clem. Alex. Strom. L. I. p. 327. ex Apollodoro refert. Clementis varia de Homeri aetate relata in medium proferentis verba huc adponam: Ἀπολλόδωρος δὲ μετὰ ἔτη ἑκατὸν τῆς Ἰωνικῆς ἀποικίας, Ἀγησιλάου τοῦ Δορυσσαίου Λακεδαιμονίων βασιλεύοντος· ὥσε ἐπιβαλεῖν αὐτῷ Λυκοῦργον τὸν νομοθέτην, ἔτι νέον ὄντα. Poſtrema interpres male reddidit: *adeo ut ad eum pervenerit Lycurgus legislator, cum adhuc* etc. Potius enim interpretanda ſunt: *ita ut in Homeri* (αὐτῷ) *tempus inciderit Lycurgus legislator adhuc juvenis.* Ἐπιβάλλειν τινὶ eſt *convenire, congruere, incidere in idem tempus.* Sic aliquo-

τῶν, οἱ δὲ, ὡς Κρητικὰ ὄντα νόμιμα ἐπάγοιτο [9]). τούτους δὲ οἱ Κρῆτες τοὺς νόμους τεθῆναί σφισιν ὑπὸ Μίνω λέγουσι, βουλεύσασθαι δὲ ὑπὲρ τῶν νόμων οὐκ ἄνευ θεοῦ τὸν Μίνω. ᾐνίξατο δὲ καὶ Ὅμηρος [10]), ἐμοὶ δοκεῖν, περὶ τοῦ Μίνω τῆς νομοθεσίας ἐν τοῖσδε τοῖς ἔπεσι·

Τῇσι δ' ἐνὶ Κνωσσὸς μεγάλη πόλις, ἔνθα τε Μίνως
Ἐννέωρος βασίλευε, Διὸς μεγάλου ὀαριστής.

Λυκούργου μὲν οὖν καὶ ἐν τοῖς ἔπειτα τοῦ λόγου ποιήσομαι μνήμην [11]). Ἀγησιλάου δὲ παῖς ἐγένετο Ἀρχέλαος. ἐπὶ τούτου Λακεδαιμόνιοι πολέμῳ κρατήσαντες πόλιν τῶν περιοικίδων ἠνδραποδίσαντο Αἴγυν, ὑποπτεύσαντες, ὡς οἱ Αἰγῦται Φρονοῦσι τὰ Ἀρκάδων. Χαρίλαος [12]) δὲ, ὁ τῆς ἑτέρας οἰκίας βασιλεὺς, συνεξεῖλε μὲν καὶ Ἀρχελάῳ τὴν Αἴγυν· ὁπόσα δὲ καὶ ἰδία Λακεδαιμονίων αὐτὸς ἔδρασεν ἡγούμενος, μνήμην καὶ τῶνδε ποιησόμεθα ὁμοῦ τῷ λόγῳ μεταβάντι ἐς τοὺς Εὐρυπωντίδας καλουμένους [13]). Ἀρχελάου δὲ

ἦν

aliquoties in Clemente, uti p. 333. C., p. 368. A. De Lycurgo Homero contemporaneo vid. Plutarch. Lycurg. f. 1.

9) οἱ μὲν — ἐπάγοιτο] Ex Herodot. L. 1. f. 65. Conf. Plutarch. Lyc. f. 4. 5.

10) Ὅμηρος] Odyss. τ. v. 178. 79.

11) Λυκούργου — μνήμην] Vid. hujus Libri C 14 et praecipue C. 18. ab initio.

12) Χαρίλαος] Supra L. II. C. 36. et infra C. 7., item L. VIII. C. 5. et 48. hoc nomen scribitur Χάριλλος, uti etiam in Herod. L. I. f. 65. In Plutarch. Lycurg. f. 3. 5. est Χαρίλαος. Scilicet haec nominis varietas ex literarum ΛΑ et ΛΛ permutatione facillime et mature enata, utrum nomen rectius esset, postea decernere non fuit.

13) Εὐρυπωντίδας καλ.] Aldin. exempl., sicuti etiam Libri scripti collati Vind. et Mosc. vitiose dant Εὐρυποντίας. Pausaniae hic alterius domus rex con-

ἦν Τήλεκλος. ἐπὶ τούτου πόλεις Λακεδαιμόνιοι τῶν περιοικίδων πολέμῳ κρατήσαντες ἐξεῖλον Ἀμύκλαν καὶ Φάριν καὶ Γερανθρὰς ἐχόντων ἔτι Ἀχαιῶν. τούτων Φαρεῖται [14]) καὶ Γερανθράται τὴν ἔφοδον τῶν Δωριέων καταπλαγέντες ἀπελθεῖν ἐκ Πελοποννήσου συγχωροῦνται ὑπόσπονδοι. τοὺς δὲ Ἀμυκλαιεῖς οὐκ ἐξ ἐπιδρομῆς ἐκβάλλουσιν, ἀλλὰ ἀντισχόντας τε ἐπὶ πολὺ τῷ πολέμῳ, καὶ ἔργα οὐκ ἄδοξα ἐπιδειξαμένους. δηλοῦσι δὲ καὶ οἱ Δωριεῖς τρόπαιον ἐπὶ τοῖς Ἀμυκλαιεῦσιν ἀναστήσαντες, ὡς ἐν τῷ τότε λόγῳ μάλιστα ἄξιον τοῦτο ὑπάρξαν [15]) σφίσιν. οὐ πολλῷ δὲ ὕστερον τούτων ἀπέθανεν ὑπὸ Μεσσηνίων Τήλεκλος ἐν Ἀρτέμιδος [16]) ἱερῷ. τὸ δὲ ἱερὸν τοῦτο ἐν μεθορίῳ τῆς τε Λακωνικῆς καὶ τῆς Μεσσηνίας ἐπεποίητο ἐν χωρίῳ καλουμένῳ Λίμναις. Τηλέκλου δὲ ἀποθανόντος, Ἀλκαμένης ἔσχε ὁ Τηλέκλου τὴν ἀρχήν. καὶ Λακεδαιμόνιοι πέμπουσιν ἐς Κρήτην Χαρμίδαν τὸν Εὔθυος, ἄνδρα ἐν Σπάρτῃ τῶν

7

constanter dicitur Εὐρυπῶν ejusque posteri Εὐρυπωντίδαι (vid. C. 7.). In aliis diverse exhibetur hoc nomen; in Herodoto L. VIII. f. 131. est Εὐρυφῶν, ubi vid. Valkenar. not., et in Plutarchi Lycurg. f. 2. Εὐρυτίων et Εὐρυτιωνίδαι, cui postremae varietati permutationem literarum Π et ΤΙ locum dedisse, facile perspicitur.

14) Φαρεῖται] Cod. Vind. Φαρῖται, quod etiam Stephan. habet Pausaniam excitans.

15) ἐν τῷ τότε λόγῳ μάλιστα ἄξιον τ. ὑπάρξαν] *Amas.* non legisse videtur ἐν τῷ τότε χρόνῳ, uti *Sylb.* arbitratur, sed potius ἐν τῷ τότε λόγου μ. ἄξ., quod equidem probandum duco. Pro ὑπάρξαν Cod. Vind. dat ὑπάρχειν. Quod hic memoratur tropaeum, infra C. 12. dicitur Τροπαίου Διὸς ἱερόν.

16) Ἀρτέμιδος] Quae Diana a loco Λιμνᾶς dicta fuit, uti L. III. C. 7. legimus, vel Λιμνᾶτις L. III. C. 23., L. IV. C. 4. et 31. De Telecli caede vid. L. IV. C. 4.

τῶν δοκίμων, σάσεις τε καταπαύσοντα τοῖς Κρησὶ, καὶ τὰ πολίσματα ὁπόσα ἦν ἀπωτέρω θαλάσσης καὶ ἄλλως ἀσθενῆ, ταῦτα μὲν τοὺς Κρῆτας πείσοντα ἐκλιπεῖν, τὰ δὲ ἐν ἐπικαίρῳ τοῦ παράπλου συνοικιοῦντα ἀντ' αὐτῶν. ἀνέσησαν δὲ καὶ Ἕλος [17]) ἐπὶ θαλάσσης πόλισμα, Ἀχαιῶν ἐχόντων, καὶ Ἀργείους τοῖς Εἵλωσιν ἀμύναντας μάχῃ νικῶσι.

CAPUT III.

Polydoro regnante Lacedaemonii colonias in Italiam deducunt — bellum Meſſenium acriter geritur — Eurycrate regnante Meſſenii Lacedaemon. imperio parent — Anaxandro regn. Meſſenii a Lacedaem. deficiunt et denuo opprimuntur — Eurycrate minore et Leonte regnantibus Lacedaem. bellum cum Tegeatis infeliciter gerunt, Anaxandrida vero regn. ſuperiores evadunt — Oreſtis oſſa a Spartanis reperiuntur et ab Athenienſibus Theſei oſſa — de Anaxandrida digamo — Cleomene rege et Dorieo.

Τελευτήσαντος δὲ Ἀλκαμένους, Πολύδωρος τὴν βασιλείαν παρέλαβεν ὁ Ἀλκαμένους, καὶ ἀποικίαν τε ἐς Ἰταλίαν Λακεδαιμόνιοι τὴν ἐς Κρότωνα ἔστειλαν, καὶ ἀποικίαν ἐς Λοκροὺς τοὺς πρὸς ἄκρᾳ Ζεφυρίῳ. 2 Καὶ ὁ πόλεμος ὁ καλούμενος Μεσσηνιακὸς Πολυδώρου βασιλεύοντος μάλιστα ἐς ἀκμὴν προῆλθε. λέγουσι δὲ οὐ τὰς αὐτὰς Λακεδαιμόνιοί τε αἰτίας καὶ Μεσσήνιοι τοῦ πολέμου. τὰ οὖν λεγόμενα ὑπ' αὐτῶν, καὶ

17) Ἕλος] Inde Helotae, ſervi Lacedaemoniorum. Plura de hoc vid. C. 20. hujus Libri.

καὶ ὁποῖον ὁ πόλεμος ἔσχεν οὗτος πέρας, τοῦ λόγου μοι τὰ ἐφεξῆς δηλώσει [1]). τοσοῦτον δὲ ἐν τῷ παρόντι μνησθησόμεθα αὐτῶν· τὰ πολλὰ ἡγήσασθαι Λακεδαιμονίοις ἐν τῷ προτέρῳ πρὸς Μεσσηνίους πολέμῳ Θεόπομπον τὸν Νικάνδρου, βασιλέα ὄντα τῆς ἑτέρας οἰκίας [2]), διαπεπολεμημένου δὲ τοῦ πρὸς Μεσσήνην πολέμου, καὶ ἤδη Λακεδαιμονίοις δορικτήτου τῆς Μεσσηνίας οὔσης, Πολύδωρον εὐδοκιμοῦντα ἐν Σπάρτῃ καὶ κατὰ γνώμην Λακεδαιμονίων μάλιστα ὄντα τῷ δήμῳ· οὔτε γὰρ ἔργον βίαιον οὔτε ὑβριστὴν λόγον παρείχετο ἐς οὐδένα [3]), ἐν δὲ ταῖς κρίσεσι τὰ δίκαια ἐφύλαττεν, οὐκ ἄνευ φιλανθρωπίας. ἔχοντος δὲ ἤδη Πολυδώρου λαμπρὸν ἀνὰ πᾶσαν τὴν Ἑλλάδα ὄνομα, Πολέμαρχος οἰκίας ἐν Λακεδαίμονι ἀνὴρ οὐκ ἀδόξου, θρασύτερος δὲ, ὡς ἐδήλωσε, γνώμην, φονεύει τὸν Πολύδωρον. ἀποθανόντι δὲ αὐτῷ πολλά τε παρὰ Λακεδαιμονίων δέδοται καὶ ἀξιόλογα ἐς τιμήν [4]). Ἔστι μὲν τοι καὶ Πολεμάρχου μνῆμα ἐν Σπάρτῃ, εἴτε ἀγαθοῦ τὰ πρότερα ἀνδρὸς εἶναι νομισθέντος, εἴτε καὶ κρύφα οἱ προσήκοντες θάπτουσιν αὐτόν. Ἐπὶ 3
μὲν δὴ Εὐρυκράτους τοῦ Πολυδώρου βασιλεύοντος Μετσήνιοί τε ἠνείχοντο ὑπήκοοι Λακεδαιμονίοις [5]) ὄντες, καὶ παρὰ τοῦ δήμου τῶν Ἀργείων οὐδέν σφισιν ἀπήντησε νεώτερον. Ἐπὶ δὲ Ἀναξάνδρου τοῦ Εὐρυ- 4
κράτους (τὸ γὰρ χρεὼν ἤδη Μεσσηνίους ἤλαυνεν ἐκτὸς Πελοποννήσου πάσης) ἀφίστανται Λακεδαιμονίων οἱ

1) τοῦ λόγου — δηλώσει] Vid. L. IV. C. 4. sq. et C. 13.

2) τὰ πολλὰ ἡγήσασθαι — οἰκίας] Vid. L. IV. C. 4. et 7.

3) παρείχετο ἐς οὐδένα] Uterque Cod. V. et M. ἐς omittunt.

4) ἀποθανόντι — ἐς τιμήν] Vid. L. III. C. 11. in fine.

5) Λακεδαιμονίοις] Cod. M. Λακεδαιμονίων.

Μεσσήνιοι· καὶ χρόνον μὲν ἀντέσχον πολεμοῦντες, ὑπόσπονδοι δὲ, ὡς ἐκρατήθησαν, ἀπῆλθον ἐκ Πελοποννήσου. τὸ δὲ αὐτῶν ἐγκαταλειφθὲν τῇ γῇ [6]), Λακεδαιμονίων ἐγένοντο οἰκέται [7]), πλὴν οἱ τὰ ἐν τῇ θαλάσσῃ πολίσματα ἔχοντες. τὰ μὲν δὴ ἐπὶ τοῦ πολέμου συμβάντα, ὃν οἱ Μεσσήνιοι Λακεδαιμονίων ἀποσάντες ἐπολέμησαν, οὔ μοι κατὰ καιρὸν ἦν ἐν τῇ συγγραφῇ τῇ παρούσῃ δηλῶσαι. Ἀναξάνδρου δὲ υἱὸς Εὐρυκράτης γίνεται· Εὐρυκράτους δὲ τοῦ δευτέρου Λέων. ἐπὶ τούτων βασιλευόντων Λακεδαιμονίοις προσέπταιον ἐν τῷ πρὸς Τεγεάτας πολέμῳ τὰ πλείονα. ἐπὶ δὲ Ἀναξανδρίδου [8]) τοῦ Λέοντος ἐπικρατέστεροι Τεγεατῶν γίγνονται τῷ πολέμῳ. γίγνονται δὲ οὕτως. ἀνὴρ Λακεδαιμόνιος Λίχας ὄνομα ἀφίκετο ἐς Τέγεαν· τηνικαῦτα δὲ αἱ πόλεις ἄγουσαι σπονδὰς ἔτυχον. Ἀφικομένου δὲ τοῦ Λίχα, Ὀρέστου τὰ ὀστᾶ ἀνεζήτουν· ἀνεζήτουν δὲ αὐτὰ ἐκ θεοπροπίου Σπαρτιάται. συνῆκεν οὖν ὁ Λίχας, ὡς ἔστι κατακείμενα ἐν οἰκίᾳ χαλκέως· συνῆκε δὲ οὕτως. ὁπόσα ἐν τῇ τοῦ χαλκέως εἶδε, παρέβαλεν αὐτὰ πρὸς τὸ ἐκ Δελφῶν μάντευμα [9]): ἀνεμοις μὲν τοῦ χαλκέως εἰκάζων τὰς φύσας, ὅτι καὶ αὐταὶ βίαιον πνεῦμα ἠφίεσαν, τύπον δὲ τὴν σφῦραν, καὶ τὸν ἄκμονα ἀντίτυπον ταύτῃ, πῆμα δὲ εἰκότως ἀνθρώ-

6) ἐγκαταλειφθὲν τῇ γῇ] Cod. Mosc. ἐγκαταλιφθὲν ex vulgari harum vocum permutatione. Forte ἐν absorptum ante τῇ γῇ restituendum sit.

7) οἰκέται] Vid. L. IV. C. 23. init.

8) ἐπὶ δὲ Ἀναξανδρίδου etc.] Haec, et quae sequuntur, prolixius relata legimus in Herodoto L. I. s. 67. 68.

9) τὸ ἐκ Δελφῶν μάντευμα] Oraculum hoc servatum lege in Herod. L. I. s. 68. et Steph. v. Τέγεα. Illud victores Tegeatarum futuros cecinit, si ossa Orestis referrent. De ejus interpretatione vid. Wesseling. ad Herod. l. c.

ἀνθρώπῳ τὸν σίδηρον, ὅτι ἐχρῶντο ἐς τὰς μάχας ἤδη τῷ σιδήρῳ. τὰ δὲ ἐπὶ τῶν ἡρώων καλουμένων ἀνεῖπεν ὁ θεὸς [10]), ἀνθρώπῳ πῆμα εἶναι τὸν χαλκόν. τῷ χρησμῷ δὲ τῷ γενομένῳ Λακεδαιμονίοις ἐς τοῦ Ὀρέστου τὰ ὀστᾶ καὶ Ἀθηναίοις ὕστερον ἐοικότα ἐχρήσθη, κατάγουσιν Ἀθήναζε [11]) ἐκ Σκύρου Θησέα, ἄλλως δὲ οὐκ εἶναί σφισιν ἐλεῖν Σκῦρον. ἀνεῦρε δὲ τὰ ὀστᾶ τοῦ Θησέως Κίμων ὁ Μιλτιάδου [12]), σοφίᾳ χρησάμενος καὶ οὗτος, καὶ μετ' οὐ πολὺ εἶλε τὴν Σκῦρον. ὅτι δὲ ἐπὶ τῶν ἡρώων τὰ ὅπλα ὁμοίως χαλκᾶ ἦν πάντα, μαρτυρεῖ μοι καὶ Ὁμήρου τῶν ἐπῶν ἔς τε [13]) ἀξίνην ἔχοντα τὴν Πεισάνδρου, καὶ ἐς τοῦ Μηριόνου τὸν οἰστόν. βεβαιοῖ δὲ καὶ ἄλλως μοι τὸν λόγον ἐν Φασηλίδι ἀνακείμενον ἐν Ἀθηνᾶς ἱερῷ τὸ δόρυ Ἀχιλλέως, καὶ Νικομηδεῦσιν Ἀσκληπιοῦ ναῷ [14]) μάχαιρα ἡ Μέμνονος, καὶ τοῦ μὲν ἥ τε αἰχμὴ καὶ ὁ σαυρωτὴρ, ἡ μάχαιρα δὲ καὶ διὰ πάσης χαλκοῦ πεποίηται. ταῦτα μὲν δὴ ἴσμεν ἔχοντα οὕτως. Ἀναξανδρίδης δὲ ὁ Λέοντος Λα- 7
κεδαιμονίων μόνος γυναῖκάς τε δύο ἅμα ἔσχεν, καὶ οἰκίας δύο ἅμα ᾤκησε. τὴν γάρ οἱ πρότερον συνοικοῦσαν, ἀρίστην τὰ ἄλλα οὖσαν, συνέβαινεν οὐ τίκτειν·

10) τὰ δὲ ἐπὶ τῶν ἡρώων καλ. ἀνεῖπεν ὁ θεὸς] *tempore heroicae aetatis* etc. Illa enunciata sunt ad analogiam dictionis τὰ ἐφ' ἡμῶν — τὰ ἐπ' ἐμοῦ. Pro ἀνεῖπεν mallem ἂν εἶπεν.

11) Ἀθήναζε] Cod. Vind. ἐς Ἀθήνας.

12) ἀνεῦρε — Κίμων ὁ Μιλτ.] De hoc vid. Plutarch. Thes. f. 36.

13) Ὁμήρου τῶν ἐπῶν ἔς τε etc.] Restitui ἐπῶν, quod in vulgatis aberat, ex utroque Cod. V. et Mosc. Vox illa, qua verborum structura carere non potest, forte typographorum incuria excidit. Locus Homeri de Pisandri securi est Il. N. v. 612., et de Merionae sagitta Il. N. v. 585. 587.

14) Νικομηδεῦσιν Ἀσκληπιοῦ ναῷ] Scribendum esse Νικομ. ἐν Ἀσκλ. ναῷ, dubium non est.

ἀποπέμψασθαι δὲ αὐτὴν κελευόντων τῶν ἐφόρων, τοῦτο μὲν οὐδαμῶς ἐπαγγέλλεται, τοσοῦτον δέ σφισιν εἶπεν, γυναῖκα ἑτέραν λαβεῖν πρὸς ταύτῃ. καὶ ἥ τε ἐπεισελθοῦσα [15]) Κλεομένην παῖδα ἔσχε, καὶ ἡ πρότερα τέως οὐ σχοῦσα ἐν γαστρὶ, ἐπὶ γεγονότι ἤδη Κλεομένει, τίκτει Δωριέα, καὶ αὖθις Λεωνίδαν, ἐπὶ δὲ αὐτοῖς Κλεόμβροτον. Ἐπεὶ δὲ ἀπέθανεν Ἀναξανδρίδης, Λακεδαιμόνιοι, Δωριέα καὶ γνώμην Κλεομένους καὶ τὰ ἐς πόλεμον ἀμείνονα εἶναι νομίζοντες, τὸν μὲν ἀπώσαντο ἄκοντες, Κλεομένει δὲ διδόασιν ἐκ τῶν νόμων πρεσβεῖα τὴν ἀρχήν. Δωριεὺς μὲν δὴ (οὐ γὰρ ἠνείχετο ὑπακούειν Κλεομένει μένων ἐν Λακεδαίμονι) ἐς ἀποικίαν στέλλεται.

CAPUT IV.

Cleomenes cum Lacedaemoniis et ſociis fines Argivorum invadit, eosque vincit — contra Athenas exercitum ducit et Orgadem, terram diis Eleuſiniis ſacram, devaſtat — in Aeginam trajicit — Demaratum fraude regno privat — furore correptus mortem ſibi infert — Leonidas rex Xerxi Graeciam invadenti ad Thermopylas occurrit — de Pauſania, Pliſtarchi, Leonidae filii, tutore, ejusque honeſte factis.

Κλεομένης δὲ ὡς ἐβασίλευσεν, αὐτίκα ἐσέβαλεν ἐς τὴν Ἀργολίδα, Λακεδαιμονίων τε αὐτῶν ἀθροίσας καὶ τῶν συμμάχων στρατιάν. ὡς δὲ ἐπεξῆλθον οἱ Ἀργεῖοι σὺν ὅπλοις, ὁ Κλεομένης ἐνίκα τῇ μάχῃ· καὶ (ἦν γὰρ πλησίον ἄλσος ἱερὸν Ἄργου τοῦ Νιόβης) κατα-

15) ἥ τε ἐπεισελθοῦσα] Cod. Vind. ἐπελθοῦσα. De his et ſequentibus vid. Herodot. L. V. C. 39. ſq.

καταφεύγουσιν, ὡς ἐτράποντο, ὅσον τε πεντακισχίλιοι τῶν Ἀργείων ἐς τὸ ἄλσος. Κλεομένης δὲ (ἐξώρμει γὰρ [1]) τὰ πολλὰ ἐκ τοῦ νοῦ) κελεύει καὶ τὸ τε ἐνεῖναι πῦρ τοῖς εἴλωσιν ἐς τὸ ἄλσος, καὶ τό τε ἄλσος ἡ φλὸξ ἐπέλαβεν ἅπαν, καὶ ὁμοῦ τῷ ἄλσει καιομένῳ συγκατεκαύθησαν αὖθις οἱ ἱκέται [2]). Ἐστράτευσε δὲ καὶ ἐπὶ Ἀθήνας [3]), τὸ μὲν πρότερον 2
Ἀθηναίοις τε ἐλευθερίαν ἀπὸ τῶν Πεισιστράτου παίδων, καὶ αὐτῷ καὶ Λακεδαιμονίοις δόξαν ἐν τοῖς Ἕλλησιν ἀγαθὴν κτώμενος, ὕστερον δὲ Ἀθηναίου χάριτι ἀνδρὸς Ἰσαγόρου τυραννίδα οἱ συγκατεργασάμενος Ἀθηνῶν. ὡς δὲ ἡμάρτανε τῆς ἐλπίδος, καὶ οἱ Ἀθηναῖοι περὶ τῆς ἐλευθερίας ἐμαχέσαντο ἐῤῥωμένως, ἐνταῦθα ὁ Κλεομένης ἄλλα τε ἐδήωσε τῆς χώρας, καὶ τῆς καλουμένης Ὀργάδος [4]), θεῶν τε τῶν ἐν Ἐλευσῖνι ἱερᾶς, καὶ ταύτης τεμεῖν φασιν αὐτόν. Ἀφίκετο δὲ καὶ ἐς Αἴγιναν, καὶ Αἰγινητῶν τοὺς δυνα- 3
τοὺς συνελάμβανεν, ὅσοι μηδισμοῦ τε αὐτῶν μετέσχον, καὶ βασιλεῖ Δαρείῳ τῷ Ὑστάσπου [5]) γῆν δοῦναι καὶ

Y 4

1) Κλεομένης δὲ (ἐξώρμει γὰρ etc.] *Amaſ.* recte interpretatur: *quippe qui nonnunquam e poteſtate exiret*, h. e. libidine aut iracundia effraenatus ferebatur. De qua dictione vid. Cicero Tuſcul. L. IV. 77. C. 36., et L. III. 11. C. 5. De Cleomenis furore vid. Herod. L. V. ſ. 42., qui etiam crudele illius in Argivos facinus prolixius refert L. VI. ſ. 78. ſq.

2) αὖθις οἱ ἱκέται] Vox αὖθις alieno eſt loco; quare *Kuhn.* recte corrigit αὐθί (pro αὐτόθι), *ibi.* οἱ ἱκέται ſunt *Argivi luco Argi incluſi*, qui inferius dicuntur οἱ ἱκέται τοῦ Ἄργου.

3) Ἐστράτευσε δὲ καὶ ἐπὶ Ἀθήνας] De hac expeditione vid. Herod. L. V. ſ. 63. 64.

4) Ὀργάδος] Vid. Ruhnk. V. C. ad Timaei Lex. p. 195. doſte et copioſe de hac voce agentem. Ad rem pertinet Herod. L. V. ſ. 74. 75.

5) καὶ βασιλεῖ Δαρείῳ τῷ Ὑστάσπου etc.] Pro Ὑστάσπου, quod vulgatum erat, dedi ex Cod. Moſc. Ὑστάσπου. De re ipſa vid. Herod. L. VI. ſ. 49. 50.

καὶ ὕδωρ τοὺς πολίτας ἔπεισαν. διατρίβοντος δὲ ἐν Αἰγίνῃ Κλεομένους, Δημάρατος [6]), ὁ τῆς οἰκίας βασιλεὺς τῆς ἑτέρας, διέβαλλεν αὐτὸν ἐς τῶν Λακεδαιμο-
4 νίων τὸ πλῆθος. Κλεομένης δὲ ὡς ἀνέστρεψεν ἐξ Αἰγίνης, ἔπρασσεν, ὅπως Δημάρατον παύσειε βασιλεύοντα· καὶ τήν τε ἐν Δελφοῖς πρόμαντιν ὠνήσατο, Λακεδαιμονίοις αὐτὴν ὁπόσα αὐτὸς ἐδίδασκεν ἐς Δημάρατον χρῆσαι, καὶ Λεωτυχίδην ἄνδρα τοῦ βασιλικοῦ γένους καὶ οἰκίας Δημαράτῳ τῆς αὐτῆς ἐπῆρεν ἀμφισβητεῖν ὑπὲρ τῆς ἀρχῆς. εἵλετο δὲ Λεωτυχίδης λόγων, οὓς Ἀρίστων ποτὲ ἐς Δημάρατον τεχθέντα ἐξέβαλεν ὑπὸ ἀμαθίας, οὐκ αὐτοῦ παῖδα εἶναι πείσας [7]). τότε δὲ οἱ μὲν ἐς τὸ χρηστήριον οἱ Λακεδαιμόνιοι τὸ ἐν Δελφοῖς, ὥσπερ καὶ τἆλλα εἰώθεσαν, ἀνάγουσι καὶ τὸ ἀμφισβήτημα τὸ ὑπὲρ Δημαράτου· ἡ δὲ σφίσιν ἔχρησεν ἡ πρόμαντις [8]), ὁπόσα ἦν Κλεομένει κατὰ γνώμην. Δημάρατος μὲν δὴ κατὰ ἔχθος τὸ Κλεομένους,
5 καὶ οὐ σὺν τῷ δικαίῳ βασιλείας ἐπαύθη. Κλεομένην [9]) δὲ ὕστερον τούτων ἐπέλαβεν ἡ τελευτὴ μανέντα. ὡς γὰρ δὴ ἐλάβετο ξίφους, ἐτίτρωσκεν αὐτὸς αὑτόν, καὶ διεξῄει τὸ σῶμα ἅπαν κόπτων τε καὶ λυμαινόμενος. Ἀργεῖοι μὲν δὴ τοῖς ἱκέταις τοῦ Ἄργου διδόντα αὐτὸν δίκην τέλος τοῦ βίου φασὶν εὑρέσθαι τοιοῦτον· Ἀθηναῖοι δὲ, ὅτι ἐδῄωσε τὴν Ὀργάδα· Δελφοὶ δὲ τῶν

6) Δημάρατος etc.] De his et sequentibus conf. Herodot. L. VI. f. 61. sq.

7) πείσας] Sine ulla necessitate *Kuhn.* φήσας scribendum censet. Πείσας enim bene ad Aristonem referri potest, qui εἶπε ἀπιμόσας, οὐκ ἂν ἐμὸς εἴη (Herodot. L. VI. f. 63.), et sic *aliis, ita esse, persuasit.* Pluribus hoc refert Pausan. L. III. C. 7., ubi vid. not.

8) πρόμαντις] Hanc *Perillam* vocat Herod. L. VI. f. 66.

9) Κλεομένην] Pro vulgata Κλεομένη dedi ex utroque Codice.

τῶν δώρων εἵνεκα, ὧν τῇ προμάντιδι ἔδωκεν, ἀναπείσας ἐψευσμένα εἰπεῖν ἐς Δημάρατον. εἴη δ' ἂν καὶ τὰ μηνίματα ἔκ τε ἡρώων ὁμοῦ καὶ θεῶν ἐς τὸ αὐτὸ τῷ Κλεομένει συνεληλυθότα. ἐπεί τοι καὶ ἰδίᾳ Περσέος [10]) ἐν Ἐλεοῦντι οὐδὲν ἧσσον Ἄργου φανερώτερος ἄνδρα Πέρσην ἐτιμωρήσατο Ἀρταύκτην [11]). καὶ Μεγαρεῦσιν οὔποτε θεῶν τῶν ἐν Ἐλευσῖνι ὄντως [12]) ἐξηγένετο ἱλάσασθαι τὸ μήνιμα γῆν ἐπεργασαμένοις τὴν ἱεράν. τὰ δὲ ἐς τοῦ μαντείου τὴν διάπειραν, οὐδὲ τὸ παράπαν ἄλλον γε οὐδένα ὅτι μὴ μόνον Κλεομένην [13]) τολμήσαντα ἴσμεν. Κλεομένει δὲ οὐκ ὄντων ἀῤῥένων παίδων, ἐς Λεωνίδαν τὸν Ἀναξανδρίδου, Δωριέως δὲ ἀπ' ἀμφοτέρων [14]) ἀδελφὸν, κατέβαινεν ἡ ἀρχή. Καὶ Ξέρξης τε τηνικαῦτα ἐπὶ τὴν Ἑλλάδα ἤγαγε τὸν λαὸν, καὶ Λεωνίδας τριακοσίοις ὁμοῦ Λακεδαιμονίων ἀπήντησεν ἐς Θερμοπύλας. γεγόνασι μὲν δὴ πόλεμοι καὶ Ἑλλήνων πολλοὶ, καὶ ἐς ἀλλήλους βαρβάρων, εὐαρίθμητοι [15]) δὲ, ὁπόσους ἀνδρὸς ἑνὸς μάλιστα ἀρετὴ προήγαγεν ἐς πλέον δόξης, ὡς Ἀχιλλεύς τε τὸν πρὸς Ἰλίῳ πόλεμον, καὶ Μιλτιάδης τὸ Μαραθῶνι ἔργον. ἀλλὰ γὰρ τὸ Λεωνίδου κατόρθωμα ὑπερεβάλλετο (ἐμοὶ δοκεῖν) τά τε ἀνὰ χρόνον συμβάντα, καὶ τὰ ἔτι πρότερον. Ξέρξῃ γὰρ βασιλέων, ὁπόσοι Μήδοις καὶ

6

10) Περσέως etc.] Haec copiose enarrata legi possunt in Herod. L. IX. s. 116. sq.

11) Ἀρταύκτην] *Amas. Artabactem.* In Herod. l. c. est Ἀρταΰκτης.

12) καὶ Μεγαρεῦσιν — ὄντως etc.] Pro ὄντως uterque Codex dat ὄντων. Rem ipsam tetigit Paus. L. I. C. 36.

13) Κλεομένην] Ex Cod. V. pro vulg. Κλεομένη.

14) ἀπ' ἀμφοτέρων] *ex utroque parente.* L. I. C. 7. fuit ἀμφοτέρωθεν eodem sensu.

15) εὐαρίθμητοι] *facile numeranda, pauca. Amas.* legisse videtur ἐναρίθμητοι, vertens: *sed ea inprimis insignia fuere.*

Πέρσαις ἐγένοντο ὕστερον, παρασχομένῳ μέγιστον φρόνημα, καὶ ἀποδειξαμένῳ λαμπρὰ, οὕτω κατὰ τὴν πορείαν Λεωνίδας σὺν ὀλίγοις, οὓς ἠγάγετο ἐς Θερμοπύλας, ἐγένετο ἂν ἐμποδὼν, μηδὲ ἀρχὴν τὴν Ἑλλάδα ἰδεῖν [16]) αὐτὸν, μηδὲ Ἀθηναίων ποτὲ ἐμπρῆσαι τὴν πόλιν, εἰ μὴ κατὰ τὴν ἀτραπὸν τὴν διὰ τῆς Οἴτης τείνουσαν περιαγαγὼν τὴν μετὰ Ὑδάρνου στρατιὰν ὁ Τραχίνιος κυκλώσασθαί σφισι τοὺς Ἕλληνας παρέσχε· καὶ οὕτω κατεργασθέντος Λεωνίδου παρῆλ-
7 θον ἐς τὴν Ἑλλάδα οἱ βάρβαροι. Παυσανίας δὲ ὁ Κλεομβρότου βασιλεὺς μὲν οὐκ ἐγένετο. ἐπιτροπεύων γὰρ Πλείσαρχον τὸν Λεωνίδου καταλειφθέντα ἔτι παῖδα ἐς Πλαταιάν τε Λακεδαιμονίους ἤγαγε, καὶ ὕστερον ναυσὶν ἐς τὸν Ἑλλήσποντον. Παυσανίου δὲ τὸ ἔργον τὸ ἐς τὴν Κῴαν γυναῖκα [17]) ἐν ἐπαίνῳ τίθεμαι μάλιστα· ἥντινα ἀνδρὸς οὐκ ἀδόξου παρὰ Κώοις θυγατέρα οὖσαν Ἡγητορίδου τοῦ Ἀνταγόρου Φαρανδάτης ὁ Τεάσπιδος [18]) ἀνὴρ Πέρσης παλλακὴν εἶχεν ἄκουσαν. ἐπεὶ δὲ Πλαταιᾶσι Μαρδόνιός τε ἔπεσεν ἐν τῇ μάχῃ καὶ ἀπώλοντο οἱ βάρβαροι, τὴν γυναῖκα ὁ Παυσανίας ἀπέστειλεν ἐς τὴν Κῶν κόσμον τε, ὃν ἐποιήσατο ὁ Πέρσης αὐτῇ, καὶ τὴν ἄλλην ἀγομένην κατασκευήν· Μαρδονίου τε οὐκ ἠθέλησεν ὁ Παυσανίας αἰσχῦναι τὸν νεκρὸν κατὰ τὴν παραίνεσιν τοῦ Αἰγινήτου Λάμπωνος.

16) ἐμποδὼν, μηδὲ ἀρχὴν — ἰδεῖν etc.] Ante μηδὲ paullo durius omissum ὡς. Forte illud ab antecedente syllaba ων absorptum excidit.

17) Κῴαν γυναῖκα etc.] Non *uxorem Coi hominis*, sicuti *Amas.* vertit, sed *filiam Coi hominis*, uti ex Herodot. scimus, qui L. IX. s. 76. haec pluribus enarrat.

18) Τεάσπιδος] Ex utroque Codice et Herodoti l. c. restitui pro vulgato Τεάπιδος.

CAPUT

CAPUT V.

Pausanias minor, Athenienſibus ad Piraeeum victis, triginta tyrannorum imperium non adjuvare vult, ſed domum redit — ideo ab inimicis accuſatur, et judicio abſolvitur — Lacedaemonii Lyſandro duce Thebanos invadunt — Lyſandro caeſo, Pauſanias ſupervenit et cum Thebanis paciſcitur — Pauſanias denuo accuſatus a Tegeatis in templo Minervae Aleae ſupplex recipitur — de Ariſtodemo, Pauſaniae filiorum tutore — Ageſipolis, rex Lacedaem., Argivis bellum infert, ſed terrae motu et tonitru recedere cogitur — contra Olynthios exercitum ducit et ſubito moritur.

Πλείσαρχος μὲν οὖν ὁ Λεωνίδου νεωστὶ τὴν βασιλείαν παρειληφὼς ἐτελεύτησε. Πλειστοάναξ [1]) δὲ ἔσχε τὴν ἀρχὴν ὁ Παυσανίου τοῦ Πλαταιᾶσιν ἡγησαμένου. Πλειστοάνακτος δὲ ἐγένετο Παυσανίας. Οὗτος ἐς τὴν 2
Ἀττικὴν ἀφίκετο ὁ Παυσανίας Θρασυβούλῳ καὶ Ἀθηναίοις πολέμιος τῷ λόγῳ, τοῖς δὲ ἄρχειν ἐπιτραπεῖσιν ὑπὸ Λυσάνδρου καταγνόμενος τὴν τυραννίδα ἐν βεβαίῳ. καὶ μάχῃ μὲν ἐνίκησεν Ἀθηναίων τοὺς ἔχοντας τὸν Πειραιᾶ, μετὰ δὲ τὴν μάχην αὐτίκα οἱ τὸν στρατὸν ἀπάγειν οἴκαδε ἤρεσε, μηδὲ ἀνοσίων ἀνδρῶν τυραννίδα αὔξοντα ἐπισπάσασθαι τῇ Σπάρτῃ τὸ αἴσχιστον ὀνειδῶν. Ὡς δὲ ἐπανῆλθεν ἐξ Ἀθηνῶν 3
μαχεσάμενος ἄπρακτον μάχην, ὑπάγουσιν [2]) αὐτὸν ἐς κρίσιν οἱ ἐχθροί. Βασιλεῖ δὲ τῷ Λακεδαιμονίων δικαστήριον ἐκάθιζον οἵ τε ὀνομαζόμενοι γέροντες ὀκτὼ καὶ

1) Πλειστοάναξ] Horum regum ſeriem usque ad Leonidam, Cleonymi fil., vid. apud Plutarch. Agid. §. 3.

2) ὑπάγουσιν] Cod. Vind. ἐαάγουσιν.

καὶ εἴκοσιν ὄντες ἀριθμὸν, καὶ ἡ τῶν ἐφόρων ἀρχὴ, σὺν δὲ αὐτοῖς καὶ ὁ τῆς οἰκίας βασιλεὺς τῆς ἑτέρας. τέσσαρες μὲν δὴ καὶ δέκα τῶν γερόντων, ἐπὶ δὲ αὐτοῖς Ἄγις, ὁ τῆς ἑτέρας οἰκίας βασιλεὺς, ἀδικεῖν τὸν Παυσανίαν κατέγνωσαν· τὸ δὲ ἄλλο ἀπέγνω δικαστήριον.

4 Μετὰ δὲ οὐ πολὺν χρόνον Λακεδαιμονίων συλλεγόντων ἐπὶ Θήβας στρατιὰν (αἰτία δὲ ἥτις ἐγένετο, προσέσαι τῷ ἐς Ἀγησίλαον λόγῳ [3]), τότε δὲ Λύσανδρος μὲν ἐς τὴν Φωκίδα ἀφικόμενος καὶ ἀναλαβὼν πανδημεὶ τοὺς Φωκέας, οὐδένα ἔτι ἐπισχὼν χρόνον, ἐς τε Βοιωτίαν ἐλήλυθε, καὶ προσβολὰς ἐποιεῖτο ἐς τὸ Ἁλιαρτίων τεῖχος οὐ θελόντων ἀπὸ Θηβαίων ἀφίστασθαι. ἐσεληλύθεσαν δὲ ἤδη καὶ Θηβαίων καὶ Ἀθηναίων τινὲς κρύφα ἐς τὴν πόλιν, ὧν ἐπεξελθόντων [4]), καὶ πρὸ τοῦ τείχους ταξαμένων, ἄλλοι τε ἐνταῦθα Λα-

5 κεδαιμονίων καὶ Λύσανδρος ἔπεσε. Παυσανίας δὲ ὑστέρησε μὲν τοῦ ἀγῶνος παρὰ Τεγεατῶν καὶ ἐξ Ἀρκαδίας τῆς ἄλλης ἀθροίζων δύναμιν. ὡς δὲ ἐς τὴν Βοιωτίαν ἀφίκετο, ἐπυνθάνετό τε τὴν ἧτταν τῶν ὁμοῦ Λυσάνδρῳ, καὶ αὐτοῦ Λυσάνδρου τὴν τελευτὴν, ἀπῆγε δὲ ὅμως ἐπὶ τὰς Θήβας τὸν στρατὸν, καὶ διενοεῖτο ὡς μάχης ἄρξων. ἐνταῦθα οἵ τε Θηβαῖοι τὰ ἐναντία ἐτάσσοντο, καὶ Θρασύβουλος ἀπέχειν οὐ πολὺ ἐπηγγέλλετο ἄξων τοὺς Ἀθηναίους, ἀνέμενε δὲ ἄρξαι Λακεδαιμονίους μάχης, ἄρξασι δὲ αὐτὸς ἤδη κατὰ νώτου σφίσιν ἔμελλεν ἐπικείσεσθαι [5]). ἔδεισεν οὖν ὁ Παυσανίας διπλοῦ στρατιωτικοῦ πολεμίων ἀνδρῶν μεταξὺ

3) τῷ ἐς Ἀγησ. λόγῳ] Vid. hujus Libri C. 9. prope finem.

4) ἐπεξελθόντων] Cod. Vind. ἐξελθόντων.

5) κατὰ νώτου — ἐπικείσεσθαι] Uterque Codex κατὰ νῶτον, et Vind. insuper ἐπικεῖσθαι exhibet.

μεταξὺ ἀποληφθῆναι, καὶ οὕτω σπονδάς τε πρὸς τοὺς Θηβαίους ἐποιήσατο, καὶ τοὺς ὑπὸ τῷ Ἀλιαρτίων τείχει [6]) πεσόν]ας ἀνείλετο. τοῦτο Λακεδαιμονίοις μὲν ἐγένετο οὐ κατὰ γνώμην, ἐγὼ δὲ ἐπαινῶ τῶνδε εἵνεκα τὸ βούλευμα. ἅτε γὰρ εὖ εἰδὼς ὁ Παυσανίας, ὡς τὰ σφάλματα ἀεὶ Λακεδαιμονίοις γίγνονται ἐν μέσῳ πολεμίων ἀποληφθεῖσι, τό τε ἐν Θερμοπύλαις καὶ ἐν τῇ Σφακτηρίᾳ νήσῳ, δεῖμα ἐποιήσατο, μή σφισι καὶ αὐτὸς τρίτου γένηται κακοῦ πρόφασις. Τότε δὲ ἐναντία ποιουμένων τῶν 6
πολιτῶν [7]) τὴν βραδυτῆτα αὐτοῦ τὴν ἐς Βοιωτίαν, οὐχ ὑπέμεινεν ἐσελθεῖν ἐς δικαστήριον, Τεγεάται δὲ αὐτὸν τῆς Ἀθηνᾶς ἱκέτην ἐδέξαντο τῆς Ἀλέας [8]). ἦν δὲ ἄρα τὸ ἱερὸν τοῦτο ἐκ παλαιοῦ Πελοποννησίοις πᾶσιν αἰδέσιμον, καὶ τοῖς αὐτόθι ἱκετεύουσιν ἀσφάλειαν μάλιστα παρείχετο. ἐδήλωσάν τε οἵ τε Λακεδαιμόνιοι τὸν Παυσανίαν, καὶ ἔτι πρότερον τούτου Λεωτυχίδην [9]), καὶ Ἀργεῖοι Χρυσίδαν [10]), καθεζομένους ἐνταῦθα ἱκέτας, οὐδὲ ἀρχὴν ἐξαιτῆσαι θελήσαντες. Παυσανίου δὲ Φυγόντος, οἱ μὲν παῖδες 7
Ἀγησίπολις καὶ Κλεόμβροτος νέοι παντάπασιν ἔτι ἦσαν. Ἀριστόδημος δὲ ἐπετρόπευεν αὐτοὺς, γένους ἐγγύ-

6) ὑπὸ τῷ Ἀλιαρτίων τείχει] Uterque Cod. ὑπὸ τῶν Ἀλιαρτ. τείχει.

7) Τότε δὲ ἐναντία ποιουμένων τῶν πολιτῶν] ἐναντία ποιουμ. huic verborum structurae convenire non potest. Quare *Kuhn.* praeclare emendavit: ἐν αἰτίᾳ ποιουμένων — τὴν βραδυτῆτα etc., sicuti etiam *Amaſ.* legisse videtur. Ἐν αἰτίᾳ ποιεῖσθαι est *accuſare, tanquam crimen objicere;* ſic L. III. C. 16. in fine.

8) Ἀθηνᾶς — Ἀλέας] De nominis origine vid. L. VIII. C. 4. et 23.

9) Λεωτυχίδην] Vid. L. III. C. 7. in fine et Herod. L. VI. ſ. 72.

10) Χρυσίδαν] Vid. L. II. C. 17. et ibi not.

ἐγγύτατα ὤν. καὶ τὸ ἐν Κορίνθῳ Λακεδαιμονίων κατόρθωμα [11]) Ἀριστοδήμου σοφίσιν ἐγένετο ἡγουμένου.

8 Ἀγησίπολις δὲ ἐπεὶ τὴν βασιλείαν ἔσχεν αὐξηθείς, Πελοποννησίων πρώτοις ἐπολέμησεν Ἀργείοις. ὡς δὲ ἐκ τῆς Τεγεατῶν ἐς τὴν Ἀργολίδα ἤγαγε τὸν στρατὸν, πέμπουσι κήρυκα οἱ Ἀργεῖοι σπεισόμενον πρὸς Ἀγησίπολίν σφισι πατρώους δή τινας σπονδὰς [12]) ἐκ παλαιοῦ καθεστώσας τοῖς Δωριεῦσι πρὸς ἀλλήλους. ὁ δὲ οὔτε τῷ κήρυκι ἐσπείσατο, καὶ προϊὼν ὁμοῦ τῇ στρατιᾷ τὴν γῆν ἐφθειρεν. ἔσεισέ τε δὴ ὁ θεὸς [13]), καὶ ὁ Ἀγησίπολις οὐδ' οὕτω τὴν δύναμιν ἀπάξειν ἔμελλεν, καί τοι Λακεδαιμονίοις μάλιστα Ἑλλήνων, ὡσαύτως δὲ καὶ Ἀθηναίοις, δεῖμα αἱ διοσημεῖαι [14]) παρείχοντο. καὶ ὁ μὲν ὑπὸ τὸ τεῖχος κατεστρατοπεδεύετο ἤδη τὸ Ἀργείων, καὶ οὐ παρίει σείων ὁ θεὸς, καί τινες καὶ ἀπώλοντο τῶν στρατιωτῶν κεραυνωθέντες, τοὺς δὲ καὶ ἐκφρονας ἐποίησαν αἱ βρονταί. οὕτω μὲν δὴ ἐκ τῆς

9 Ἀργολίδος ἀνέζευξεν ἄκων. Ἐπὶ δὲ Ὀλυνθίους ἐποιεῖτο αὖθις στρατιάν [15]). κρατοῦντα δὲ αὐτὸν τῷ πολέμῳ, καὶ ἤδη κότα τῶν τε ἄλλων πόλεων τῶν ἐν Χαλκιδεῦσι τὰς πολλὰς, καὶ αὐτὴν ἐλπίζοντα αἱρήσειν τὴν Ὄλυνθον, νόσος τε ἐξαίφνης καὶ θάνατος ἐπέλαβεν ἀπ' αὐτῆς.

11) ἐν Κορίνθῳ — κατόρθωμα etc.] Vid. Xenoph. Hist. Graec. L. IV. 2. 8. μεγάλη μάχη dicta fuit. Vid. Demosth. contra Leptin. §. 41. et ibi Wolf. V. C. p. 275.

12) πατρώους δή τινας σπονδὰς etc.] Vid. Xenoph. H. Gr. L. IV. C. 26., coll. Thucyd. L. V. §. 54.

13) ἔσεισέ τε δὴ ὁ θεὸς] scil. τὴν γῆν. Quemadmodum Ζεὺς et ὁ θεὸς ὕειν Graecis dicitur, sic et σείειν τὴν γῆν, terram concutere. Vid. C. 8. et alibi.

14) διοσημεῖαι] Jovis prodigia, h. e. terrae motus, tonitrua, fulgura etc. Vid. Suid. διοσημίαι.

15) στρατιάν] Scribe στρατείαν, uti saepius haec vox est restituenda.

CAPUT

CAPUT VI.

Cleombrotus rex in proelio cum Boeotiis ad Leuctra commisso cadit — Cleonymus cum Areo de regno certat, eoque privatus Pyrrhum in patriam inducit — Areo regnante Antigonus Demetrii fil. Athenienſibus bellum inſert, quibus Lacedaemonii Areo duce opem ferunt — Leonidas ſenex, cui regnum Lacedaem. obtigit, a Cleombroto illo privatur, et iterum rex creatur — de Cleomene Leonidae filio, ultimo Euryſthenis domus rege.

Ἀγησιπόλιδος δὲ ἄπαιδος τελευτήσαντος, ἐς Κλεόμβροτον περιῆλθεν ἡ ἀρχή. καὶ ὑπὸ ἡγεμόνι τούτῳ Βοιωτοὶ [1]) ἐναντία ἠγωνίσαντο ἐν Λεύκτροις. Κλεόμβροτος δὲ αὐτὸς γενόμενος ἀνὴρ ἀγαθὸς ἀρχομένης ἔτι ἔπεσε τῆς μάχης. μάλιστα δέ πως ἐπὶ παίσμασιν ἐθέλει μεγάλοις προαφαιρεῖσθαι τὸν ἡγεμόνα ὁ δαίμων· καθὰ δὴ καὶ Ἀθηναίων ἀπῆγεν Ἱπποκράτην τε τὸν Ἀρίφρονος στρατηγοῦντα ἐπὶ Δηλίῳ [2]), καὶ ὕστερον ἐν Θεσσαλίᾳ Λεωσθένην [3]). Κλεομβρότου δὲ ὁ μὲν πρεσβύτερος τῶν παίδων Ἀγησίπολις παρέσχετο μέγα οὐδὲν ἐς μνήμην· Κλεομένης δὲ ὁ νεώτερος μετὰ τὸν ἀδελφὸν τελευτήσαντα ἔσχε τὴν ἀρχήν. γενομένων δὲ αὐτῷ παίδων, Ἀκροτάτου, καὶ ἐπ᾽ αὐτῷ Κλεω-

1) Βοιωτοὶ] *Kuhn.* emendat Βοιωτοῖς, ut ſupplendum ſit οἱ Λακεδαιμόνιοι. Firmat hanc emendationem cum *Amaſaei* interpretatio, tum dictio ἐναντία ἀγωνίζεσθαι, μάχεσθαι, quae ſemper fere dativo jungitur. Ad rem. conf. Pauſan. L. IX. C. 6. et Diodor. Sic. L. XV. p. 369 — 371. ed. Wechel.

2) Ἱπποκράτην τε — ἐπὶ Δηλίῳ] Vid. Pauſ. L. IX. C. 6. et 20., nec non Thucyd. L. IV. ſ. 101.

3) Λεωσθένην] Vid. Pauſan. L. I. C. 1. et 25.

Κλεωνύμου, κατήγαγε τὸ χρεὼν [4]) Ἀκρότατον ἔτι
2 πρότερον ἢ αὐτὸν Κλεομένην. Καὶ ὡς Κλεομένης ἀπέ-
θανεν, ὕστερον εἰς ἀντιλογίαν ἀφίκοντο ὑπὲρ τῆς βα-
σιλείας Κλεώνυμός τε ὁ Κλεομένους, καὶ Ἀρεὺς ὁ
Ἀκροτάτου. δικάζουσιν οὖν οἱ γέροντες Ἀρεῖ τῷ
Ἀκροτάτου, καὶ οὐχὶ Κλεωνύμῳ πατρῴαν εἶναι τὴν
τιμήν. Κλεωνύμῳ δὲ ἀπελαθέντι τῆς βασιλείας πε-
ρισσῶς δή τι ὁ θυμὸς εἶλε [5]). καὶ αὐτὸν οἱ ἔφοροι καὶ
ἄλλοις γέρασι ψυχαγωγοῦντες καὶ ἐπὶ ταῖς δυνά-
μεσιν ἐφιστάντες ἄρχοντα παρῆγον, μή ποτε πολέμιον
γενέσθαι τῇ Σπάρτῃ. τέλος δὲ ὁ μὲν πολλά τε καὶ
ἐχθρὰ ἐς τὴν πατρίδα ἐτόλμησε, καὶ Πύρρον τὸν Αἰα-
3 κίδου σοφίσιν ἐπηγάγετο ἐς τὴν χώραν [6]). Ἀρέως δὲ
ἐν Σπάρτῃ τοῦ Ἀκροτάτου βασιλεύοντος, Ἀντίγονος ὁ
Δημητρίου πεζῷ τε καὶ ναυσὶν ἐπὶ Ἀθήνας στρατεύει.
τοῖς δὲ Ἀθηναίοις ἀμυνοῦντες ἀφίκοντο μὲν ὁ Αἰγυ-
πτίων ὁμοῦ Πατρόκλῳ στόλος [7]), ἐξίασι δὲ καὶ οἱ Λα-
κεδαιμόνιοι παυδημεί, τὸν βασιλέα ἡγεῖσθαί σφισιν
Ἄρεα ἐπιτάξαντες. περικαθημένου δὲ Ἀντιγόνου τὰς
Ἀθήνας καὶ τῆς ἐσόδου τῆς ἐς τὴν πόλιν τὰ Ἀθηναίων
συμμα-

4) κατήγαγε τὸ χρεὼν] *deorsum* (*ad inferos*) *duxit fatum.* Eandem vim habet haec dictio, quam crebrior illa in Pausania, κατέλαβε, ἐπέλαβε τὸ χρεών.

5) Κλεωνύμῳ — περισσῶς δή τι ὁ θυμὸς εἶλε] *Kuhn.* interpretatur: *ira Cleonymi non remisit modum.* Sed syntaxis vocis εἶλε, quae alias semper cum accusativo copulatur, τι non ad περισσῶς, sed ad θυμὸς εἶλε referri, postulat, ita ut cum *Sylb.* ista sic vertere possis: *Cleonymo — animus magnopere aliquid capessivit* (*molitus est*). Ex *Amas.* vero et *Loesch.* interpretatione: *Cleonymus — — indigne tulit*, conjicere licet, istos pro εἶλε legisse εἶχε, quae lectio mihi probatur.

6) νῦν Πύρρον — χώραν] Vid. Plutarchi vit. Pyrrhi s. 26. 27.

7) ὁ Αἰγυπτίων — στόλος] Conf. L. I. C. 1. init. et C. 7.

συμμάχικὰ εἴργον]ος, Πάτροκλος ἀποστέλλων ἀγγέλους, προέτρεπε Λακεδαιμονίους καὶ Ἀρέα ἄρχειν πρὸς Ἀντίγονον μάχης, ἐκείνων δὲ ἀρξάν]ων οὕτω καὶ αὐτὸς κατὰ νώτου τοῖς Μακεδόσιν ἔφασκεν ἐπικείσεσθαι· πρότερον δὲ οὐκ εἰκὸς εἶναι σφᾶς Αἰγυπτίους τε ὄν]ας καὶ ναύτας Μακεδόσιν ἐπιέναι πεζῇ. Λακεδαιμόνιοι μὲν δὴ παρακινδυνεύειν ὥρμην]ο Ἀθηναίων τε εὐνοίᾳ, καί τι καὶ ἄξιον μνήμης ἐς τοὺς ἔπειτα ἐργάσασθαι προθυμούμενοι. Ἀρεὺς δὲ, ὡς σφισι τὰ ἐπιτήδεια ἐξανήλωτο, ἀπῆγεν ὀπίσω τὴν στρατιάν· ταμιεύεσθαι γὰρ τὴν ἀπόνοιαν [8]) ἐς τὰ οἰκεῖα ἠξίου, καὶ μὴ ἀφειδῶς ἐπ' ἀλλοτρίοις ἀναρρίψαι. τοῖς δὲ Ἀθηναίοις ἀν]ισχοῦσιν ἐπὶ μακρότατον ἐποιήσατο Ἀντίγονος εἰρήνην, ἐφ' ᾧ τε σφίσιν ἐπαγάγῃ Φρουρὰν ἐς τὸ Μουσεῖον [9]). καὶ τοῖς μὲν ἀνὰ χρόνον αὐτὸς ἐξήγαγεν ἑκουσίως τὴν Φρουρὰν ὁ Ἀν]ίγονος. Ἀρέως δὲ ἐγίνετο υἱὸς Ἀκρότατος, τοῦ δὲ Ἀρεὺς, ὃς ὀκ]ὼ μάλιστα ἔτη γεγονὼς τελευτᾷ νόσῳ. Καὶ ἐλείπετο 4
γὰρ τῆς Εὐρυσθένους οἰκίας γένος τὸ πρὸς ἀνδρῶν, Λεωνίδας ὁ Κλεωνύμου, παν]άπασιν ἤδη γέρων· τούτῳ δὴ διδόασιν οἱ Λακεδαιμόνιοι τὴν ἀρχήν. τῷ δὲ Λεωνίδᾳ διάφορος ἐτύγχανεν ὢν ἐς τὰ μάλιστα Λύσανδρος, ἀπόγονος Λυσάνδρου τοῦ Ἀριστοκράτους [10]). οὗτος προσποιεῖται Κλεόμβροτον θυγατέρα ἔχον]α

8) τὴν ἀπόνοιαν] *desperatam pugnandi audaciam.* Isto significatu Pausanias saepius hac voce utitur, praecipue L. IV. Quam lectionem *Amasaeus* secutus sit, qui interpretatur: *quod erat opum reliquum*, divinare nequeo.

9) ἐπαγάγῃ — ἐς τὸ Μουσεῖον] Conf. L. I. C. 35. in fine.

10) Λυσάνδρου τοῦ Ἀριστοκράτους] Variat nomen patris Lysandri in Pausania. L. V. C. 6. est Ἀριστοκρίτους (Cod. Mosc. Ἀριστοκρίτου), et in reliquis locis,

ἔχοντα Λεωνίδου· τοῦτον δὲ οἰκειωσάμενος ἐπῆγε Λεωνίδᾳ καὶ ἄλλα ἐγκλήματα [11]), καὶ ὅρκους αὐτὸν Κλεωνύμῳ τῷ πατρὶ ὀμόσαι παῖδα ὄντα ἐπὶ ὀλέθρῳ τῆς Σπάρτης. ἐπαύθη τε δὴ Λεωνίδας βασιλείας, καὶ ἀντ' αὐτοῦ Κλεόμβροτος ἔσχε τὴν τιμήν [12]). εἰ μὲν δὴ ὁ Λεωνίδας ἐπέτρεψε τῷ θυμῷ, καὶ Δημαράτῳ τῷ Ἀρίστωνος κατὰ ταυτὰ ἀπεχώρησεν, ἤτοι παρὰ τὸν ἐν Μακεδονίᾳ βασιλεύοντα, ἢ τὸν Αἰγύπτιον, ὁ δὲ καὶ μεταγνόντων ἂν Σπαρτιατῶν ὤνατο οὐδέν. νῦν δὲ ἐπιβαλόντων οἱ φυγὴν τῶν πολιτῶν, ἀφίκετο ἐς Ἀρκαδίαν· ἐκεῖθεν δὲ ἔτεσιν ὕστερον οὐ πολλοῖς κατάγουσί τε αὐτὸν Λακεδαιμόνιοι, καὶ αὖθις βασιλέα ἐποιήσαντο. Κλεομένει δὲ τῷ Λεωνίδου τά τε ἄλλα ὁποῖα ἐς τόλμαν ὁμοῦ καὶ ἀνδρείαν ὑπῆρξεν, καὶ ὡς ἐπαύσαντο ἐξ ἐκείνου Σπαρτιάται βασιλευόμενοι, πρότερον ἔτι ἐδήλωσέ μοι τὰ ἐς τὸν Σικυώνιον Ἄρατον [13]). προσεπελάβετο δὲ ὁ λόγος μοι καὶ τρόπον, ὅντινα ἐν Αἰγύπτῳ Κλεομένης ἐτελεύτησεν. γένους μὲν δὴ τοῦ Εὐρυσθένους, καλουμένων δὲ Ἀγιαδῶν, Κλεομένης ὁ Λεωνίδου βασιλεὺς ὕστατος ἐγένετο ἐν Σπάρτῃ.

L. III. C. 8. bis, L. VI. C. 3., ſcribitur Ἀριστοκρίτου. Plutarcho Lyſ. ſ. 2. dicitur Ἀριστόκλειτος. Sed Palmerius Exerc. p. 199. duobus locis ex Anthologia, Ἀριστόκριτον verum nomen eſſe, demonſtrat. Lyſander Leonidae inimicus Plutarcho v. Agid. ſ. 6. dicitur ὁ Λίβυος.

11) τοῦτον δὲ οἰκειωσάμενος — ἐγκλήματα etc.] Cod. Vindob. τούτῳ δὲ οἰκειωσ. De re ipſa conf. Plutarch. v. Agid. ſ. 11. Mox pro αὐτὸν Κλεωνύμῳ Cod. Vind. habet αὐτῷ Κλεωνύμῳ.

12) τὴν τιμήν] Cod. Vind. recte dat τὴν ἀρχήν.

13) πρότερον ἔτι — Ἄρατον] Vid. L. II. C. 9.

CAPUT

CAPUT VII.

De altera regum Lacedaemon. domo, Proclidarum, dein Eurypontidarum — Prytanide regnante inter Lacedaem. et Argivos primae inimicitiae exoriuntur — Charillo regn. Laced. fines Argivorum devaſtant et Tegeatas invadunt — Nicandro regn. iterum vaſtatur Argolis — Theopompo regn. Laced. cum Argivis pugnant de Thyreatide — Anaxidama regn. Meſſenii denuo victi ex Peloponneſo ejiciuntur — de Ariſtone rege, ejusque VII. menſium filio Demarato — Leotychide rege — Archidamo rege Athenienſibus maxima mala inferente — Sthenelaïda belli Poloponneſiaci praecipuo auctore.

Τὰ δὲ ἐς τὴν οἰκίαν τὴν ἑτέραν τοιάδε ἥκουσα εἶναι. Προκλῆς ὁ Ἀριστοδήμου τὸ παιδίον ὄνομα τίθεται Σόον [1]). Εὐρυπῶντα δὲ τὸν Σόου φασὶν ἐς τοσοῦτον ἀφικέσθαι δόξης, ὡς καὶ τὴν οἰκίαν ταύτην Εὐρυπωντίδας ὄνομα ἀπ' αὐτοῦ λαβεῖν, Προκλείδας ἐς ἐκεῖνον καλουμένους. Εὐρυπῶντος δὲ υἱὸς γίνεται Πρύτανις. 2
ἐπὶ μὲν δὴ Πρυτάνιδος τοῦ Εὐρυπῶντος τὸ ἔχθος τε Λακεδαιμονίοις ἤρξατο τὸ ἐς Ἀργείους, καὶ ἔτι τοῦ ἐγκλήματος τούτου πρότερον Κυνουρεῦσιν ἐπολέμησαν [2]). τὰς δὲ ἐφεξῆς ταύτῃ γενεὰς, Εὐνόμου τε τοῦ Πρυτάνιδος καὶ Πολυδέκτου τοῦ Εὐνόμου [3]) βασιλευόντων, ἐν εἰρήνῃ διετέλεσεν οὖσα ἡ Σπάρτη. Χά- 3

1) τὸ παιδίον ὄνομα τίθεται Σ.] Haec verba omni ſtructurae nexu carent; quare *Kuhn.* bene emendavit τῷ παιδὶ ὄν. τ. Σ. Scilicet ſyllaba ον perperam duplicata mendo locum dedit.

2) τὸ ἔχθος τε — ἐπολ.] Vid. C. 2. hujus Libri.

3) Πολυδέκτου τοῦ Εὐνόμου] Proclidarum ſucceſſionem aliter digeſſit Herodot. L. VIII. ſ. 131., ubi vide Weſſeling. et Valkenarii notas.

ριλλος δὲ ὁ Πολυδέκτου τήν τε γῆν ἐδήωσεν Ἀργείοις (οὗτος γὰρ καίει τὴν Ἀργολίδα ἐσβαλών) [4]), καὶ ἔτεσιν οὐ πολλοῖς ὕστερον ὑπὸ ἡγεμόνι Χαρίλλῳ γίνεται καὶ ἡ Σπαρτιατῶν ἐπὶ Τεγεάτας ἔξοδος, ὅτε οἱ Λακεδαιμόνιοι Τεγεάτας αἱρήσειν ἤλπισαν καὶ ἀποτεμεῖσθαι τῆς Ἀρκαδίας τὸ Τεγεατῶν πεδίον, ὑπούλῳ μαντεύματι ἐπελθόντες [5]). Μετὰ δὲ Χαρίλλου τελευτήσαντα 4 Νίκανδρος ὁ Χαρίλλου διαδέχεται τὴν ἀρχήν· καὶ τὰ Μεσσηνίων ἐς Τήλεκλον τὸν τῆς ἑτέρας βασιλέα οἰκίας ἐν τῷ ἱερῷ τῆς Λιμνάδος [6]) συμβάντα ἐπὶ Νικάνδρου γίνεται βασιλεύοντος. ἐσέβαλε δὲ καὶ ἐς τὴν Ἀργολίδα ὁ Νίκανδρος στρατιᾷ, καὶ τὰ πολλὰ ἐκάκωσε τῆς χώρας. μετασχόντες δὲ Ἀσιναῖοι Λακεδαιμονίοις τοῦ ἔργου δίκην μετ' οὐ πολὺ Ἀργείοις ἀπέδοσαν σὺν μεγάλῳ πατρίδος τε ὀλέθρῳ καὶ φυγῇ τῇ σφε- 5 τέρα. Θεόπομπον δὲ τὸν Νικάνδρου βασιλεύσαντα μετὰ Νίκανδρον μέλλει καὶ αὖθίς μοι ὁ λόγος προσθήσειν προελθόντι ἐς τὴν Μεσσηνίαν συγγραφήν [7]). Θεοπόμπου δὲ ἔτι ἔχοντος τὴν ἀρχὴν ἐν Σπάρτῃ, γίνεται καὶ ὁ περὶ τῆς Θυρεάτιδος καλουμένης χώρας Λακεδαιμονίοις ἀγὼν πρὸς Ἀργείους. Θεόπομπος δὲ αὐτὸς οὐ μετέσχε τοῦ ἔργου γήρᾳ καὶ ὑπὸ λύπης τὸ πλέον· Ἀρχίδαμον γὰρ Θεοπόμπου ζῶντος ἔτι ἐπιλαμβά-

4) (οὗτος γὰρ καίει τὴν Ἀργ. ἐσβαλών)] Uterque Codex haud absurde exhibet οὗτος γὰρ καὶ ἐς τ. Ἀργ. ἐσβαλών, et paullo infra τὸ Τεγεατικὸν πεδίον pro τὸ Τεγεατῶν πεδ.

5) ὑπούλῳ μαντεύματι ἐπελθόντες] *Kuhn.* ex Herodoti L. V. f. 91. ἐπελθόντες mutandum censet in ἐπαρθέντες. Sed vulgata non minus commodam sententiam expromit. Oraculi effatum est in Herodoto L. I. f. 66., de quo vid. not. ad C. 3. hujus Libri.

6) τῆς Λιμνάδος] Vid. not. ad C. 2. hujus Libri.

7) ὁ λόγος — Μεσσηνίαν συγγραφήν] Vid. L. IV. C. 14. sq.

λαμβάνει τὸ χρεών. οὐ μὴν ἅπαις ἐτελεύτησεν ὁ Ἀρχίδαμος, Ζευξίδαμον δὲ ἀπολιπὼν υἱόν. Ζευξιδάμου δὲ Ἀναξίδαμος ὁ παῖς ἐκδέχεται τὴν ἀρχήν. Ἐπὶ 6
τούτου Μεσσήνιοι Φεύγουσιν ἐκ Πελοποννήσου πολέμῳ τὸ δεύτερον κρατηθέντες ὑπὸ Σπαρτιατῶν. Ἀναξιδάμου δὲ υἱὸς ἐγένετο Ἀρχίδαμος, Ἀρχιδάμου δὲ Ἀγασικλῆς. καί σφισιν ὑπῆρξεν ἀμφοτέροις τὸν βίον διατελέσαι πάντα ἐν ἡσυχίᾳ καὶ πολέμων οὖσιν ἐκτός. Ἀρίσωνι δὲ τῷ Ἀγασικλέους ἀγαγομένῳ γυναῖκα, 7
ἥντινα παρθένων μὲν τῶν ἐν Λακεδαίμονι εἶναί Φασιν αἰσχίστην, γυναικῶν δὲ τὸ εἶδος καλλίστην ὑπὸ Ἑλένης γενέσθαι [8]), ταύτην ἀγαγομένῳ τῷ Ἀρίσωνι ἐγένετο υἱὸς Δημάρατος ἐν μόνοις μησὶν ἑπτά. καὶ αὐτῷ μετὰ τῶν ἐφόρων καθημένῳ τηνικαῦτα ἐν βουλῇ ἦλθεν οἰκέτης ἀπαγγέλλων τετέχθαι οἱ παῖδα. Ἀρίσων δὲ ἐπῶν τῶν ἐν Ἰλιάδι [9]) ἐς τὴν Εὐρυσθέως γένεσιν πεποιημένος λήθην, ἢ μηδὲ τὴν ἀρχὴν συνεὶς αὐτῶν, οὐκ ἔΦη τῶν μηνῶν εἶναι καὶ αὐτοῦ τὸν παῖδα [10]).

8) ἥντινα — ὑπὸ Ἑλένης γενέσθαι] *quam, maxime deformem virginem, formosissimam mulierem ab Helena redditam esse dicunt. Amas.* perverse interpretatur: *omnium post Helenam forma praestantissimam.* Haec et sequentia copiose enarrat Herodot. L. VI. f. 61.

9) ἐπῶν τῶν ἐν Ἰλιάδι etc.] Vid. Il. T. v. 117. Mox pro μηδὲ τὴν ἀρχὴν Cod. Mosc. dat μηδὲ ἀρχήν.

10) οὐκ ἔΦη τῶν μηνῶν εἶναι καὶ αὐτοῦ τὸν παῖδα] In verbis τῶν μηνῶν εἶναι aliquid corrupti inesse videtur. Quare *Kuhn.* corrigendum esse conjecit: οὐκ ἔΦη τῶν μηνῶν ἕνεκα αὐτοῦ τὸν παῖδα, *menses quod attinet, non esse suum filium.* Cui Valkenar. assentitur ad Herodot. L. VI. f. 63., ex Pausaniae more εἵνεκα scribendum esse affirmans. Equidem ut aliter ista emendem, Herodoti narratione adducor. Ille L. VI. f. 63. et 69., Demaratum X. mensibus non exactis natum esse, refert, et Aristonem, mensium numero in digitis computato, filium

τοῦτον μὲν δὴ τῶν εἰρημένων [11]) μετάνοια ἔλαβεν ὕστερον. Δημάρατον δὲ βασιλεύοντα, καὶ τά τε ἄλλα εὐδοκιμοῦντα ἐν Σπάρτῃ, καὶ ἀπὸ τῶν Πεισιστρατιδῶν Κλεομένει συνελευθερώσαντα Ἀθηναίους, ἥ τε Ἀρίστωνος ἀγνωμοσύνη καὶ τὸ ἔχθος τὸ Κλεομένους ἐποίησεν ἰδιώτην. καὶ τοῦ μὲν παρὰ βασιλέα Δαρεῖον ἐλθόντος
8 ἐς Πέρσας ἐπὶ πολὺν ἐν τῇ Ἀσίᾳ χρόνον διαμεῖναι τοὺς ἀπογόνους φασί. Λεωτυχίδης δὲ ἀντὶ Δημαράτου γενόμενος βασιλεὺς μετέσχε μὲν Ἀθηναίοις καὶ Ἀθηναίων τῷ στρατηγῷ Ξανθίππῳ τῷ Ἀρίφρονος τοῦ ἔργου τοῦ πρὸς Μυκάλῃ, ἐστράτευσε δὲ ὕστερον τούτων καὶ ἐπὶ τοὺς Ἀλευάδας ἐς Θεσσαλίαν [12]). καί οἱ καταστρέψασθαι Θεσσαλίαν πᾶσαν ἐξὸν, ἅτε ἀεὶ νικῶντι ἐν ταῖς μάχαις, δῶρα ἔλαβε παρὰ τῶν Ἀλευαδῶν. ὑπαγόμενος δὲ ἐν Λακεδαίμονι ἐς δίκην ἔφυγεν ἐθελοντὴς ἐς Τέγεαν. καὶ ὁ μὲν αὐτόθι τὴν Ἀθηνᾶν τὴν Ἀλέαν ἱκέτευεν. Λεωτυχίδου δὲ ὁ μὲν παῖς Ζευξίδαμος, ζῶντος ἔτι Λεωτυχίδου, καὶ οὐ πεφευ-
9 γότος πω, τελευτᾷ νόσῳ. Ἀρχίδαμος δὲ ὁ Ζευξιδάμου

filium ſuum eſſe, negaſſe. Sic igitur in Pauſania numerum denarium per literam *ι* expreſſam a praecedente *ι* abſorptum excidiſſe et ita ſcribendum eſſe perſuaſum habeo: *οὐκ ἔφη τῶν μηνῶν εἶναι ι νῦν αὐτοῦ τὸν παῖδα*, *non eſſe X. menſium hunc puerum, eumque ſuum.* Numerorum per literas expreſſorum exempla in Pauſania paſſim ſunt obvia, uti L. VI. C. 15. et L. V. C. 9. in fine. Pro *αὐτοῦ* mallem *αὑτοῦ*, ſicuti C. 8. *ὡς οὐχ αὑτοῦ νομίζει Λεωτυχ.*

11) *τοῦτον μὲν δὴ τῶν εἰρ.*] Codex Vind. habet *τούτων μὲν δὴ τ. εἰρ.*

12) *ἐπὶ τοὺς Ἀλευάδας ἐς Θ.*] De vetere et nobiliſſima *Aleuadarum* familia, quae Lariſſae in Theſſalia viguit, vid. Timaei Lex. et ibi Ruhnken. V. C. p. 22. ac Valkenar. ad Herodot. L. VII. ſ. 6. Conf. Diodor. L. XV. p. 374. L. XVI. p. 418. ed. Wechel. et Suid. h. v. De Leotychidae expeditione etc. vid. Herodot. L. VI. ſ. 72.

μου μετὰ Λεωτυχίδην ἀπελθόντα ἐς Τέγεαν ἔσχε τὴν ἀρχήν. οὗτος Ἀρχίδαμος Ἀθηναίοις μάλιστα ἐκάκωσε τὴν χώραν· στρατῷ δὲ ἐσβάλλων ἐς γῆν τὴν Ἀττικὴν ἀνὰ πᾶν ἔτος καὶ, ὁπότε ἐσβάλοι, διὰ πάσης ἐπεξήει φθείρων, καὶ Πλαταιέων Ἀθηναίοις ὄντων εὔνων πολιορκίᾳ τὸ ἄστυ εἷλεν. οὐ μὴν τὸν πόλεμόν γε τὸν Πελοποννησίων [13]) καὶ Ἀθηναίων γενέσθαι συνέσπευσεν, ἀλλὰ καὶ ἐς ὅσον δυνάμεως ἦκε, διαμεῖναί σφισιν ἔπρασσε τὰς σπονδάς. Σθενελαΐδας δὲ ἔς τε ἄλλα ὢν οὐκ ἀδύνατος ἐν Λακεδαίμονι καὶ ἐφορεύων ἐν τῷ τότε τοῦ πολέμου μάλιστα ἐγένετο αἴτιος. καὶ ὁ πόλεμος οὗτος εὖ τὴν Ἑλλάδα ἔτι βεβηκυῖαν διέσεισεν ἐκ βάθρων, καὶ ὕστερον Φίλιππος ὁ Ἀμύντου σαθρὰν ἤδη καὶ οὐ παντάπασιν ὑγιῆ προσκατήριψεν [14]) αὐτήν.

CAPUT VIII.

De Cynisca, Archidami filia — Agide regnante Lacedaemonii ab Eleis Olympicis ludis prohibiti iis bellum inferunt, quod tertio anno componitur — Athenienses invadunt et ad Aegospotamos vincunt — Agis Leotychiden non agnoscit filium — Agesilaus regno privat Leotychiden.

Ἀρχιδάμου δὲ, ὡς ἐτελεύτα, καταλιπόντος παῖδας, Ἄγις τε πρεσβύτερος ἦν ἡλικίᾳ, καὶ παρέλαβεν ἀντὶ Ἀγησιλάου τὴν ἀρχήν. ἐγένετο δὲ Ἀρχιδάμῳ καὶ θυγάτηρ, ὄνομα μὲν Κυνίσκα, φιλοτιμώτατα δὲ ἐς

13) τὸν Πελοπονν.] Cod. Mosc. bene exhibet τῶν Π. 14) προσκατήριψεν] Cod. Vind. προσκατέρριψεν.

τὸν ἀγῶνα ἔσχε τὸν Ὀλυμπιακὸν, καὶ πρώτη τε[1]) ἱπποτρόφησε γυναικῶν, καὶ νίκην ἀνείλετο Ὀλυμπιακὴν πρώτη. Κυνίσκας δὲ ὕστερον γυναιξὶ καὶ ἄλλαις καὶ μάλιστα ταῖς ἐκ Μακεδονίας[2]) γεγόνασιν Ὀλυμπιακαὶ νῖκαι, ὧν ἡ ἐπιφανεστέρα ἐς τὰς νίκας ἐστὶν αὐτῆς[3]). δοκοῦσι δὲ οἱ Σπαρτιάται μοι ποίησιν καὶ ἔπαινον τὸν ἀπ' αὐτῆς ἥκιστα ἀνθρώπων[4]) θαυμάσαι. ὅτι γὰρ μὴ τῇ Κυνίσκᾳ τὸ ἐπίγραμμα ἐποίησεν ὅσις δὴ, καὶ ἔτι πρότερον Παυσανίᾳ τὸ ἐπὶ τρίποδι Σιμωνίδης τῷ ἀνατεθέντι ἐς Δελφοὺς, ἄλλο δή γε παρὰ ἀνδρὸς ποιητοῦ Λακεδαιμονίων τοῖς βασιλεῦσιν οὐδέν
2 ἐστιν ἐς μνήμην[5]). Ἐπὶ δὲ Ἄγιδος τοῦ Ἀρχιδάμου βασιλεύοντος Λακεδαιμονίοις ἄλλα τε ἐγένετο ἐς Ἠλείους

1) Κυνίσκα — καὶ πρώτη τε etc.] Idem legimus L. III. C. 15. init. Conf. Plutarch. Ageſil. f. 20. et Pauſ. L. V. C. 12. et L. VI. C. 1.

2) Μακεδονίας] In Codice Vind. huic voci ſupraſcriptum eſt Λακεδαιμο. Has voces ob ſoni et literarum M ac ΛΑ ſimilitudinem facile inter ſe permutari, libri ſcripti paſſim oſtendunt. Equidem hic praeferrem Λακεδαίμονος, quum credibilius ſit, ex dura Laconum diſciplina ejusmodi feminas proceſſiſſe, quam ex Macedonia.

3) ὧν ἡ ἐπιφανεστέρα ἐς τὰς νίκας ἐστὶν αὐτῆς] Vix erit, quo αὐτῆς referre poſſis. *Amaſ.* ita vertit, ut legiſſe videatur αὐτὴ, ſcil. Κυνίσκα. *Kuhn.* in αὐτῆς nomen illius feminae, quae aliis victoriae nomine praeſtiterit, latere putat, forte Αὐδᾶτις vel aliud ſimile; cui conjecturae lectio monſtroſa Codicis Vindob. quodammodo favere poſſit, quae ſic ſe habet: ὧν ἡ ἐπιφανεστέρα ἐς τὰς δίκας ὠδή ἐστιν αὐτῆς.

4) τὸν ἀπ' αὐτῆς ἥκιστα ἀνθρώπων] Cod. Vind. τὸν ἐπ' αὐτῆς ἥκιστ' ἂν ἀνθρ, et paullo infra ὅσις δή ποτε pro ὅσις δή.

5) ἄλλο δή γε — ἐς μνήμην] Forte ἄλλου legere praeſtet. Quum Pauſanias de regum tantum memoria carminibus praedicata hic loquatur, omittere potuit Simonidis epigramma ſepulcro Lacedaemoniorum ad Thermopylas caeſorum inſcriptum, quod ab Herodoto ſervatum L. VII. f. 228. a Pauſania quoque memoratur L. IX. C. 2.

Ἠλείους ἐγκλήματα, καὶ τοῦ ἀγῶνος τοῦ Ὀλυμπιακοῦ καὶ ἱεροῦ τοῦ Ὀλυμπιάσιν [6]) ὑπ' αὐτῶν εἰργόμενοι μάλιστα ἤχθοντο. ἀποστέλλουσιν οὖν κήρυκα ἐπίταγμα φέροντα Ἠλείοις, Λεπρεάτας τε αὐτονόμους ἀφιέναι, καὶ ὅσοι τῶν περιοίκων ἄλλοι σφίσιν ἦσαν ὑπήκοοι. ἀποκριναμένων δὲ Ἠλείων, ὡς, ἐπειδὰν τὰς περιοικίδας τὰς παρὰ τῇ πόλει ἴδωσιν ἐλευθέρας, οὐδὲ αὐτοὶ μελλήσουσιν ἔτι ἀφιέναι τὰς ἑαυτῶν, οὕτω Λακεδαιμόνιοι καὶ ὁ βασιλεὺς Ἄγις ἐσβάλλουσιν ἐς τὴν Ἠλείαν. τότε μὲν δὴ τοῦ θεοῦ σείσαντος, ὀπίσω τὸ στράτευμα ἀπεχώρησεν ἄχρις Ὀλυμπίας καὶ τοῦ Ἀλφειοῦ προελθόντες [7]). τῷ δὲ ἑφεξῆς ἔτει τήν τε χώραν ἐδήωσεν ὁ Ἄγις καὶ ἥλασε τῆς λείας τὴν πολλήν. Ξενίας δὲ ἀνὴρ Ἠλεῖος Ἀγιδί τε ἰδία ξένος καὶ Λακεδαιμονίων τοῦ κοινοῦ πρόξενος ἐπανέστη τῷ δήμῳ σὺν τοῖς τὰ χρήματα ἔχουσι· πρὶν δὲ Ἄγιν καὶ τὸν στρατὸν ἀφῖχθαί σφισιν ἀμύνοντας, Θράσυδρος [8]) προεσηκὼς τότε τοῦ Ἠλείων δήμου, μάχῃ Ξενίαν καὶ τοὺς σὺν αὐτῷ κρατήσας, ἐξέβαλεν ἐκ τῆς πόλεως. Ἄγις δὲ ὡς ἀπήγαγεν ὀπίσω τὴν στρατιὰν, Λυσίστρατον Σπαρτιάτην καὶ μοῖράν τε τῆς δυνάμεως καὶ Ἠλείων καταλείπει τοὺς φυγάδας, κακουργεῖν σφᾶς ὁμοῦ Λεπρεάταις τὴν χώραν. τρίτῳ δὲ ἔτει τοῦ πολέμου Λακεδαιμόνιοι μὲν καὶ Ἄγις παρεσκευάζοντο ὡς ἐς τὴν Ἠλείαν καὶ τότε ἐσβαλοῦντες· οἱ δὲ Ἠλεῖοι καὶ

6) ἱεροῦ τοῦ Ὀλυμπ.] Cod. Vind. ἱεροῦ τοῦ ἐν Ὀλυμπ. De hoc bello cum Eleis gesto vid. Xenoph. Hist. Gr. L. III. C. 11. 21. et Thucyd. L. V. s. 49. 50.

7) προελθόντες] *cum jam processissent.* Vel absolute sumendum, vel ad στράτευμα referendum est, ni legere malis προελθόν.

8) Θράσυδρος] Cod. Mosc. Θράσυδος. Xenoph. Hist. Gr. l. c. scribit Θρασυδαῖος.

Θράσυδρος (κεκακωμένοι γὰρ ἐς τὸ ἔσχατον ἦσαν) συγχωροῦσι, μήτε τῶν περιοίκων ἔτι ἄρχειν, καὶ τοῦ ἄστεως καταῤῥῖψαι τὸ τεῖχος, Λακεδαιμονίους τε ἐν Ὀλυμπίᾳ καὶ θύειν τῷ θεῷ, καὶ τὸν ἀγῶνα ἐξεῖναί
3 σφισιν ἀγωνίσασθαι. Ἐνέβαλε δὲ καὶ ἐς τὴν Ἀττικὴν συνεχῶς ὁ Ἄγις στρατείᾳ [9]), καὶ ἐπετείχισε Φρούριον Ἀθηναίοις τὸ ἐν Δεκελείᾳ· καταλυθέντος δὲ ἐν Αἰγὸς ποταμοῖς τοῦ Ἀθηναίων ναυτικοῦ, Λύσανδρος ὁ Ἀριστοκρίτου [10]) καὶ Ἄγις ὅρκους μὲν θεῶν ὑπερέβησαν, οὓς ὤμοσαν Ἀθηναίοις ἐν κοινῷ Λακεδαιμόνιοι· κατὰ σφᾶς δὲ αὐτοὶ καὶ οὐ μετὰ Σπαρτιατῶν τοῦ κοινοῦ τὸ βούλευμα ἐς τοὺς συμμάχους ἐξήνεγκαν, ἐκκόψαι προῤῥίζους τὰς Ἀθήνας. τὰ μὲν οὖν ἐς πόλεμον μάλιστα ἐπίσημα τοιαῦτα ὑπῆρχε τῷ Ἀγιδι.
4 Προπέτειαν δὲ τὴν Ἀρίστωνος ἐς Δημάρατον καὶ Ἄγις ἐς τὸν παῖδα ἔσχε Λεωτυχίδην, καί οἱ κατά τινα οὐκ ἀγαθὸν δαίμονα ἐσῆλθεν ἐς ἐπήκοον τῶν ἐφόρων εἰπεῖν, ὡς οὐχ αὐτοῦ νομίζοι Λεωτυχίδην [11]). ἐπέλαβε μέν τοι καὶ Ἄγιν μετάνοια ὕστερον, καὶ (ἔφερον γὰρ τηνικαῦτα οἴκαδε ἐξ Ἀρκαδίας αὐτὸν νοσοῦντα) ὡς ἐγίνετο ἐν Ἡραίᾳ, καὶ τὸ πλῆθος μάρτυρας ἐποιεῖτο, ἢ μὴν Λεωτυχίδην ἑαυτοῦ παῖδα ἡγεῖσθαι, καί σφισι σὺν ἱκεσίᾳ τε καὶ δακρύοις ἐπέσκηπτε πρὸς Λακεδαιμονίους ταῦτα ἀπαγγέλλειν [12]).
5 Μετὰ δὲ Ἄγιν ἀποθανόντα ἀπήλαυνεν Ἀγησίλαος τῆς βασιλείας Λεωτυχίδην, ἐς μνήμην ἄγων Λακεδαιμονίοις

9) στρατείᾳ] Scribendum στρατιᾷ, *exercitu*. Sic C. 7. ἐσέβαλεν στρατιᾷ.

10) ὁ Ἀριστοκρίτου] Vid. not. ad C. 6.

11) Λεωτυχίδην] Alcibiadis filius ex Timaea, Agidis uxore, ferebatur. Vid. Plutarch. Agesil. f. 3., Alcibiad. f. 23. in fine et Lysandr. f. 22.

12) ἀπαγγέλλειν] Cod. Vind. et Mosc. ἐπαγγέλλειν.

μονίοις τὰ ὑπὸ Ἄγιδός ποτε λεχθέντα ἐς τὸν Λεωτυχίδην. ἀφίκοντο δὲ καὶ οἱ ἐξ Ἠραίας Ἀρκάδες, καὶ ἦσαν τῷ Λεωτυχίδῃ μάρτυρες, ὁπόσα Ἄγιδος τελευτῶντος ἤκουσαν. τῷ δὲ Ἀγησιλάῳ καὶ Λεωτυχίδῃ παρέσχεν ἐς πλέον τὸ μάντευμα ἀντιλογίαν τὸ ἐκ Δελφῶν [13]), γεγονὸς μὲν ἐκεῖ, ἔχον δὲ οὕτω·

Φράζεο δὴ, Σπάρτη, καί περ μεγάλαυχος ἐοῦσα,
Μὴ σέθεν ἀρτίποδος βλάψῃ [14]) χωλὴ βασιλεία.
Δηρὸν γὰρ μόχθοι [15]) σε κατασχήσουσιν ἄελπτοι,
Φθερσίβροτόν [16]) τ' ἐπὶ κῦμα κυκωμένου [17]) πολέμοιο.

τότε οὖν Λεωτυχίδης μὲν ἐς Ἀγησίλαον ταῦτα ἔφασκεν εἰρῆσθαι· τὸν γὰρ δὴ ἕτερον τῶν ποδῶν ἐπεπήρωτο ὁ Ἀγησίλαος. Ἀγησίλαος δὲ ἐς Λεωτυχίδην αὐτὰ ἔτρεπεν οὐ γνήσιον ὄντα Ἄγιδος. Λακεδαιμόνιοι δὲ, καί περ ἐνὶ σφίσιν ὂν, οὐκ ἐπανήγαγον τὸ ἀμφισβήτημα ἐς Δελφούς· αἴτιος δ', ἐμοὶ δοκεῖ, Λύσανδρος ἐγένετο ὁ Ἀριστοκρίτου συσπεύδων ἐξάπαντος τὴν βασιλείαν οἱ γενέσθαι.

13) τὸ μάντευμα — τὸ ἐκ Δελφῶν] Illud bis exstat in Plutarcho Agesil. f. 3. et Lysandr. f. 22. cum nonnullis variantibus, de quibus ac de oraculi interpretatione videndi interpretes ad Plutarch. l. c.

14) βλάψῃ] Libri scripti βλάσῃ in Plut. Ages. exhibent.

15) μόχθοι] In Plut. Ages. est νοῦσοι.

16) Φθερσίβροτόν] Cod. Mosc. Φθερσίμβροτόν et Plutarch. Φθισίβροτον.

17) κυκωμένου] Plutarch. κυλινδόμενον.

CAPUT

CAPUT IX.

Ageſilao regnante Lacedaemonii in Aſiam contra Artaxerxem trajicere decernunt, et ceteras Graeciae civitates in ſocietatem belli vocant — Ageſilaus Aulidem devehitur, dein Lydiam invadit, ac Perſas proelio vincit — Artaxerxes Timocratem in Graeciam cum pecunia mittit, ut Graecos ad bellum contra Lacedaemonios ſuscipiendum ſollicitet — Lacedaem. bellum contra Thebanos decernunt — bellum Corinthiacum geritur et Ageſilaus exercitum ex Aſia reducit — Thebanos ad Coroneam vincit.

Βασιλεύει τε δὴ Ἀγησίλαος ὁ Ἀρχιδάμου, καὶ Λακεδαιμονίοις ἤρεσε διαβῆναι ναυσὶν ἐς τὴν Ἀσίαν [1]) Ἀρταξέρξην τὸν Δαρείου αἱρήσοντας. ἐδιδάσκοντο γὰρ ὑπό τε ἄλλων τῶν ἐν τέλει, καὶ μάλιστα ὑπὸ Λυσάνδρου, μὴ τὸν Ἀρταξέρξην σφίσιν ἐν τῷ πρὸς Ἀθηναίους πολέμῳ, Κῦρον δὲ εἶναι τὸν τὰ χρήματα διδόντα ἐς τὰς ναῦς. Ἀγησίλαος δὲ (ἀπεδείχθη γὰρ διαβιβάσαι τε ἐς τὴν Ἀσίαν τὸν στρατὸν, καὶ δυνάμεως ἡγεμὼν τῆς πεζῆς) περιέπεμπεν ἔς τε Πελοπόννησον, πλὴν Ἄργους, καὶ ἐς τοὺς Ἕλληνας τοὺς ἐκτὸς Ἰσθμοῦ, συμμαχεῖν σφίσιν ἐπαγγέλλων. Κορίνθιοι μὲν οὖν, καί περ ἐς τὰ μάλιστα ἔχοντες προθύμως μετασχεῖν τοῦ ἐς τὴν Ἀσίαν στόλου, κατακλυσθέντος [2]) σφίσιν ἐξαίφνης ναοῦ Διὸς ἐπίκλησιν Ὀλυμπίου, ποιησάμενοι πονηρὸν οἰωνὸν, καταμένουσιν ἄκοντες. Ἀθηναίοις δὲ ἦν μὲν ἡ πρόφασις, ἐκ τοῦ Πελοποννησίων πολέμου

1) ἤρεσε διαβῆναι ν. ἐς τ. Ἀσίαν etc.] De hac expeditione vid. Xenoph. Hellen. L. III. IV. et Diodor. L. XIV. p. 297. ſq.

2) κατακλυσθέντος] Camerar. legendum putat κατακαυθέντος.

μου καὶ ἐκ νόσου τῆς λοιμώδους ἐπανήκειν τὴν πόλιν ἐς τὴν πρότερόν ποτε οὖσαν εὐδαιμονίαν [3])· πυνθανόμενοι δὲ δι' ἀγγέλων, ὡς Κόνων ὁ Τιμοθέου παρὰ βασιλέα ἀναβέβηκὼς εἴη, κατὰ τοῦτο ἡσύχαζον μάλιστα. ἀπεστάλη δὲ καὶ ἐς Θήβας πρεσβεύειν Ἀριστομενίδας, μητρὸς μὲν τῆς Ἀγησιλάου πατὴρ, Θηβαίοις δὲ εἶχεν ἐπιτηδείως, καὶ ἐγεγόνει τῶν δικαστῶν, οἳ [4]) Πλαταιεῦσιν ἁλόντος τοῦ τείχους ἀποθανεῖν τοὺς ἐγκαταληφθέντας ἔγνωσαν. Θηβαῖοι μὲν οὖν κατὰ τὰ αὐτὰ Ἀθηναίοις ἀπείπαντο, οὐ φάμενοι βοηθήσειν. Ἀγη- 2
σίλαος δὲ, ὡς αὐτῷ τά τε οἰκόθεν καὶ παρὰ τῶν συμμάχων τὸ στράτευμα ἤθροιστο, καὶ ἅμα αἱ νῆες εὐτρεπεῖς ἦσαν, ἀφίκετο ἐς Αὐλίδα τῇ Ἀρτέμιδι θύσων, ὅτι καὶ Ἀγαμέμνων ἐνταῦθα ἱλασάμενος τὴν θεὸν τὸν ἐς Τροίαν στόλον ἤγαγεν. ἠξίου δὲ ἄρα ὁ Ἀγησίλαος πόλεώς τε εὐδαιμονεστέρας, ἢ Ἀγαμέμνων, βασιλεὺς εἶναι, καὶ ἄρχειν τῆς Ἑλλάδος πάσης ὁμοίως ἐκείνῳ, τό τε κατόρθωμα ἐπιφανέστερον ἔσεσθαι, βασιλέα κρατήσαντα Ἀρταξέρξην εὐδαιμονίαν κτήσασθαι τὴν Περσῶν, ἢ ἀρχὴν καθελεῖν τὴν Πριάμου. θύοντος δὲ αὐτοῦ, Θηβαῖοι σὺν ὅπλοις ἐπελθόντες τῶν τε ἱερείων καιόμενα ἤδη τὰ μηρία ἀπορρίπτουσιν ἀπὸ τοῦ βωμοῦ, καὶ αὐτὸν ἐξελαύνουσιν ἐκ τοῦ ἱεροῦ. Ἀγησίλαον δὲ ἐλύπει μὲν ἡ θυσία μὴ τελεσθεῖσα, διέβαινε δὲ ὅμως ἐς τὴν Ἀσίαν, καὶ ἤλαυνεν ἐπὶ τὰς Σάρδεις. Ἦν 3
γὰρ δὴ τῆς Ἀσίας τῆς κάτω μέγιστον μέρος τηνικαῦτα ἡ Λυδία, καὶ αἱ Σάρδεις πλούτῳ τε καὶ παρασκευῇ προ-

3) Ἀθηναίοις — εὐδαιμονίαν] *Athenienſibus cauſa ceſſandi fuit, ut poſt belli Peloponneſiaci et peſtis calamitates ad priſtinam felicitatem redire poſſent.* Quare cum *Sylb.* ſcribere οὔπω ἀνήκειν minime neceſſarium eſt.

4) τῶν δικαστῶν, οἳ etc.] Vid. Thucyd. L. III. f. 52.

προεῖχον· τῷ τε σατραπεύοντι ἐπὶ θαλάσσῃ τοῦτο οἰκητήριον ἀπεδέδεικτο, καθάπερ γε αὐτῷ βασιλεῖ τὰ Σοῦσα. γενόμενης δὲ πρὸς Τισσαφέρνην σατράπην τῶν περὶ Ἰωνίαν μάχης ἐν Ἕρμου πεδίῳ [5]), τήν τε ἵππον τὴν Περσῶν ἐνίκησεν ὁ Ἀγησίλαος καὶ τὸ πεζὸν τότε πλεῖστον ἀθροισθὲν μετά γε τὸν Ξέρξου καὶ πρότερον ἔτι ἐπὶ Σκύθας Δαρείου καὶ ἐπὶ Ἀθήνας στρατόν. Λακεδαιμόνιοι δὲ ἀγασθέντες τὸ ἐς τὰ πράγματα τοῦ Ἀγησιλάου πρόθυμον, διδόασιν ἄρχοντα εἶναι καὶ τῶν νεῶν αὐτῶν [6]). ὁ δὲ ταῖς μὲν τριήρεσιν ἐπέστησεν ἡγεμόνα Πεισανδρον (τοῦ Πεισάνδρου δὲ ἐτύγχανε συνοικῶν ἀδελφῇ), τῷ πολέμῳ δὲ αὐτὸς κατὰ γῆν προσεῖχεν ἐρρωμένως. καί οἱ θεῶν τις ἐβάσκηνε,
4 μὴ ἀγαγεῖν τὰ βουλεύματα ἐς τέλος. Ὡς γὰρ δὴ ἐπύθετο Ἀρταξέρξης μάχας τε, ἃς ἐνίκησεν Ἀγησίλαος, καὶ ὡς τὸ πρόσω [7]) χειρούμενος τὰ ἐν ποσὶ πρόσισιν ἀεὶ σὺν τῷ στρατῷ, Τισσαφέρνην μὲν, καί περ τὰ πρότερα εὐεργέτην ὄντα, ζημιοῖ θανάτῳ, Τιθραύστην [8]) δὲ κατέπεμψεν ἐπὶ θάλασσαν, καὶ φρονῆσαί τε δεινὸν [9]), καί τι καὶ ἐς τοὺς Λακεδαιμονίους ἔχοντα δυσνοίας.

5) ἐν Ἕρμου πεδίῳ] Loescher. *in campo Mercurii*, Amas. rectius *in Hermi campo*. De *Hermi*, fluvii, *campis* vid. Strab. L. XIII. p. 928. 929. et Plin. H. N. L. V. C. 29. p. 280.

6) τῶν νεῶν αὐτῶν] *Kuhn.* bene emendat αὐτόν.

7) καὶ ὡς τὸ πρόσω etc.] Mallem καὶ ὡς ἐς τὸ πρόσω etc.

8) Τιθραύστην] Cod. Mosc. Τιθραύγην. Pro Τιθραύστην, quod in vulgatis fuit, *Sylb.* reposuit Τιθραύστην ex Xenoph., Plutarcho, Diodoro, Herodoto et Suida.

9) φρονῆσαί τε δεινὸν etc.] *ad recte sentiendum et deliberandum idoneum*, h. e. *acri ingenio*. Sed forte φρονῆσαι a sequenti ἔχοντα pendere possit, ita ut ἔχοντα pro ὀυ.άμενον, et δεινὸν pro δεινῶς positum sit. Sic sententia esset: *qui cum infesto animo ferri poterat, tum in Lacedaemonios jam male affectus erat.*

θυσιολας. οὗτος ὡς ἀφίκετο ἐς Σάρδεις, αὐτίκα ἐπενόει τρόπον, ᾧ τινι ἀναγκάσει Λακεδαιμονίους τὴν ἐκ τῆς Ἀσίας ἀνακαλέσασθαι στρατιάν. ἄνδρα οὖν Ῥόδιον Τιμοκράτην [10]) ἐς τὴν Ἑλλάδα πέμπει χρήματα ἄγοντα, ἐντειλάμενος πόλεμον ἐν τῇ Ἑλλάδι ἐργάσασθαι Λακεδαιμονίοις. οἱ δὲ τῶν χρημάτων μεταλαβόντες Ἀργείων μὲν Κύλων [11]) τε εἶναι λέγονται καὶ Σωδάμας, ἐν Θήβαις δὲ Ἀνδροκλείδης [12]) καὶ Ἰσμηνίας καὶ Ἀμφίθεμις· μετέσχε δὲ καὶ Ἀθηναῖος Κέφαλος καὶ Ἐπικράτης, καὶ ὅσοι Κορινθίων ἐφρόνουν τὰ Ἀργείων, Πολυάνθης τε καὶ Τιμόλαος. οἱ δὲ ἐς τὸ φανερὸν τοῦ πολέμου παρασχόντες τὴν ἀρχὴν ἐγένοντο οἱ ἐξ Ἀμφίσσης Λοκροί. τοῖς γὰρ δὴ Λοκροῖς ἡ πρὸς τοὺς Φωκέας ἐτύγχανεν οὖσα ἀμφισβητήσιμος γῆ [13]). ἐκ ταύτης ὑπὸ Θηβαίων ἐπαρθέντες τῶν περὶ Ἰσμηνίαν τόν τε σῖτον ἀκμάζοντα ἔτεμον καὶ ἤλασαν λείαν ἄγοντες. ἐνέβαλον δὲ παυδημεὶ καὶ οἱ Φωκεῖς ἐς τὴν Λοκρίδα, καὶ ἐδήωσαν τὴν χώραν. ἐπηγάγοντο οὖν οἱ Λοκροὶ συμμάχους Θηβαίους, καὶ τὴν Φωκίδα ἐπόρθησαν. Ἐς δὲ τὴν Λακεδαίμονα ἐλθόντες οἱ Φωκεῖς τοῖς Θηβαίοις ἐπέκειντο, καὶ ἐδίδασκον, οἷα ἐπεπόνθεσαν ὑπ' αὐτῶν· Λακεδαιμονίοις δὲ πόλεμον πρὸς Θηβαίους ἔδοξεν ἄρασθαι. ἐποιοῦντο

10) Τιμοκράτην] Reposui ex Cod. Mosc. et Xenoph. L. III. C. 5. 1. pro Τιμοκράτη. Plutarch. Artax. f. 20. Ἑρμοκράτην exhibet.

11) Κύλων] Cod. Vind. Κύκλων, sicuti etiam Xenoph. Hellen. L. III. C. 5. 1. hoc nomen habet.

12) Ἀνδροκλείδης] Cod. Mosc. Ἀνδροκίδης. Mox loco Ἀμφίθεμις in Xenoph. l. c. est Γαλαξίδωρος, et in Plutarchi Lysandr. f. 27. Ἀμφίθεος, de quo vid. Schneid. V. C. ad Xenoph.

13) γῆ] In utroque Codice abest. De re ipsa vid. Xenoph. Hellen. L. III. C. 5. 3., ubi vid. Schneider. V. C.

το δὲ ἐς αὐτοὺς καὶ ἄλλα ἐγκλήματα, καὶ τὴν ἐν Αὐλίδι αὐτῶν ὕβριν ἐς τὴν Ἀγησιλάου θυσίαν. Ἀθηναῖοι δὲ τὴν διάνοιαν τῶν Λακεδαιμονίων προπεπυσμένοι πέμπουσιν ἐς Σπάρτην, ὅπλα μὲν σφᾶς ἐπὶ Θήβας δεόμενοι μὴ κινῆσαι, δίκῃ δὲ ὑπὲρ ὧν ἐγκαλοῦσιν διακρίνεσθαι· Λακεδαιμόνιοι δὲ πρὸς ὀργὴν ἀποπέμπουσιν τὴν πρεσβείαν. τὰ δὲ ἐπὶ τούτοις ἔς τε τὴν Λακεδαιμονίων ἔξοδον καὶ τὰ ἐς τὴν Λυσάνδρου τελευτὴν ἐδήλωσέ μοι τοῦ λόγου τὰ ἐς Παυσανίαν [14]).

6 Καὶ ὁ κληθεὶς Κορινθιακὸς πόλεμος ἐς πλέον ἀεὶ προῆλθεν ἀπὸ τῆς Λακεδαιμονίων ἀρξάμενος ἐς Βοιωτίαν ἐξόδου. κατὰ ταύτην μὲν δὴ τὴν ἀνάγκην ὀπίσω τὸ στράτευμα ἐκ τῆς Ἀσίας ἀπῆγεν Ἀγησίλαος. ἐπεὶ δὲ ἐξ Ἀβύδου περαιωθεὶς ναυσὶν ἐς Σηστὸν καὶ διεξελθὼν τὴν Θρᾴκην ἀφίκετο ἐς Θεσσαλίαν, ἐνταῦθα οἱ Θεσσαλοὶ χάριτι τῇ ἐς Θηβαίους τοῦ πρόσω τὸν Ἀγησίλαον ἐπειρῶντο εἴργειν· ἦν δέ τι εὐνοίας ἐκ παλαιοῦ

7 καὶ ἐς τὴν πόλιν αὐτοῖς τὴν Ἀθηναίων. Ἀγησίλαος δὲ Θεσσαλίαν τε διεξῆλθε, τρεψάμενος αὐτῶν τὸ ἱππικόν, καὶ αὖθις διὰ Βοιωτῶν διώδευσε, Θηβαίους ἐν Κορωνείᾳ καὶ τὸ ἄλλο νικήσας συμμαχικόν. ὡς δὲ ἐτράποντο οἱ Βοιωτοί, καταφεύγουσιν ἄνδρες ἐξ αὐτῶν ἐς ἱερὸν Ἀθηνᾶς ἐπίκλησιν Ἰτωνίας. Ἀγησίλαος δὲ εἶχε μὲν τραῦμα ἐκ τῆς μάχης· ἐς δὲ τοὺς ἱκέτας παρενόμησεν οὐδ' οὕτως.

14) τὰ ἐς Παυσανίαν] Vid. supra C. 5.

CAPUT

CAPUT X.

Ageſilaus denuo cum exercitu Corinthum venit, et Amyclaeenſes dimiſſi ad Hyacinthia celebranda ab Iphicrate opprimuntur in itinere — Ageſilaus Aetolis opem fert — in Aegyptum trajicit et in itinere moritur — Archidamo regnante Phocenſes Delphici Apollinis templum occupant et a Lacedaemoniis contra Thebanos adjuvantur — Archidamus Tarentinis auxilio proficiſcitur et ibi in pugna interficitur — Agis, rex, contra Antipatrum pugnans occumbit — Laconici agri deſcriptio incipit a regione Scotitas dicta — de vico Caryae dicto et Dianae Caryatidis cultu — reliquiis Selaſiae — Apollinis Pythaëi ſigno in monte Thornace.

Οὐ πολλῷ δὲ ὕστερον τὸν ἀγῶνα ἔθηκαν τῶν Ἰσθμίων οἱ ἐπὶ Λακωνισμῷ φεύγοντες [1]). Κορίνθιοι δὲ ἐν τῇ πόλει τότε μὲν τῷ Ἀγησιλάου δείματι ἡσύχαζον· ἀναζεύξαντος δὲ ἐς τὴν Σπάρτην, οὕτω καὶ αὐτοὶ μετὰ Ἀργείων τὰ Ἴσθμια ἄγουσιν. ἀφίκετο δὲ καὶ αὖθις ἐπὶ Κόρινθον στρατιᾷ· καὶ (ἐπῄει γὰρ Ὑακίνθια [2])) ἀφίησι τοὺς Ἀμυκλαιεῖς οἴκαδε ἀπελθόντας τὰ καθεσηκότα τῷ τε Ἀπόλλωνι καὶ Ὑακίνθῳ δρᾶσαι. ταύτην τὴν μοῖραν [3]) ἐπιθέμενοι κατ' ὁδὸν Ἀθη-

1) οἱ ἐπὶ Λ. φεύγοντες] ſcil. Κορίνθιοι, quae vox excidiſſe, et, quum bis ſcribenda fuiſſet, librariorum negligentia ſemel tantum poſita mihi videtur.

2) Ὑακίνθια] De his vid. L. III. C. 19.

3) μοῖραν] *Kuhn.* μόραν ſcribendum cenſet. Exercitum Lacedaemoniorum in *moras* deſcriptum fuiſſe, ex Xenoph. de republica Laced., Heſychio et aliis conſtat. Vid. Heſych. h. v. et ibi Interpr. Sed nihil mutandum eſſe, jam demonſtravit Hemſterh. ad Lucian. T. I. p. 164. Sic etiam μοῖρα τῆς δυνάμεως de exercitu Spartanorum dicitur C. 8. huj. Libri.

2 Ἀθηναῖοι καὶ Ἰφικράτης διέφθειραν. Ἀγησίλαος δὲ καὶ ἐς Αἰτωλίαν ἐπικουρήσων ἀφίκετο Αἰτωλοῖς ὑπὸ Ἀκαρνάνων πολέμῳ πιεζομένοις, καὶ Ἀκαρνᾶνας ἠνάγκασε καταλύσασθαι τὸν πόλεμον, οὐ πολὺ ἀποδέοντας Καλυδῶνα καὶ τὰ ἄλλα Αἰτωλῶν πολί-
3 σματα ἠρηκέναι. Χρόνῳ δὲ ὕστερον ἔπλευσε καὶ ἐς Αἴγυπτον, ἀφεστηκότων ἀπὸ βασιλέως [4]) τῶν Αἰγυπτίων, βοηθήσων. καὶ ἔστιν Ἀγησιλάῳ πολλά τε εἰργασμένα καὶ μνήμης ἄξια ἐν Αἰγύπτῳ· καὶ (ἦν γὰρ ἤδη γέρων) τὸν μὲν κατὰ τὴν πορείαν ἐπέλαβεν ἡ μοῖρα· Λακεδαιμόνιοι δὲ, ὡς ἐκομίσθη σφίσιν ὁ νεκρὸς, θάπτουσιν αὐτὸν βασιλέων τιμήσαντες μά-
4 λιστα. Ἀρχιδάμου δὲ τοῦ Ἀγησιλάου βασιλεύοντος, κατέλαβον τὸ ἱερὸν Φωκεῖς τὸ ἐν Δελφοῖς. Θηβαίοις μὲν δὴ πολεμεῖν, τοῖς Φωκεῦσιν [5]) ἀφίκετο μὲν καὶ ἰδίᾳ συμμαχικὰ ἐπὶ χρήμασιν, ἀπὸ δὲ κοινοῦ λόγου Λακεδαιμόνιοί τε καὶ Ἀθηναῖοί σφισιν ἤμυνον· οἱ μὲν, ἀρχαίαν δή τινα ἐκ τῶν Φωκέων μνημονεύοντες εὐεργεσίαν· Λακεδαιμόνιοι δὲ, προφάσει μὲν καὶ οὗτοι φιλίας, κατὰ ἔχθος δὲ, ἐμοὶ δοκεῖν, τὸ Θηβαίων [6]). Θεόπομπος δὲ ὁ Δαμασιστράτου [7]), τόν τε Ἀρχιδαμον

4) ἀπὸ βασιλέως] scil. Persarum. De qua Agesilai expeditione ejusque morte vid. Plutarch. Ages. f. 36. usque ad finem.

5) Θηβαίοις μὲν δὴ πολεμεῖν, τοῖς Φωκ. etc.] *Phocensibus ad bellum contra Thebanos gerendum adfuere* etc. *Amas.* haec perperam interpretando invertit. De notissimo hoc bello *sacro* seu *Phocico* vid. Diodor. L. XVI. p. 425. sq. et interpret. ad Aelian. Var. Hist. L. III. C. 53.

6) τὸ Θηβαίων] Cod. Mosc. Φωκέων, in marg. γρ. Θηβαίων.

7) Θεόπομπος δὲ ὁ Δαμασ.] De hoc historico Chio, Isocratis discipulo, multa collegit Suid. h. v. Inter ejus scripta fuere Ἑλληνικαὶ Ἱστορίαι. Vid. Voss. de Historic. Gr. L. I. C. 7.

НБ ОНУ імені І.Мечникова

μον μεταςχεῖν τῶν πραγμάτων [8]) αὐτὸν, καὶ ἔτι Δεινίχαν τὴν Ἀρχιδάμου γυναῖκα παρὰ τῶν δυναςευόντων ἐν Φωκεῦσιν ἔφη λαμβάνουσαν δωρεὰν ἑτοιμότερον ποιεῖν σφισιν ἐς τὴν συμμαχίαν Ἀρχίδαμον. τὸ μὲν δὴ χρήματα ἱερὰ δέξασθαι καὶ ἀνδράσιν ἀμῦναι μανθάνειν πορθήσασι τὸ ἐπιφανέςατον, οὐκ εἰς ἔπαινον τίθεμαι· τοσοῦτον δέ οἱ πρόσεςιν εἰς ἔπαινον. Δελφῶν γὰρ τούς τε ἡβῶντας ἀποκτεῖναι, καὶ γυναῖκας καὶ τέκνα ἐξανδραποδίσασθαι, καταβαλεῖν δὲ καὶ αὐτὴν ἐς ἔδαφος τὴν πόλιν ἐτόλμων οἱ Φωκεῖς· ταῦτα οὖν μὴ παθεῖν ὑπὸ τῶν Φωκέων αὐτοὺς παρητήσατο [9]) Ἀρχίδαμος. Διέβη δὲ καὶ ἐς Ἰταλίαν ὕςερον Ταραντίνοις βαρβάρων πόλεμον συνδιοίσων σφίσιν ὁμόρων· καὶ ἀπεθανέ τε αὐτόθι ὑπὸ τῶν βαρβάρων. καὶ αὐτοῦ τὸν νεκρὸν ἁμαρτεῖν τάφου, τὸ μήνιμα ἐγένετο ἐμποδὼν τὸ ἐκ τοῦ Ἀπόλλωνος. Τοῦ δὲ Ἀρχιδάμου τούτου τὸν μὲν πρεσβύτατον [10]) παῖδα Ἄγιν κατέλαβεν ἀποθανεῖν Μακεδόσιν ἐναντία καὶ Ἀντιπάτρῳ μαχεσάμενον· Εὐδαμίδας δὲ ὁ νεώτερος Λακεδαιμονίοις ἐβασίλευσεν ἄγουσιν εἰρήνην. τὰ δὲ ἐς Ἄγιν τὸν Εὐδαμίδου καὶ ἐς Εὐρυδαμίδαν τὸν Ἄγιδος ὡς ἔσχεν, ἤδη μοι καὶ τάδε ἡ Σικυωνία γραφὴ διέξεισιν [11]).

8) τῶν πραγμάτων] Uterque Codex exhibet τῶν χρημάτων, cui in Libro Vind. in margine adscriptum est πραγμάτων. Mihi quidem vera et genuina lectio esse videtur χρημάτων, quod de praeda Delphica interpretandum, cujus Archidamum non expertem fuisse, Theopompus retulit. Quae mox sequuntur, τὸ μὲν δὴ χρήματα ἱερὰ δέξασθαι, veritatem hujus lectionis manifesto declarant.

9) αὐτοὺς παρητήσατο] Cod. Vind. αὐτὸς παρητ.

10) πρεσβύτατον] Cod. uterque dat πρεσβυτερον.

11) ἡ Σικυωνία γραφὴ διέξεισιν] Vid. supra L. II. C. 8. 9. Pro γραφὴ Kuhn. emendat συγγρα-

7 Ἰοῦσι δὲ ἀπὸ τῶν Ἑρμῶν ἐστιν ὁ τόπος οὗτος ἅπας δρυῶν πλήρης· τὸ δὲ ὄνομα τῷ χωρίῳ Σκοτιτᾶς [12]). τὸ δὲ σκότος οὐ τὸ συνεχὲς τῶν δένδρων ἐποίησεν, ἀλλὰ Ζεὺς ἐπίκλησιν ἔσχε Σκοτιτᾶς, καὶ ἔστιν ἐν ἀριστερᾷ τῆς ὁδοῦ δέκα μάλιστά που στάδια ἐκ]απομένοις ἱερὸν Σκοτιτᾶ Διός. ἐπανελθόντων δὲ ἐν]εῦθεν προελθοῦσιν ὀλίγον, καὶ τραπεῖσιν αὖθις ἐς ἀριστερὰν, ἄγαλμά ἐστιν Ἡρακλέους καὶ τρόπαιον· ἀναστῆσαι δὲ ἐλέγετο Ἡρακλῆς ἀποκ]είνας Ἱπποκόων]α καὶ τοὺς παῖδας.

8 Τρίτη δὲ ἐκ τῆς ὁδοῦ τῆς εὐθείας ἐμβολὴ [13]) κατὰ τὰ δεξιὰ ἐς Καρύας [14]) ἄγει, καὶ ἐς τὸ ἱερὸν τῆς Ἀρ]έμιδος. τὸ γὰρ χωρίον Ἀρ]εμιδος καὶ Νυμφῶν ἐστιν αἱ Κάρυαι, καὶ ἄγαλμα ἔστηκεν Ἀρ]έμιδος ἐν ὑπαίθρῳ Καρυάτιδος [15]). χοροὺς δὲ ἐνταῦθα αἱ Λακεδαιμονίων

συγγραφὴ, scilicet ut scribendi ratio constet Pausaniae, quippe qui constanter hac voce utatur ad libellos suos excitandos. — Spatium post διέξεισιν Kuhnio asteriscis notare placuit, lacunam hic esse censenti, quae extrema genealogiae regiae parte et initio agri Spartani descriptionis supplenda esset. Cum Kuhnio sentit Palmer. Exerc. p. 382. At mihi nihil hic deesse, sed Pausanias Agidis stirpe hanc genealogiam finire et eo redire voluisse videtur, unde Laconica exorsus fuerat C. 1. init. Μετὰ δὲ τοὺς Ἑρμᾶς etc. Ceterum novi Capitis distinctio verbis Ἰοῦσι δὲ ἀπὸ etc. adponenda fuisset.

12) Σκοτιτᾶς] Uterque Codex Σκοτιτάν. Stephan. habet Σκοτινὰ et mox Ζεὺς Σκοτινᾶς, totumque hunc Pausaniae locum in medium profert his verbis: Ἰοῦσι — πλήρης ὄνομα — Σκοτινὰ, ὃ οὐ τὸ συνεχὲς τῶν δένδρων ἐποίησεν, ἀλλὰ Ζεὺς ἐπίκλησιν Σκοτινᾶς. Sic sane ista a Pausania in lucem emissa mihi videntur; vulgata vero non nisi levi emendatione commode explicari possunt, scilicet si legas, ἀλλὰ Ζεὺς, ὃς ἐπίκλησιν ἔσχε Σκοτ.

13) ἐμβολὴ] Cod. Mosc. ἐκβολή.

14) Καρύας] Vid. Hesych. v. Καρύαι et conf. Paus. L. IV. C. 16. in fine.

15) Καρυάτιδος] Vid. Hesych. h. v. et Salmas. Exercit. p. 603. 604. De *Caryatidibus* inde denominatis vid. Vitruv. de Architect

μονίων παρθένοι κατὰ ἔτος ἱστᾶσι, καὶ ἐπιχώριος αὐταῖς καθέστηκεν ὄρχησις. Ἀναστρέψαντι δὲ καὶ κατὰ 9
τὴν λεωφόρον ἰόντι, ἐρείπια Σελασίας [16]) ἐστί. ταύτην, καθὰ καὶ πρότερον ἔγραψα, ἠνδραποδίσαντο Ἀχαιοὶ, Λακεδαιμονίους καὶ τὸν βασιλέα Κλεομένην [17]) τὸν Λεωνίδου μάχῃ νικήσαντες. Ἐν δὲ Θόρνακι [18]) (ἐστι γὰρ τοῦτον ἀφίξῃ προϊὼν) ἄγαλμά ἐστι Πυθαέως Ἀπόλλωνος, κατὰ τὰ αὐτὰ τῷ ἐν Ἀμύκλαις πεποιημένον· τὸ δὲ σχῆμα ὁποῖόν ἐστιν, ἐπ' ἐκείνῳ γράψω. Λακεδαιμονίοις γὰρ ἐπιφανέστερά ἐστι τὰ ἐς τὸν Ἀμυκλαῖον, ὥστε καὶ τὸν χρυσὸν, ὃν Κροῖσος [19]) ὁ Λυδὸς τῷ Ἀπόλλωνι ἔπεμψε τῷ Πυθαεῖ τούτῳ, ἐς κόσμον τοῦ ἐν Ἀμύκλαις κατεχρήσαντο ἀγάλματος.

chitect. L. I. C. 1., Athen. Deipnos. L. VI. p. 241. E. et Voſſii Etymol. h. v.

16) Σελασίας] Cod. Moſc. Σελλασίας. Vid. not. ad L. II. C. 9.

17) Κλεομένην] Ex Cod. Moſc. pro vulgata Κλεσμένη.

18) Θόρνακι] De hoc monte vid. ſupra L. II. C. 36., et de Apolline Amyclaeo infra C. 18. 19. hujus Libri.

19) τὸν χρυσὸν, ὃν Κροῖσος etc.] Hoc auri donum a Craeſo Lacedaemoniis datum memorat Herodot. L. I. ſ. 69.

CAPUT XI.

De urbe Sparta seu Lacedaemone — memorandis in foro Spartae, aedibus senatorum et magistratuum in eo, senatu, Ephoris et Bidiaeis — porticu Persica — templo Caesaris et Augusti imperator. — Agio vate et Tisameno ejusque de quinque victoriis vaticinio — regione fori Choro dicta — reliquis templis, signis ac memorandis in foro.

Ἀπὸ δὲ Θόρνακος προελθόντι ἐστὶν ἡ πόλις, Σπάρτη μὲν ὀνομασθεῖσα ἐξ ἀρχῆς, προσλαβοῦσα δὲ ἀνὰ χρόνον καὶ Λακεδαίμων ἡ αὐτὴ καλεῖσθαι· τέως δὲ τὸ ὄνομα τοῦτο ἔκειτο τῇ γῇ. ὁ δὲ ἐν τῇ συγγραφῇ μοι τῇ Ἀτθίδι ἐπανόρθωμα ἐγένετο, μὴ τὰ πάντα με ἐφεξῆς, ἀλλὰ τὰ μάλιστα ἄξια μνήμης ἐπιλεξάμενον ἀπ' αὐτῶν εἰρηκέναι, δηλώσω δὴ πρὸ τοῦ λόγου τοῦ ἐς Σπαρτιάτας· ἐμοὶ γὰρ ἐξ ἀρχῆς ἠθέλησεν ὁ λόγος ἀπὸ πολλῶν καὶ οὐκ ἀξίων ἀφηγήσεων, ὧν ἔκαστοι παρά σφισι λέγουσιν, ἀποκρῖναι τὰ ἀξιολογώτατα. ὡς οὖν εὖ βεβουλευμένος, οὐκ ἔστιν ὅπου
2 παραβήσομαι. Λακεδαιμονίων τοῖς Σπάρτην ἔχουσίν ἐστιν ἀγορὰ θέας ἀξία, καὶ τῆς τε γερουσίας βουλευτήριον, καὶ τῶν ἐφόρων, καὶ νομοφυλάκων, καὶ καλουμένων Βιδιαίων ἀρχεῖά [1]) ἐστιν ἐπὶ τῆς ἀγορᾶς. ἡ μὲν δὴ γερουσία συνέδριον Λακεδαιμονίοις κυριώτατον τῆς πολιτείας, οἱ λοιποὶ δέ εἰσιν ἄρχοντες. τοῖς δὲ ἐφόροις καὶ Βιδιαίοις πέντε ἀριθμὸν ἑκατέροις οὖσι, τοῖς μὲν ἐπὶ τῷ τὰ Πλατάνιστα καλούμενα [2]) καὶ ἄλλους

1) ἀρχεῖά] h. e. οἰκίαι τῶν ἀρχῶν; basilicae, praetoria. Vid. Suid. h. v.

2) ἐπὶ τῷ τὰ Πλατάνιστα καλούμενα] Meurs. Miscell. Lac. L. IV. C. 15. et cum eo Sylb. et

ἄλλους τῶν ἐφήβων ἀγῶνας τιθέναι καθέσηκεν, ἔφοροι δὲ τά τε ἄλλα διοικοῦσι τὰ σπουδῆς μάλιστα ἄξια, καὶ παρέχονται τὸν ἐπώνυμον, καθὰ δὴ καὶ Ἀθηναίοις τῶν καλουμένων ἐννέα ἐπώνυμός ἐστιν εἷς ἄρχων. Ἐπι- 3
φανέστατον δὲ τῆς ἀγορᾶς ἐστιν, ἣν σοὰν Περσικὴν ὀνομάζουσιν ἀπὸ λαφύρων ποιηθεῖσαν τῶν Μηδικῶν· ἀνὰ χρόνον δὲ αὐτὴν ἐς μέγεθος τὸ νῦν καὶ ἐς κόσμον τὸν παρόντα μεταβεβλήκασιν. εἰσὶ δὲ ἐπὶ τῶν κιόνων Πέρσαι λίθου λευκοῦ καὶ ἄλλοι, καὶ Μαρδόνιος ὁ Γωβρύου. πεποίηται δὲ καὶ Ἀρτεμισία, θυγάτηρ μὲν Λυγδάμιδος, ἐβασίλευσε δὲ Ἁλικαρνασσοῦ. ταύτην φασὶν ἑκουσίως ἐπὶ τὴν Ἑλλάδα συστρατεῦσαι Ξέρξῃ, καὶ ἔργα ἐν τῇ ναυμαχίᾳ ἐν Σαλαμῖνι ἀποδείξασθαι [3]). Ναοὶ δέ εἰσιν ἐπὶ τῆς ἀγορᾶς, 4
Καίσαρος, ὃς μοναρχίας πρῶτος ἐν Ῥωμαίοις ἐπεθύμησεν, καὶ ἀρχὴν τὴν καθεσηκυῖαν πρῶτος ἐκτήσατο· ὁ δὲ Αὐγούστῳ πεποίηται παιδὶ ἐκείνου, τήν τε βασιλείαν βεβαιωσαμένῳ μᾶλλον, καὶ ἀξιώματος καὶ δυνάμεως ἐς πλέον ἢ πατὴρ οἱ προελθόντι. τὸ δὲ ὄναμα εἶναι [4]) τούτῳ Αὔγουστος, ὃ κατὰ γλῶτταν δύνα-

et *Kuhn.* emendant: τὰ ἐπὶ τῷ Πλατανιστᾷ καλούμενα, *ludos, qui in Plataneto Spartano agitantur*, de quibus infra C. 14., ubi hic locus Πλατανιστὰς memoratur, uti etiam bis C. 15. init. *Sylb.* tamen rectius scribi putat Πλατανιστᾶ; contracte pro Πλατανιστάεις. Rem aliter expedit Cod. Mosc., qui exhibet ἐπὶ τῷ τὰ Πλατάνιστα καλουμένῳ. Sic nomen loci fuisset τὰ Πλατάνιστα. Sed Codex ille sibi non constat, cum C. 14. et 15. vulgata habeat.

3) ταύτην — ἀποδείξασθαι] Vid. Herodot. L. VII. s. 99. et L. VIII. s. 87. 88.

4) τὸ δὲ ὄνομα εἶναι etc.] Nihil sane est, unde infinitivus εἶναι pendere possit; nec constructio magis expedita est, si ὥστε supplere velis. Quare εἶναι corruptum et ἦν emendandum esse arbitror. Cum ὦν et εἶναι sexcenties in libris scriptis

5 δύναται τὴν Ἑλλήνων σεβαστός. Τοῦ δὲ Αὐγούστου δεικνύουσι πρὸς τῷ βωμῷ χαλκῆν εἰκόνα Ἀγίου [5]). τοῦτον τὸν Ἀγίαν μαν]ευσάμενόν φασι Λυσάνδρῳ, τὸ Ἀθηναίων ἐλεῖν ναυτικὸν περὶ Αἰγὸς ποταμοὺς πλὴν τριήρων δέκα· αὗται δὲ ἀποφεύγουσιν ἐς Κύπρον, τὰς δὲ ἄλλας οἱ Λακεδαιμόνιοι καὶ αὐτὰς καὶ τοὺς ἄνδρας αἱροῦσιν. ὁ δὲ Ἀγίας Ἀγελόχου
6 παῖς ἦν τοῦ Τισαμενοῦ. Τισαμενῷ δὲ ὄν]ι Ἠλείῳ τῶν Ἰαμιδῶν [6]) λόγιον ἐγένετο, ἀγῶνας ἀναιρήσεσθαι πέν]ε ἐπιφανεστάτους αὐτόν. οὕτω πέν]αθλον Ὀλυμπιάσιν ἀσκήσας, ἀπῆλθεν ἡτ]ηθείς, καί τοι τὰ δύο γε ἦν πρῶτος· καὶ γαρ δρόμῳ τε ἐκράτει, καὶ πηδήματι Ἱερώνυμον τὸν Ἀνδριον. καταπαλαισθεὶς δὲ ὑπ' αὐτοῦ, καὶ ἁμαρ]ὼν τῆς νίκης, συνίησι τοῦ χρησμοῦ, διδόναι οἱ τὸν θεὸν μαν]ευομένῳ πέν]ε ἀγῶνας πολέμῳ κρατῆσαι. Λακεδαιμόνιοι δὲ (οὐ γὰρ εἶχον ἀνηκόως, ὧν Τισαμενῷ προεῖπεν ἡ Πυθία) πείθουσι μετοικήσαν]α ἐξ Ἠλιδος μαν]ευέσθαι Σπαρτιατῶν τῷ κοινῷ· καί σφισιν ὁ Τισαμενὸς ἀγῶνας πολέμου πέν]ε ἐνίκησε. πρῶτον μὲν Πλαταιάσιν ἐναν]ία Περσῶν, δεύτερον δὲ ἐν Τεγέᾳ, πρὸς Τεγεάτας καὶ Ἀργείους μάχης Λακεδαιμονίοις συνεχώσης, ἐπὶ τούτοις δὲ ἐν Διπαιεῦσιν, Ἀρκάδων πάν]ων πλὴν Μαν]ινέων ἀν]ιτεταγμένων· (οἱ δὲ Διπαιεῖς ἐν τῇ Μαινα-

ptis confusa deprehendantur, quidni ἦν et εἶναι?

5) Ἀγίου] Uterque Cod. Ἄγιου, et sic constanter.

6) Τισαμενῷ — τῶν Ἰαμιδῶν] Haec de Tisameno omnia ex Herodot. L. IX. f. 33. De Iamidarum vatum familia vid. Paus. L. III. C. 12. et L. VI. C. 2. Tres ejusmodi familiae vaticinandi arte praestantes apud Eleos fuere, οἱ Ἰαμίδαι, οἱ Τελλιάδαι, οἱ Κλυτιάδαι, de quibus vid. Philostrat. vit. Apoll. L. V. 25., Valkenar. ad Herod. l. c. et Petr. Victor. Var. lect. XIII. 15.

Μαναλία πόλισμα Ἀρκάδων ἦσαν) τέταρτον δὲ ἠγωνίσατο πρὸς τοὺς ἐξ Ἰσθμοῦ Ἰθώμην ἀποστήσαντας[7]) ἀπὸ τῶν εἱλώτων· ἀπέστησαν δὲ οὐχ ἅπαντες οἱ εἵλωτες, ἀλλὰ τῶν Μεσσηνιακῶν ἀπὸ τῶν ἀρχαίων εἱλώτων ἀποσχισθέντες· καί μοι καὶ τάδε ὁ λόγος αὐτίκα ἐπέξεισι[8])· τότε δὲ οἱ Λακεδαιμόνιοι τοὺς ἀποστάντας ἀπελθεῖν ὑποσπόνδους εἴασαν, Τισαμενῷ καὶ τῷ ἐν Δελφοῖς χρηστηρίῳ πειθόμενοι. τελευταῖον δὲ ὁ Τισαμενὸς ἐμαντεύσατο ἐν Τανάγρᾳ σφίσι πρὸς Ἀργείους καὶ Ἀθηναίους γινομένης συμβολῆς. τὰ μὲν Τισαμενοῦ τοιαῦτα ἐπυνθανόμην ὄντα. Σπαρτιάταις δὲ ἐπὶ τῆς ἀγορᾶς Πυθαέως τέ ἐστι καὶ Ἀπόλλωνος[9]) καὶ Ἀρτέμιδος καὶ Λητοῦς ἀγάλματα. Χορὸς δὲ οὗτος ὁ τόπος καλεῖται πᾶς, ὅτι ἐν ταῖς γυμνοπαιδίαις (ἑορτὴ δὲ εἴ τις ἄλλη καὶ αἱ γυμνοπαιδίαι διὰ σπου-

7

7) τοὺς ἐξ Ἰσθμοῦ Ἰθώμην ἀπ. etc.] De difficultate hujus loci jam docte et fuse egit Wesseling. ad Herod. L. IX. f. 35. Scilicet res sic se habet. Messeniorum a Lacedaemoniis bello captorum pars in Hilotarum numerum relata fuerat; vid. Pausan. L. III. C. 20. 23. 24. Hi, Sparta terrae motu concussa, a reliquis Hilotis defecerunt et Ithomen secesserunt; Paus. L. I. C. 19. τὴν πόλιν τοῦ θεοῦ σείσαντος, οἱ Εἵλωτες ἐς Ἰθώμην ἀπέστησαν, et L. IV. C. 24. Inde, sive ἐξ Ἰσθμοῦ Ἰθώμην, sive ἐς Ἰσθμοῦ Ἰθ. legere velis, neutrum hic locum habere posse patet, cum nec Sparta nec Ithome in Isthmo sita sit. Emendatio igitur docti cujusdam viri, a Kuhnio in medium prolata, scribentis ἐκ σεισμοῦ, *post terrae motum*, prorsus mihi arrideret, nisi multo probabilius esset, Pausaniam ipsum mendosa lectione Herodoti l. c. deceptum illam in sua transtulisse, ac, sicuti in Herodoto pro πρὸς τῷ Ἰσθμῷ scribendum πρὸς τῇ Ἰθώμῃ, ita etiam lectionem ἐξ Ἰσθμοῦ Ἰθώμην, a Pausaniae manu profectam, mutandam esse in ἐς Ἰθώμην. Libri scripti collati vulgatam sine ulla mutatione exhibent.

8) αὐτίκα ἐπέξεισι] Vid. L. IV. C. 14. 23. 24.

9) καὶ Ἀπόλλ.] καὶ tollendum esse, cum Πυθαεὺς Apollinis cognomen sit, recte notavit *Sylb.*

σπουδῆς Λακεδαιμονίοις εἰσὶν) ἐν ταύταις [10]) αὖν οἱ
8 ἔφηβοι χορεὺς ἱστᾶσι τῷ Ἀπόλλωνι. Τούτων δὲ οὐ
πόρρω Γῆς ἱερὸν καὶ Διὸς ἀγοραίου [11]), τὸ δὲ Ἀθηνᾶς
ἀγοραίας καὶ Ποσειδῶνος, ὃν ἐπονομάζουσιν Ἀσφά-
λιον [12])· καὶ Ἀπόλλωνος αὖθις καὶ Ἥρας. ἀνάκει-
ται δὲ καὶ Δήμου τοῦ Σπαρτιατῶν ἀνδριὰς, μεγέθει
μέγας. καὶ Μοιρῶν Λακεδαμονίοις ἐστὶν ἱερόν· Ὀρέστου
δὲ τοῦ Ἀγαμέμνονος πρὸς αὐτῷ τάφος. κομισθέντα
γὰρ [13]) ἐκ Τεγέας τοῦ Ὀρέστου τὰ ὀστᾶ κατὰ μαντείαν
θάπτουσιν ἐνταῦθα. παρὰ δὲ τοῦ Ὀρέστου τὸν τάφον
ἐστὶν εἰκὼν Πολυδώρου τοῦ Ἀλκαμένους, ὃν βασιλέων
ἐς τοσοῦτο τιμῆς προήχασιν [14]), ὥστε οἱ τὰς ἀρχὰς
ἔχοντες, ὁπόσα δεῖ σημαίνεσθαι, τοῦ Πολυδώρου
σημαίνονται τῇ εἰκόνι [15]). ἔστι δὲ καὶ Ἑρμῆς ἀγοραῖος
Διόνυσον φέρων παῖδα, καὶ τὰ ἀρχαῖα [16]) καλού-
μενα

10) ἐν ταύταις] Mallem legere ἐνταῦθα.

11) Διὸς ἀγοραίου] Cod. M. bene exhibet Διός ἐστιν ἀγοραίου.

12) τὸ δὲ — Ἀσφάλιον] τὸ δὲ, ut saepius in Pausania, pro τὸ ἕτερον δέ. Pro Ἀσφάλιον ante *Xylandr.* vulgatum fuit Ἀπφάλιον, quod Cod. Mosc. multo vitiosius scribit Ἀπαμφάλιον. Plutarch. Thes. f. 36. in fine Neptuni cognomen Ἀσφάλιος habet ejusque rationem affert. Pausaniae quidem L. VII. C. 21. dicitur Ἀσφαλιαῖος; sed ibi Ἀσφάλιος scribendum esse, Cod. Mosc. declarat. Vid. et Suid. h. v.

13) κομισθέντα γὰρ etc.] Vid. supra C. 3. hujus Libri.

14) ἐς τοσοῦτο τιμῆς προήχασιν] Cod. uterque ἐς τοσοῦτον τ. προείχασιν.

15) ὁπόσα δεῖ σημαίνεσθαι, τοῦ Πολυδώρου σημαίνονται τῇ εἰκόνι] Sic hunc locum restitui ex libris scriptis Vind. ac Mosc. et *Amasaei* interpretatione, cum antea vulgata, ὁπόσα δεῖ, σημαίνεσθαι τῇ εἰκόνι, aperte mutilata esse nullus interpretum vidisset.

16) ἀρχαῖα] *Sylb.* ex initio hujus Cap. et sequenti, ubi βιβλίων ἀρχεῖον est, hic scribendum

μενα Ἐφορεῖα, ἐν δὲ αὐτοῖς Ἐπιμενίδου τοῦ Κρητὸς μνῆμα, καὶ Ἀφαρέως τοῦ Περιήρους. καὶ τά γε ἐς Ἐπιμενίδην [17]) Λακεδαιμονίους δοξάζω μᾶλλον Ἀργείων λέγειν εἰκότα. ἐν]αῦθα, ἔνθα αἱ μοῖραι, καὶ ἔστιν ἃ καὶ Λακεδαιμονίοις [18]). ἔστι καὶ Ζεὺς ξένιος καὶ Ἀθηνᾶ ξενία.

dum esse ἀρχεῖα contendit. Sed mihi praestare videtur vulgata: *illae aedes, quae prisca Ephorea vocantur.*

17) τά γε ἐς Ἐπιμενίδην etc.] Vid. L. III. C. 12. in fine, coll. L. I. C. 14. et L. II. C. 21.

18) κῆ ἔστιν ἃ κῆ Λακεδαιμ.] Haec mutila et corrupta esse, argumentatione non eget. *Amas.* plane omisit; ista vero aliunde huc intrusa esse, haud temere statuere possis. *Kuhn.* ex Paus. L. VII. C. 1. emendat: κῆ ἔστιν τὰ Φειδίτια Λακεδαιμονίοις. *Phiditia* ista fuere *convivia publica parco et frugali apparatu*, de quibus Paus. agit l. c., Plutarch. Lycurg. s. 12. Ages. s. 20. et Athen. Deipn. L. IV. C. 6. p. 138. Probabilem reddit Kuhnii emendationem, quod nullibi in Laconicis Phiditiorum mentionem fecisset Pausanias, nisi hic factam esse statueremus.

CAPUT

CAPUT XII.

De via Aphetaïs dicta — Icarii et Danai cursus certamine filiarum procis proposito — domo Polydori Booneta dicta — templo et signo Dianae Celeutheae et memorandis herois — luco Neptuni Taenarii, Dianae signo et regione Hellenium dicta — Talthybii monumento — aliis memorandis sepulcris et templis etc. in hac urbis regione — Sciade, ubi conciones habentur — signis Jovis et Veneris Olympiae.

Ἰόντι δὲ ἐκ τῆς ἀγορᾶς κατὰ τὴν ὁδὸν, ἣν Ἀφέτας[1]), ὀνομάζουσι, τὰ καλούμενα Βοώνητά ἐστι· καί με ὁ λόγος ἀπαιτεῖ πρότερα εἰπεῖν τὰ ἐς τὴν ἐπίκλησιν τῆς
2 ὁδοῦ. Τοῖς μνησῆρσιν Ἰκάριον τῆς Πηνελόπης φασὶν ἀγῶνα προθεῖναι δρόμου· καὶ ὅτι μὲν Ὀδυσσεὺς ἐκράτει, δῆλά ἐστιν. ἀφεθῆναι δὲ αὐτοὺς λέγουσιν ἐς τὸν δρόμον διὰ τῆς ὁδοῦ τῆς Ἀφεταΐδος. δοκεῖ δ' ἐμοὶ [2]), δρόμου [3]) Ἰκάριος τὸ ἀγώνισμα ἐποίησε, μιμούμενος Δαναάν. Δαναῷ γὰρ τοῦτο ἐπὶ ταῖς θυγατράσιν εὑρέθη, καὶ ὡς γυναῖκα οὐδεὶς ἤθελεν ἐξ αὐτῶν διὰ τὸ μίασμα ἀγαγέσθαι, διέπεμπε δὴ ὁ Δαναὸς ἐδνων ἄνευ δώσειν, ᾗ ἂν ἕκαστος κατὰ κάλλος ἀρέσκηται. ἀφικομένοις δὲ ἀνδράσιν οὐ πολλοῖς ἀγῶνα δρόμου κατέστησε, καὶ πρώτῳ τε ἐλθόντι ἐγέ-

νετο

1) Ἀφέτας] Sic nominativ. esset Ἀφέται, sed in sequentibus Ἀφεταΐδος et Ἀφεταΐδα a nominat. Ἀφεταὶς est, ita ut Ἀφέτας potius contractum et Ἀφετᾶς scribendum esse videatur.

2) δοκεῖ δ' ἐμοὶ] Cod. Mosc. δοκεῖν δ' ἐμοὶ, uti saepius.

3) δρόμου] Sic pro vulgata δρόμον, quae ab orationis structura abhorrebat, ex conjectura *Sylburgii* reponere, religioni mihi non duxi. Ad rem conf. Cap. 13. de signo Ἀφεταίου.

νετο ἐλέσθαι πρώτῳ τῶν ἄλλων, καὶ μετ' ἐκεῖνον τῷ δευτέρῳ, καὶ ἤδη κατὰ τὰ αὐτὰ ἄχρι τοῦ τελευταίου· τὰς δὲ ὑπολειφθείσας μένειν ἔφοδον ἄλλην μνησήρων ἔδει, καὶ ἀγῶνα ἄλλον δρόμου. Λακεδαιμονίοις δὲ 3
κατὰ τὴν ὁδὸν ταύτην ἐστὶν, ὡς ἤδη λέλεκταί μοι, τὰ ὀνομαζόμενα Βοώνητα, Πολυδώρου ποτὲ οἰκία τοῦ βασιλέως· ἀποθανόν]ος δὲ, παρὰ τοῦ Πολυδώρου τῆς γυναικὸς ἐπρίαν]ο ἀν]ιδόν]ες βοῦς. ἀργύρου γὰρ [4]) οὐκ ἦν πω τότε οὐδὲ χρυσοῦ νόμισμα, κατὰ τρόπον δὲ ἔτι τὸν ἀρχαῖον ἀν]εδίδοσαν βοῦς, καὶ ἀνδράποδα, καὶ ἀργὸν τὸν ἄργυρον καὶ χρυσόν. οἱ δὲ ἐς τὴν Ἰνδικὴν ἐσπλέον]ες Φορ]ίων Φασὶν Ἑλληνικῶν τοὺς Ἰνδοὺς ἀγώγιμα ἄλλα ἀν]αλλάσσεσθαι, νόμισμα δὲ οὐκ ἐπίσασθαι, καὶ ταῦτα χρυσοῦ τε ἀφθόνου καὶ χαλκοῦ παρόν]ος σφίσι. Τοῦ δὲ 4
τῶν Βιδιαίων ἀρχείου [5]) πέραν ἐστὶν Ἀθηνᾶς ἱερόν· Ὀδυσσεὺς δὲ ἱδρύσασθαι τὸ ἄγαλμα λέγεται, καὶ ὀνομάσαι Κελεύθειαν [6]), τοὺς Πηνελόπης μνηστῆρας τῷ δρόμῳ νικήσας. ἱδρύσατο δὲ τῆς Κελευθείας ἱερὰ ἀριθμῷ τρία, διεσχοτα ἀπ' ἀλλήλων. Προϊόν-
των δὲ κατὰ τὴν Ἀφεταΐδα, ἠρῶά ἐστιν, Ἴοπός τε κατὰ Λέλεγα ἢ Μύλητα γενέσθαι δοκοῦν]ος, καὶ Ἀμφιαράου τοῦ Οἰκλέους. τοῦτο δὲ τοὺς Τυνδάρεω παῖδας [7]) νομίζουσιν ἅτε ἀνεψιῷ τῷ Ἀμφιαράῳ ποιῆσαι. καὶ αὐτοῦ Λέλεγός ἐστιν ἡρῷον. Τού- 5
των δὲ οὐ πόρρω τέμενος Ποσειδῶνος Ταιναρίου· Ταινά-

4) ἀργύρου γὰρ] Uterque Codex inserit καί.

5) Τοῦ — ἀρχείου] Uterque Codex Τὸ — ἀρχεῖον, quod orationis structurae non convenit, nisi in subsequentibus legas — Ἀθηνᾶς ἱεροῦ.

6) Κελεύθειαν] Hesych. Κελευθείας, τὰς ἐνοδίους δαίμονας.

7) τοῦτο δὲ τοὺς Τυνδάρεω παῖδας] Cod. Vind. τοῦτον δὲ Τυνδ. παῖδα, et Mosc. τοῦτο δὲ Τυνδ. παῖδα.

Ταινάριον [8]) δὲ ἐπονομάζουσιν. οὐ μακρὰν δὲ Ἀθηνᾶς ἄγαλμα, ὃ τοὺς ἐς Ἰταλίαν τε καὶ Τάραντα ἀποικισθέντας ἀναθεῖναι [9]) λέγουσι. τὸ δὲ χωρίον, ὃ καλοῦσιν Ἑλλήνιον, ἐστὶν εἰρημένον, ὡς οἱ τῶν Ἑλλήνων [10]) Ξέρξην διαβαίνοντα ἐς τὴν Εὐρώπην παρεσκευάζοντο ἀμυνόμενοι, κατὰ τοῦτο τὸ χωρίον βουλευσάμενοι, τρόπον ὄντινα ἀνθέξουσιν. ὁ δὲ ἕτερος τῶν λόγων, τοὺς Μενελάου χάριτι στρατεύσαντας ἐπὶ Ἴλιον βουλεύσασθαί φασιν [11]) ἐνταῦθα, ὅπως ἀναπλεύσονται ἐς Τροίαν καὶ δίκας δυνήσονται παρὰ
6 Ἀλεξάνδρου λαβεῖν τῆς Ἑλένης ἁρπαγῆς. Τοῦ δὲ Ἑλληνίου πλησίον Ταλθυβίου μνῆμα ἀποφαίνουσι· δεικνύουσι δὲ καὶ Ἀχαιῶν Αἰγιεῖς [12]) ἐπὶ τῆς ἀγορᾶς, Ταλθυβίου καὶ οὗτοι φάμενοι μνῆμα εἶναι. Ταλθυβίου δὲ τούτου μήνιμα [13]) ἐπὶ τῷ φόνῳ τῶν κηρύκων, οἳ παρὰ βασιλέως Δαρείου γῆν τε καὶ ὕδωρ αἰτήσοντες ἐς τὴν Ἑλλάδα ἐπέμφθησαν, Λακεδαιμονίοις μὲν ἐπεσήμαινεν ἐς τὸ δημόσιον, ἐν Ἀθήναις δὲ ἰδίᾳ τε καὶ ἐς ἑνὸς οἶκον ἀνδρὸς κατασκῆψαι Μιλτιάδου τοῦ Κίμωνος. ἐγεγόνει δὲ καὶ τῶν κηρύκων τοῖς ἐλθοῦσιν ἐς τὴν Ἀττικὴν ὁ Μιλτιάδης ἀποθανεῖν αἴτιος ὑπὸ Ἀθηναίων.

Λακε-

8) Ταινάριον] sc. τὸ τέμενος. Kuhn. hic lacunam esse temere putat iis explendam, quae rationem hujus cognominis reddant. Illa enim tunc temporis nimis fuit trita.

9) ἀναθεῖναι] Cod. Vindob. ἀναθῆναι.

10) ἐστὶν εἰρημένον, ὡς οἱ τῶν Ἑλλήνων etc.] Haec dicta et posita pro ἐστ. εἰρ. ἀπὸ τῶν Ἑλλήνων, οἳ etc.

11) βουλεύσ. φασιν] Uterque Codex σφισιν. Sic infinitivus βουλ. a praecedentibus, ὁ δὲ ἕτ. τ. λόγων, penderet. Mox pro ἀναπλεύσονται Cod. Vind. ἀναπλεύσασθαι, et Mosc. ἀναπλεύσεσθαι, qui infinit. ad δυνήσονται bene referri potest.

12) δεικνύουσι — Αἰγιεῖς etc.] Vid. Paus. L. VII. C. 23. in fine.

13) Ταλθυβίου δὲ τούτου μήνιμα etc.] Ex Herodot. L. VII. s. 133 — 137., ubi pluribus haec exposita sunt.

Λακεδαιμονίοις δὲ ἔστι μὲν Ἀπόλλωνος Ἀκρείτα βωμὸς, 7
ἔστι δ' ἐπονομαζόμενον Γάσηπ]ον, ἱερὸν Γῆς· Ἀπόλ-
λων δὲ ὑπὲρ αὐτὸ ἵδρυται Μαλεάτης. ἐπὶ δὲ τῷ
πέρατι Ἀφεταΐδος, ἐγγύτατα ἤδη τοῦ τείχους,
Δικτύννης ἐστὶν ἱερὸν, καὶ βασίλειοι τάφοι τῶν κα-
λουμένων Εὐρυπωντιδῶν [14]). παρὰ δὲ τὸ Ἑλλήνιον
Ἀρσινόης ἱερὸν, Λευκίππου τε θυγατρὸς, καὶ γυναι-
κῶν τῶν Πολυδεύκους καὶ Κάστορος ἀδελφῆς. πρὸς δὲ
τοῖς Φρουρίοις καλουμένοις ναός ἐστιν Ἀρτέμιδος· καὶ
προελθοῦσιν ὀλίγον πεποίηται μνῆμα τοῖς ἐξ Ἤλι-
δος μάντεσι, καλουμένοις δὲ Ἰαμίδαις [15]). καὶ Μά-
ρωνός ἐστιν ἱερὸν καὶ Ἀλφειοῦ [16])· Λακεδαιμονίων δὲ
τῶν ἐς Θερμοπύλας στρατευσαμένων λόγου μάλιστα
ἀξίως μαχέσασθαι μετὰ δὴ αὐτὸν δοκοῦσι Λεωνίδην.
τοῦ δὲ Τροπαίου Διὸς τὸ ἱερὸν ἐποίησαν οἱ Δωριεῖς,
πολέμῳ τούς τε ἄλλους Ἀχαιοὺς, οἳ γῆν τὴν Λακω-
νικὴν τηνικαῦτα εἶχον, καὶ τοὺς Ἀμυκλαιεῖς κρατή-
σαν]ες. τὸ δὲ ἱερὸν τῆς μεγάλης μητρὸς τιμᾶται
περισσῶς δή τι. μετὰ δὲ αὐτὸ ἡρῷα Ἱππολύτου τέ
ἐστι τοῦ Θησέως, καὶ Αὐλῶνος Ἀρκάδος, υἱοῦ δὲ Τλη-
σιμένους. Τλησιμένη δὲ Παρθενοπαίου τοῦ Μενα-
λίωνος [17]) ἀδελφὸν, οἱ δὲ παῖδα εἶναι λέγουσιν.
Ἕτερα δὲ ἐκ τῆς ἀγορᾶς ἐστιν ἔξοδος, καθ' ἣν πεποί- 8
ηται σφισιν ἡ καλουμένη Σκιὰς [18]), ἔνθα καὶ νῦν ἔτι
ἐκκλη-

14) Εὐρυπωντιδῶν] Codex uterque Εὐρυπώνδων.

15) Ἰαμίδαις] Vid. supra not. ad C. 11.

16) Μάρωνός — Ἀλφειοῦ] De his fratribus, qui fortiter pugnantes ad Thermopylas ceciderunt, vid. Herodot. L. VII. f. 227.

17) Μεναλίωνος] *Sylb.* lectionem Camerarii Μελανίωνος praeferendam ducit, quod nomen L. V. C. 17. et 19. occurrit.

18) Σκιὰς] Athenienſibus *Tholum* (vid. Pauſ. L. I. C. 5.) etiam ſic dictam fuiſſe, ex Suida v. σκιὰς patet.

ἐκκλησιάζουσι. ταύτην τὴν Σκιάδα Θεοδώρου τοῦ Σαμίου φασὶν εἶναι ποίημα, ὃς πρῶτος διαχέαι σίδηρον εὗρε καὶ ἀγάλματα ἀπ' αὐτοῦ πλάσαι. ἐνταῦθα ἐκρέμασαν Λακεδαιμόνιοι τὴν Τιμοθέου τοῦ Μιλησίου κιθάραν [19]), καταγνόντες, ὅτι χορδαῖς ἐπλὰ ταῖς ἀρχαίαις ἐφεῦρεν ἐν τῇ κιθαρῳδίᾳ τέσσαρας χορδάς.

9 Πρὸς δὲ τῇ Σκιάδι οἰκοδόμημά ἐστι περιφερὲς, ἐν δὲ αὐτῷ Διὸς καὶ Ἀφροδίτης ἀγάλματα ἐπίκλησιν Ὀλυμπίων· τοῦτο Ἐπιμενίδην κατασκευάσαι λέγουσιν, οὐχ ὁμολογοῦντες τὰ ἐς αὐτὸν Ἀργείοις, ὅπου μηδὲ πολεμῆσαί φασι πρὸς Κνωσίους.

CAPUT XIII.

De memorandis prope Sciadem — templo Proserpinae Sospitae et Carneo domestico dicto — Apolline Carneo — signo Aphetaei et aris deorum Ambuliorum — templis Jovis Coloniatae et Euanemi ac Pleuronis heroo — templis Junonis Argivae et Hyperchiriae ac signo Junonis Veneris — Hetoemocle et Hippostlene.

Πλησίον δὲ ἔστι μὲν Κυνόρτου τοῦ Ἀμύκλα τάφος, ἔστι δὲ καὶ Κάστορος μνῆμα, ἐπὶ δὲ αὐτῷ [1]) καὶ ἱερὸν πεποίηται. τεσσαρακοστῷ γὰρ ὕστερον ἔτει τῆς μάχης τῆς

19) ἐκρέμ. Λακεδ. τὴν Τιμοθέου τοῦ Μιλ. κιθάραν] Cod. V. ἐκρέμ. οἱ Λακεδ. De Timotheo Milesio, poëta lyrico et musico, qui Euripidis tempore vixit, et Νόμους composuit, vid. Suid. h. v., qui multa de eo collegit, et Clem. Alex. Strom. L. I. p. 308. D. Ejus Νόμον, *Persas*, Pausan. L. VIII. C. 50, et Athen. Deipn. nonnullos ex ejus carminibus versus laudat.

1) αὐτῷ] Ex Cod. Vind. et Mosc. restitui pro αὐτό.

τῆς πρὸς Ἰδᾶν καὶ Λυγκέα [2]) θεοὺς τοὺς Τυνδάρεω παῖδας καὶ οὐ πρότερον νομισθῆναί φασι. δείκνυται δὲ πρὸς τῇ Σκιάδι καὶ Ἴδα καὶ Λυγκέως τάφος. κατὰ μὲν δὴ τοῦ λόγου τὸ εἰκὸς ἐτάφησαν ἐν τῇ Μεσσηνίᾳ, καὶ οὐ ταύτῃ. Μεσσηνίων δὲ αἱ συμφοραὶ καὶ ὁ χρόνος, ὅσον ἔφυγον ἐκ Πελοποννήσου, πολλὰ τῶν ἀρχαίων καὶ κατελθοῦσιν ἐποίησεν ἄγνωστα· ἅτε δὲ ἐκείνων οὐκ εἰδότων ἐστὶν ἤδη τοῖς ἐθέλουσιν ἀμφισβητεῖν. Λακεδαιμονίοις δὲ ἀπαντικρὺ τῆς Ὀλυμπίας Ἀφρο- 2
δίτης ἐστὶ ναὸς Κόρης Σωτείρας· ποιῆσαι δὲ τὸν Θρᾷκα Ὀρφέα λέγουσιν, οἱ δὲ Ἄβαριν [3]) ἀφικόμενον ἐξ Ὑπερβορέων. Ὁ δὲ Κάρνειος, ὃν Οἰκέταν ἐπονομάζουσι, τιμὰς εἶχεν ἐν Σπάρτῃ καὶ πρὶν Ἡρακλείδας κατελθεῖν, ἱδρυτὸ δὲ ἐν οἰκίᾳ Κριοῦ τοῦ Θεοκλέους ἀνδρὸς μάντεως. τούτου δὲ τοῦ Κριοῦ γεμιζούσῃ [4]) τῇ θυγατρὶ ὕδωρ συντυχόντες κατάσκοποι τῶν Δωριέων, αὐτῇ τε ἀφίκοντο ἐς λόγους, καὶ παρὰ τὸν Κριὸν ἐλθόντες διδάσκονται τὴν ἅλωσιν τῆς Σπάρτης. Κάρνειον 3
δὲ Ἀπόλλωνα Δωριεῦσι τοῖς πᾶσι σέβεσθαι καθέστηκεν ἀπὸ Κάρνου [5]) γένος ἐξ Ἀκαρνανίας, μαντευομένου δὲ ἐξ Ἀπόλλωνος. τοῦτον γὰρ τὸν Κάρνον ἀποκτείναντος Ἱππότου τοῦ Φύλαντος, ἐνέπεσεν εἰς τὸ στρατόπεδον τοῖς Δωριεῦσι μήνιμα Ἀπόλλωνος, καὶ Ἱππότης τε ἔφυγεν ἐπὶ τῷ φόνῳ, καὶ Δωριεῦσιν ἀπὸ τούτου

2) Ἴδαν καὶ Λυγκέα] Vid. L. IV. C. 2. 3. et Apollodor. L. III. C. 11. p. 241. 244.

3) Ἄβαριν] Vid. Herodot. L. IV. f. 36. et ibi Valken.

4) γεμιζούσῃ] *Kuhn.* emendat κομιζούσῃ, sed libri scripti vulgatam exhibent.

5) Δωριεῦσι τοῖς πᾶσι σ. κ. ἀπὸ Κάρνου] Uterque Codex Δωρ. μὲν τοῖς π. De Carno, vate, vid. Heyne V. C. ad Apollodor. p. 512.

του τὸν Ἀκαρνᾶνα μάντιν καθέσηκεν ἱλάσκεσθαι, ἀλλὰ καὶ Λακεδαιμονίοις οὐχ οὗτος ὁ Οἰκέτας ἐστὶ Καρνειὸς, ὁ δὲ ἐν τοῦ μάντεως Κριοῦ τιμώμενος, Ἀχαιῶν ἔτι ἐχόντων τὴν Σπάρτην. Πραξίλλη [6]) μὲν δὴ πεποιημένα ἐστὶν, ὡς Εὐρώπης εἴη Καρνειὸς [7]), καὶ αὐτὸν ἀνεθρέψατο Ἀπόλλων καὶ Λητώ. λέγεται δὲ καὶ ἄλλος ἐπ' αὐτῷ λόγος· ἐν τῇ Ἰδῃ τῇ Τρωϊκῇ κρανείας ἐν Ἀπόλλωνος ἅλσει πεφυκυίας τοὺς Ἕλληνας ἐκτεμεῖν ἐς τοῦ ἵππου τοῦ δουρίου τὴν ποίησιν· μαθόντες δὲ ὀργὴν σφίσιν ἔχειν τὸν θεὸν, θυσίαις ἱλάσκονται καὶ Ἀπόλλωνα ὀνομάζουσι Κάρνειον, ὑπὲρ τῶν
4 κρανειῶν μεταθέντες τὸ ῥῶ κατὰ δή τι ἀρχαῖον. Τοῦ Καρνειοῦ δὲ οὐ πόρρω καλούμενόν ἐστιν ἄγαλμα Ἀφεταίου· τοῖς δὲ Πηνελόπης μνησῆρσί φασιν ἐντεῦθεν γενέσθαι τοῦ δρόμου τὴν ἀρχήν. ἔστι δέ τι χωρίον ἔχον σοὰς ἐν τετραγώνῳ τῷ σχήματι, ἔνθα σφίσιν ἐπιπράσκετο ὁ ῥῶπος [8]) τὸ ἀρχαῖον· πρὸς τοῦτο [9]) Διὸς Ἀμβουλίου καὶ Ἀθηνᾶς ἐστιν Ἀμβουλίας βωμὸς, καὶ Διοσ-
5 κούρων καὶ τούτων Ἀμβουλίων. Ἀπαντικρὺ δὲ ἥ τε ὀνομαζομένη Κολώνα καὶ Διονύσου Κολωνάτα ναός. πρὸς αὐτὸ [10]) δὲ τέμενός ἐστιν ἥρωος, ὃν τῆς ὁδοῦ τῆς ἐς Σπάρτην Διονύσῳ φασὶ γενέσθαι ἡγεμόνα. τῷ δὲ ἥρωϊ

6) Πραξίλλη] De hac poëtria Sicyonia vid. Wolfii Poëtriar. Fragm. et Elogia p. 76. etc.

7) ὡς Εὐρώπης εἴη Καρνειὸς] Uterque Cod. εἴη καὶ Καρνειός. Pro Καρνειὸς *Kuhn.* temere scribendum putat Κάρνος; ad Carneum enim pertinet narratio, non ad Carnum. Mox Cod. Mosc. ἀνεθρέψαντο.

8) ὁ ῥῶπος] *res usu detritae et viles*, quas Romani *scruta* vocant. Vid. Hesych. ῥῶπος et ibi not.

9) πρὸς τοῦτο] *Sylb.* mavult πρὸς τούτῳ secundum Pausaniae loquendi usum.

10) πρὸς αὐτὸ] Lectionem αὐτῷ, quam *Sylb.* conjecerat, firmat Cod. Mosc.

ἥρωϊ τούτῳ πρὶν ἢ τῷ θεῷ θύουσιν αἱ Διονυσιάδες καὶ αἱ Λευκιππίδες [11]). τὰς δὲ ἄλλας ἕνδεκα, ἃς καὶ αὐτὰς Διονυσιάδας ὀνομάζουσι, ταύταις δρόμου προτιθέασιν ἀγῶνα· δρᾶν δὲ οὕτω σφίσιν ἦλθεν ἐκ Δελφῶν. τοῦ Διονύσου δὲ οὐ μακρὰν Διὸς ἱερόν ἐστιν Εὐανέμου, τούτου δὲ ἐν δεξιᾷ Πλευρῶνος ἡρῷον. γεγόνασι δὲ οἱ Τυνδάρεω παῖδες τὰ πρὸς μητρὸς ἀπὸ τοῦ Πλευρῶνος. Θέστιον γὰρ τὸν Λήδας πατέρα Ἀρειός φησιν ἐν τοῖς ἔπεσιν [12]) Ἀγήνορος παῖδα εἶναι τοῦ Πλευρῶνος. Τοῦ δὲ ἡρῴου λόφος ἐστὶν οὐ πόρρω, καὶ 6
Ἥρας ἐπὶ τῷ λόφῳ ναὸς Ἀργείας· ἱδρύσασθαι δὲ Εὐρυδίκην φασὶ Λακεδαίμονος θυγατέρα, γυναῖκα δὲ Ἀκρισίου τοῦ Ἄβαντος. Ἥρας δὲ ἱερὸν Ὑπερχειρίας κατὰ μαντείαν ἐποιήθη, τοῦ Εὐρώτα πολὺ τῆς γῆς σφισιν ἐπικλύζοντος. Ξόανον δὲ ἀρχαῖον καλοῦσιν Ἀφροδίτης Ἥρας· ἐπὶ δὲ θυγατρὶ γαμουμένῃ νενομίκασι τὰς μητέρας τῇ θεῷ θύειν. Τοῦ λόφου δὲ 7
κατὰ τὴν ἐς δεξιὰν ὁδὸν Ἑτοιμοκλέους ἐστὶν εἰκών. τῷ δὲ Ἑτοιμοκλεῖ καὶ αὐτῷ Ἱπποσθένει [13]) τῷ πατρὶ

11) αἱ Διονυσιάδες καὶ αἱ Λευκιππίδες] Hesych. Διονυσιάδες, ἐν Σπάρτῃ παρθένοι, αἱ ἐν τοῖς Διονυσίοις δρόμον ἀγωνιζόμεναι. Λευκιππίδ., quae alias Leucippi filiae a Dioscuris raptae, hic vel virginum sacerdotum Bacchi familia, vel illae ipsae Leucippi filiarum sacerdotes sunt, de quibus Pausan. C. 16. init. loquitur. In iis, quae mox subsequuntur, immutata orationis structura est notanda, τὰς δὲ ἄλλας — ταύταις etc.

12) Θέστιον γὰρ τὸν Λήδας π. Ἀρειός φησιν ἐν τ. ἔπ.] Palmer. Exercit. p. 384. et Valkenar. Diatrib. in Euripid. fragm. p. 61. 1. pro Ἀρειος scribendum esse Ἄσιος non temere conjiciunt, de quo poëta vid. not. ad L. II. C. 6. De *Thestii* stirpis diversitate vid. Heyne V. C. ad Apollod. p. 111.

13) Ἑτοιμοκλεῖ κ. αὐτῷ Ἱπποσθένει] *Sylb.* mavult ex vulgata Ἑτυμοκλεῖ. De Hippostene vid. et C. 15. et L. V. C. 8.

πάλης εἰσὶν Ὀλυμπικαὶ νῖκαι· καὶ συναμφοτέροις μὲν μία τε καὶ δέκα, τῷ δὲ Ἱπποσθένει μιᾷ νίκῃ τὸν υἱὸν παρελθεῖν ὑπῆρξεν.

CAPUT XIV.

De memorandis in via a foro ſolis occaſum verſus, theatro ac Pauſaniae et Leonidae ſepulcris — regione Theomelida dicta et memorandis ad eam — Anchione — templo Thetidis — Cerere Chthonia — loco Dromos dicto et memorandis ad eum — templo Aesculapii Agnitae, et Dioscurorum Apheteriorum ſignis — de loco Plataniſtas dicto et certaminibus epheborum ibi inſtitutis — ephebaeo et ſacris, quae ibi fiunt.

Ἐκ δὲ τῆς ἀγορᾶς πρὸς ἥλιον ἰόντι δυόμενον, τάφος κενὸς Βρασίδα τῷ Τέλλιδος πεποίηται. ἀπέχει δὲ οὐ πολὺ τοῦ τάφου τὸ θέατρον λίθου λευκοῦ θέας ἄξιον. τοῦ θεάτρου δὲ ἀπαντικρὺ Παυσανίου τοῦ Πλαταιάσιν ἡγησαμένου μνῆμά ἐστι, τὸ δὲ ἕτερον Λεωνίδου· καὶ λόγους κατὰ ἔτος ἕκαστον ἐπ' αὐτοῖς λέγουσι, καὶ τιθέασιν ἀγῶνα, ἐν ᾧ πλὴν Σπαρτιατῶν ἄλλῳ γε οὐκ ἔστιν ἀγωνίζεσθαι. τὰ δὲ ὀστᾶ τοῦ Λεωνίδου, τεσσαράκοντα ἔτεσιν ὕστερον ἀνελομένου ἐκ Θερμοπυλῶν τοῦ Παυσανίου [1]), κεῖται δὲ καὶ σήλη πατρόθεν τὰ ὀνόματα ἔχουσα, οἳ πρὸς Μήδους τὸν ἐν Θερμοπύλαις
2 ἀγῶνα ὑπέμειναν. Καλεῖται δὲ ἐν τῇ Σπάρτῃ Θεομηλίδα χωρίον. κατὰ τοῦτο τῆς πόλεως τάφοι τῶν Ἀγιαδῶν [2]) βασιλέων εἰσὶ, καὶ πλησίον ὀνομαζομένη λέσχη

1) τὰ δὲ ὀστᾶ — Παυσαν.] Poſt Παυσ. vocem κεῖται, bis poſitam, ſemel excidiſſe, credibiliter ſuſpicatur *Kuhnius*. Aliter δὲ poſt κεῖται auferendum eſſet.

2) Ἀγιαδῶν] Lectio mendoſa

λέσχη Κροτανῶν. εἰσὶ δὲ οἱ Κροτανοὶ Πιτανατῶν μοῖρα [3]). Ἀσκληπιοῦ δὲ οὐ πόρρω τῆς λέσχης ἐστὶν ἱερὸν, Ἐναπάδων καλουμένων [4]). προελθοῦσι δὲ, Ταινάρου [5]) μνῆμά ἐστι, καὶ τὴν ἄκραν τὴν ἐς θάλασσαν ἐσέχουσαν ἀπὸ τούτου Φασὶν ὀνομασθῆναι. Θεῶν δὲ ἱερὰ Ποσειδῶνός ἐστιν Ἱπποκουρίου, καὶ Ἀρτέμιδος Αἰγεινέας [6]). ἐπανελθοῦσι δὲ ὀπίσω πρὸς τὴν λέσχην ἐστὶν Ἀρτέμιδος Ἰσώρας [7]) ἱερόν· ἐπονομάζουσι δὲ αὐτὴν καὶ Λιμναίαν, οὖσαν οὐκ Ἄρτεμιν, Βριτόμαρτιν δὲ τὴν Κρητῶν. τὰ δὲ ἐς αὐτὴν ὁ Αἰγιναῖος ἔχει μοι λόγος. Ἐγγυτάτω δὲ τῶν μνημάτων, ἃ τοῖς Ἀγιάδαις πεποίηται, σήλην ὄψει, γεγραμμένα δέ εἰσιν, ἃς Ἀγχιόνις [8]) ἀνὴρ Λακεδαιμόνιος δρόμου νίκας ἀνεί- 3

dosa Aldinae Αἰγιπαδῶν etiam in Cod. Mosc. est, uti et infra pro Ἀγιάδαις in utroque Codice Ἀπάδαις, scilicet ex confusione literarum Γι et Π.

3) λέσχη — Πιτανατῶν μοῖρα] De *locis publicis confabulationibus destinatis*, quae Graecis λέσχαι dicebantur, pluribus egit Meurs. ad Lycophr. v. 543. Conf. Paus. L. X. C. 25. init., Hesych. atque Suid. h. v. Πιτάνη fuit pagus Laconic., unde Πιτανάται. Vid. Hesych. Πιτανάτης et ibi not.

4) Ἐναπάδων καλουμένων] Bene *Sylb.* καλούμενον scribere suadet, ut ad ἱερὸν referatur. Ἐναπάδων corruptum esse, suspicor.

5) Ταινάρου] Neptuni filium fuisse, et ab eo promontorium nomen accepisse, schol. referunt ad Apollon. Rhod. L. I. v. 179.

6) Αἰγεινέας] Αἰγιναίας scribendum esse, *Sylb.* recte monet. Idem fere mendum paullo post pro Αἰγιναῖος in Cod. Vind. est, qui exhibet Αἰγεινατος. De Diana Aegin. et Britomarte relata lege supra L. II. C. 30.

7) Ἀρτέμ. Ἰσώρας] Non dubito, quin Ἰσσωρίας rescribendum sit ex ipso Pausan. C. 25. huj. Libri. Steph. Byz. Ἰσσώριον ὄρος τῆς Λακωνικῆς, ἀφ' οὗ ἡ Ἄρτεμις Ἰσσωρία, et Hesych. Ἰσσωρία ἡ Ἄρτεμις, καὶ ἑορτὴ καὶ τόπος ἐν Σπάρτῃ.

8) Ἀγχιόνις] Admodum probabile est, hoc nomen idem esse debere, quod Χιόνις scribitur L. IV. C. 23., L. VI. C. 13. et L. VIII. C. 39. Forte ἀγ ex ante-

λετο, ἄλλας τε καὶ Ὀλυμπιάσιν. ἐνταῦθα δὲ ἑπτὰ ἐγένοντο νῖκαι, τέσσαρες μὲν σταδίου, διαύλου δὲ αἱ λοιπαί· τὸν δὲ σὺν τῇ ἀσπίδι δρόμον ἐπὶ ἀγῶνι λήγοντι οὐ συνέβαινεν εἶναί πω. Ἀγχιόνιν δὲ καὶ τῷ στόλῳ μετασχεῖν τῷ Θηραίῳ Βάττῳ, καὶ Κυρήνην οἰκίσαι [9]) σὺν ἐκείνῳ, καὶ Λιβύων καταστρέψασθαι τοὺς προσ-
4 χώρους λέγουσι. Τὸ δὲ ἱερὸν τῆς Θέτιδος κατασκευασθῆναί φασιν ἐπ' αἰτίᾳ τοιαύτῃ· πολεμεῖν μὲν πρὸς Μεσσηνίους ἀφεσηκότας, τὸν δὲ βασιλέα σφῶν Ἀνάξανδρον ἐσβαλόντα ἐς τὴν Μεσσηνίαν λαβεῖν αἰχμαλώτους γυναῖκας, ἐν δὲ αὐταῖς εἶναι Κλεώ, Θέτιδος δὲ αὐτὴν ἱέρειαν εἶναι. ταύτην ἡ τοῦ Ἀναξάνδρου γυνὴ τὴν Κλεὼ παρὰ τοῦ Ἀναξάνδρου αἰτεῖ, καὶ τό τε ξόανον τῆς Θέτιδος ἀνεῦρεν ἔχουσαν, καὶ ναὸν μετ' αὐτῆς ἱδρύσατο τῇ θεῷ· ἐποίει δὲ ταῦτα ἡ Λιανδρὶς κατὰ ὄψιν ὀνείρατος. τὸ μὲν δὴ ξόανον τῆς
5 Θέτιδος ἐν ἀπορρήτῳ φυλάσσουσι. Δήμητρα δὲ Χθονίαν Λακεδαιμόνιοι μὲν σέβειν φασὶ, παραδόντος σφίσιν Ὀρφέως· δόξῃ δὲ ἐμῇ διὰ τὸ ἱερὸν τὸ ἐν Ἑρμιόνῃ [10]) κατεσῆ καὶ τούτοις Χθονίαν νομίζειν Δήμητρα. ἔστι δὲ καὶ Σαράπιδος νεώτατον τοῦτο Σπαρτιάταις ἱερὸν,
6 καὶ Διὸς ἐπίκλησιν Ὀλυμπίου. Καλοῦσι δὲ Λακεδαιμόνιοι Δρόμον, ἔνθα τοῖς νέοις καὶ ἐφ' ἡμῶν ἔτι δρόμου μελέτη καθέσηκεν. ἐς τοῦτον τὸν Δρόμον ἰόντι ἀπὸ

antecedenti ἃς librariorum ofcitantia enatum novum nomen peperit.

9) τῷ τόλῳ μετασχεῖν τῷ Θ. Βάττῳ, καὶ Κυρήνην οἰκίσαι] *Sylb.* ex conſtanti ſyntaxi vocis μετέχειν recte emendat τοῦ τόλου. Pro vulgata autem οἰκῆσαι cum *Kuhnio* ex ipſo Pauſania reſcribere non dubitavi οἰκίσαι. Is enim L. X. C. 15. in fine, ubi eadem de Batto habet, dicit, ἐπεὶ δὲ ᾤκισε Βάττος τὴν Κυρήνην. De Batto, Cyrenes conditore, locus claſſicus eſt in Herodot. L. IV. ſ. 154. ſq.

10) διὰ τὸ ἱερὸν τὸ ἐν Ἑρμιόνῃ etc.] Vid. ſupra L. II. C. 35.

ἀπὸ τοῦ τάφου τῶν Ἀγιδῶν ἐστιν ἐν ἀριστερᾷ μνῆμα Εὐμήδους· Ἱπποκόωντος δὲ καὶ οὗτος ἦν ὁ Εὐμήδης. ἔστι δὲ ἄγαλμα ἀρχαῖον Ἡρακλέους, ᾧ θύουσιν οἱ Σφαιρεῖς· οἱ δέ εἰσιν οἱ ἐκ τῶν ἐφήβων ἐς ἄνδρας ἀρχόμενοι συντελεῖν. πεποίηται δὲ καὶ γυμνάσια ἐν τῷ Δρόμῳ, τὸ ἕτερον Εὐρυκλέους ἀνάθημα ἀνδρὸς Σπαρτιάτου. τοῦ Δρόμου δὲ ἐκτὸς κατὰ τοῦ Ἡρακλέους τὸ ἄγαλμά ἐστιν οἰκία τὰ ἐφ' ἡμῶν ἰδιώτου, Μενελάου τὸ ἀρχαῖον. προελθοῦσι δὲ ἀπὸ τοῦ Δρόμου, Διοσκούρων ἱερὸν καὶ Χαρίτων, τὸ δὲ Εἰληθυίας [11]) ἐστὶν, Ἀπόλλωνός τε Καρνείου καὶ Ἀρτέμιδος Ἡγεμάχης [12]). Τὸ δὲ τοῦ Ἀγνίτα πεποίηται μὲν ἐν δεξιᾷ τοῦ 7
Δρόμου, Ἀσκληπιοῦ δέ ἐστιν ἐπίκλησις ὁ Ἀγνίτας, ὅτι ἦν ἄγνου τῷ θεῷ ξόανον. ἡ δὲ ἄγνος λύγος [13]) καὶ αὐτὴ κατὰ ταυτά ἐστι τῇ ῥάμνῳ [14]). τοῦ Ἀσκληπιοῦ δὲ οὐ πόρρω τρόπαιον ἕστηκε· Πολυδεύκην δὲ ἀναξῆσαί φασιν ἐπὶ Λυγκεῖ. καὶ δὴ [15]) καμοὶ καὶ τοῦτο ἀποφαίνει τὸν λόγον εἰκότα, οὐ ταφῆναι τοὺς Ἀφαρέως παῖδας ἐν Σπάρτῃ. πρὸς δὲ τοῦ Δρόμου τῇ ἀρχῇ Διόσκουροί τέ εἰσιν Ἀφετήριοι [16]), καὶ ὀλίγον προελθόντι ἡρῷον Ἄλκωνος. τὸν δὲ Ἄλκωνα λέγουσιν Ἱπποκόωντος παῖδα εἶναι. παρὰ δὲ

11) Εἰληθυίας] Cod. Vind. Ἐλειθυίας, quae ſcriptura in Pauſania potiſſimum reperitur.

12) Ἡγεμάχης] Cod. Moſc. Ἡγεμόνης.

13) ἡ δὲ ἄγνος λύγος etc.] Pro ἄγνος repoſui ἄγνος ex Heſych., Suida et aliis. De (*agno*) *vitice* et his *ſalicis generibus* vid. Dioscorid. L. I. C. 36., Plin. Hiſt. Nat. L. XXIV. C. 9. p. 336.

14) τῇ ῥάμνῳ] De hoc *ruborum* genere vid. Theophraſt. de cauſ. plant. L. III. p. 258., Plin. Hiſt. Nat. L. XXIV. C. 14. p. 346.

15) καὶ δὴ] Uterque Codex καὶ μή.

16) Ἀφετήριοι] Ab ἀφετηρία, ἡ, *carceres*. Suid. Ἀφετηρία, ἀρχή, θύρα τοῦ ἱπποδρόμου. Conf. Heſych. h. v.

CAPUT XV.

De Cyniscae heroo ad Platanetum — aliis herois, fonte Dorcea, Sebrio vico et Alcmanis, poëtae, monumento — templo Helenae et Herculis ejusque odii in Hippocoontis domum causis — memorandis in viis a Dromo (vid. C. 14.) ducentibus, templo Minervae Axiopoenae — Hipposthenis, luctatoris, templo, et Martis signo compedibus vincto — lesche, Poecile dicta, et memorandis ad eam — Junonis Aegophagae et Neptuni Genethlii templo — Veneris Morpho dictae templo, ejusque signo compedibus vincto.

Πρὸς δὲ τῷ Πλατανισ̃ᾷ καὶ Κυνίσκας ἐστὶν ἡρῷον, θυγατρὸς Ἀρχιδάμου βασιλεύοντος Σπαρτιατῶν· πρώτη δὲ ἱπποτρόφησε γυναικῶν, καὶ Ὀλυμπιάσι πρώ-
2 τη νίκην ἀνείλετο ἅρματι. Ἔξι δὲ τῆς σοᾶς, ἣ παρὰ τὸν Πλατανισ̃ᾶν πεποίηται, ταύτης ὄπισθεν ἡρῷα, τὸ μὲν Ἀλκίμου [1]), τὸ δὲ Ἐναρσ̃αιφόρου, καὶ ἀφεσ̃ηκος οὐ πολὺ Δορκέως, τὸ δὲ ἐπὶ τούτῳ Σεβροῦ· παῖδας δὲ Ἱπποκόωντος εἶναι λέγουσιν [2]). ἀπὸ δὲ Δορκέως κρήνην τὴν πλησίον τοῦ ἡρῴου Δορκείαν, τὸ δὲ χωρίον τὸ Σέβριον καλοῦσιν ἀπὸ Σεβροῦ. τοῦ Σεβρίου δέ ἐστιν ἐν δεξιᾷ μνῆμα Ἀλκμᾶνος [3]), ᾧ ποιήσαντι ἄσματα οὐδὲν ἐς ἡδονὴν αὐτῶν ἐλυμήνατο τῶν Λακώνων

1) τὸ μὲν Ἀλκίμου] Cod. Vind. pro τὸ μὲν exhibet τοῦ.

2) παῖδας δὲ Ἱππ. εἶν. λέγουσιν] Apollodor L. III. C. 10. 5. Hippocoontis filios 12 recensens pro Ἐναρσ̃αίφορος habet Ἐναρσ̃φόρος, pro Δορκεὺς Δορυκλεὺς et pro Σεβρὸς Τέβρος. Vid. ibi not. Paulo infra pro ἀπὸ Σεβροῦ Cod. Vind. ἀπὸ τοῦ Σεβροῦ.

3) Ἀλκμᾶνος] Codd. Vind. et Mosc. hic et paullo inferius Ἀλκάμανος. De hoc poëta vid. not. ad L. I. C. 41.

Λακώνων ἡ γλῶσσα, ἥκιστα παρεχομένη τὸ εὔφωνον. Ἑλένης δὲ ἱερὰ καὶ Ἡρακλέους, τῆς μὲν πλησίον τοῦ τάφου τοῦ Ἀλκμᾶνος, τοῦ δὲ ἐγγυτάτω τοῦ τείχους, ἐν αὐτῷ δὲ ἄγαλμα Ἡρακλέους ἐστὶν ὡπλισμένον· τὸ δὲ σχῆμα τοῦ ἀγάλματος διὰ τὴν πρὸς Ἱπποκόωντα καὶ τοὺς παῖδας μάχην γενέσθαι λέγουσι. τὸ δὲ ἔχθος Ἡρακλεῖ φασιν ἐς οἶκον ὑπάρξαι τὸν Ἱπποκόωντος, ὅτι μετὰ τὸν Ἴφίτου θάνατον [4]) καθαρσίων εἵνεκα ἐλθόντα αὐτὸν ἐν Σπάρτῃ ἀπηξίωσαν καθᾶραι. προσεγένετο δὲ ἐς τοῦ πολέμου τὴν ἀρχὴν καὶ ἄλλο τοιόνδε. Οἰωνὸς [5]), ἡλικίαν μὲν μειράκιον, ἀνεψιὸς δὲ Ἡρακλεῖ (Λικυμνίου [6]) γὰρ παῖς ἦν, τοῦ ἀδελφοῦ τοῦ Ἀλκμήνης), ἀφίκετο ἐς Σπάρτην ἅμα Ἡρακλεῖ. περιόντι [7]) δὲ καὶ θεωμένῳ τὴν πόλιν, ὡς ἐγίνετο κατὰ τοῦ Ἱπποκόωντος τὴν οἰκίαν, ἐνταῦθά οἱ κύων ἐπεφέρετο οἰκουρός· ὁ δὲ τυγχάνει τε ἀφεὶς λίθον ὁ Οἰωνὸς, καὶ καταβάλλει τὴν κύνα· ἐπεκθέουσιν οὖν τοῦ Ἱπποκόωντος οἱ παῖδες καὶ ῥοπάλοις τύπτοντες κατεργάζονται τὸν Οἰωνόν. τοῦτο Ἡρακλέα μάλιστα ἐξηγρίωσεν ἐς Ἱπποκόωντα καὶ τοὺς παῖδας· αὐτίκα δὲ ὡς ὀργῆς εἶχε, χωρεῖ σφίσιν ἐς μάχην. τότε μὲν δὴ τιτρώσκεται, καὶ λαθὼν ἀπεχώρησεν· ὕστερον δὲ ἐξεγένετό οἱ στρατεύσαντι ἐς Σπάρτην, τιμωρήσασθαι μὲν Ἱπποκόωντα, τιμωρήσασθαι δὲ καὶ τοὺς παῖδας τοῦ Οἰωνοῦ

4) Ἴφίτου θάνατον] Vid. Apollodor. L. II. C. 6. 1.

5) Οἰωνὸς] Vid. Apollodor. II. C. 7. 3. et ibi not. p. 456. 457.

6) Λικυμνίου] Reposui pro vulgata Λυκιμνίου, sicuti etiam in Paus. L. II. C. 22. illa scriptura est, quae, utpote in pluribus scriptoribus obvia, rectior esse videtur. Vid. Apollodor. p. 103. 104. et Hesych. Λικύμν. ac θριάζειν, ibique not.

7) περιόντι] Scribendum esse περιϊόντι, *circumeunti*, a περιϊέναι, recte monet *Sylburg*.

Οἰωνοῦ Φόνου. τὸ δὲ μνῆμα τῷ Οἰωνῷ πεποίηται
4 παρὰ τὸ Ἡρακλεῖον. Ἰόντι δὲ ἐκ τοῦ Δρόμου πρὸς ἀνίσχοντα ἥλιον, ἀτραπός ἐστιν ἐν δεξιᾷ καὶ Ἀθηνᾶς Ἀξιοποίνου καλουμένης ἱερόν. ὡς γὰρ δὴ ἀμυνόμενος Ἡρακλῆς Ἱπποκόωντα καὶ τοὺς παῖδας μετῆλθε κατ' ἀξίαν, ὧν προϋπῆρξαν, ἱερὸν Ἀθηνᾶς ἵδρυται, Ἀξιοποίνου δὲ ἐπίκλησιν, ὅτι τὰς τιμωρίας οἱ παλαιοὶ τῶν ἀνθρώπων ὠνόμαζον ποινάς. ἔστι δὲ καὶ ἄλλο ἱερὸν Ἀθηνᾶς ἰόντι ἑτέραν ὁδὸν ἀπὸ τοῦ Δρόμου. Θήραν δὲ ἀναθεῖναι τὸν Αὐτεσίωνος τοῦ Τισαμενοῦ τοῦ Θερσάνδρου φασὶν, ἡνίκα ἀποικίαν ἔστελλεν ἐπὶ τὴν νῆσον, ἣ νῦν ἀπὸ Θήρα τούτου τὸ ὄνομα ἔσχηκε, τὸ
5 δὲ ἀρχαῖον ἐκαλεῖτο Καλλίστη. Πλησίον δέ ἐστιν Ἱπποσθένους ναός, ᾧ γεγόνασιν αἱ πολλαὶ νῖκαι πάλης. σέβουσι δὲ ἐκ μαντεύματος τὸν Ἱπποσθένην, ἅτε Ποσειδῶνι τιμὰς νέμοντες. τοῦ ναοῦ δὲ ἀπαντικρὺ πέδας ἐστὶν ἔχων Ἐνυάλιος, ἄγαλμα ἀρχαῖον. γνώμῃ δὲ τῇ αὐτῇ [8]) Λακεδαιμονίων τε ἐς τοῦτό ἐστιν ἄγαλμα, καὶ Ἀθηναίων ἐς τὴν ἄπτερον καλουμένην Νίκην, τῶν μὲν οὔποτε τὸν Ἐνυάλιον φεύγοντα οἰχήσεσθαί σφισιν ἐνεχόμενον ταῖς πέδαις, Ἀθηναίων δὲ τὴν Νίκην αὐτόθι ἀεὶ μένειν οὐκ ὄντων πτερῶν. τόνδε μέν εἰσιν αἱ πόλεις αὗται τὰ ξόανα τὸν τρόπον ἱδρυμέναι καὶ ἐπὶ
6 δόξῃ τοιαύτῃ. Ἐν Σπάρτῃ δὲ λέσχη τέ ἐστι καλουμένη Ποικίλη, καὶ ἡρῷα πρὸς αὐτῇ, Κάδμου τοῦ Ἀγήνορος, τῶν

8) γνώμῃ δὲ τῇ αὐτῇ] Cod. Mosc. τῇ αὐτῇ non habet. Verborum autem constructio hic non dativum, sed nominativum postulat, a quo sequentes infinitivi pendeant. Quare forsan emendandum sit γνώμη δὲ ἡ αὐτή. *Eadem vero Lacedaemoniorum, quod ad hoc signum attinet, est sententia, quae Athenienſium in Victoria non alata; illorum* etc. Hujus Victoriae apud Athenienſes mentio fit L. I. C. 22.

τῶν τε ἀπογόνων Οἰολύκου τοῦ Θήρα, καὶ Αἰγέως τοῦ Οἰολύκου. ποιῆσαι δὲ τὰ ἡρῶα λέγουσι Μαῖσιν καὶ Λαίαν τε καὶ Εὐρώπαν, εἶναι δὲ αὐτοὺς Ὑραίου παῖδας τοῦ Αἰγέως. ἐποίησαν δὲ καὶ τῷ Ἀμφιλόχῳ τὸ ἡρῷον, ὅτι σφίσιν ὁ πρόγονος Τισαμενὸς μητρὸς ἦν Δημωνάσσης [9]), ἀδελφῆς Ἀμφιλόχου. Μόνοις δὲ 7
Ἑλλήνων Λακεδαιμονίοις καθέστηκεν Ἥραν ἐπονομάζειν αἰγοφάγον, καὶ αἶγας τῇ θεῷ θύειν. Ἡρακλέα δὲ λέγουσιν ἱδρύσασθαι τὸ ἱερὸν καὶ αἶγας θῦσαι πρῶτον, ὅτι μαχόμενῳ οἱ πρὸς Ἱπποκόωντα καὶ τοὺς παῖδας οὐδὲν ἐκ τῆς Ἥρας ἀπήντησεν ἐμπόδιον· ὥσπερ γὰρ ἐπὶ τῶν ἄλλων ἐδόξαζεν ἐναντιοῦσθαί οἱ τὴν θεόν. αἶγας δὲ αὐτὸν θῦσαί φασιν, ἱερείων ἀπορήσαντα ἀλλοίων. τοῦ θεάτρου δὲ οὐ πόρρω Ποσειδῶνός τε ἱερόν ἐστι Γενεθλίου, καὶ ἡρῷα Κλεοδέου [10]) τοῦ Ὕλλου καὶ Οἰβάλου. τῶν δὲ Ἀσκληπιείων τὸ ἐπιφανέστατον πεποίηται σφισι πρὸς τοῖς Βοωνήτοις, ἐν ἀριστερᾷ δὲ ἡρῷόν Τηλέκλου· τούτου δὲ καὶ ὕστερον ποιήσομαι μνήμην ἐν τῇ Μεσσηνίᾳ συγγραφῇ. [11]). Προελθοῦσι 8
δὲ οὐ πολὺ λόφος ἐστὶν οὐ μέγας, ἐπὶ δὲ αὐτῷ ναὸς ἀρχαῖος, καὶ Ἀφροδίτης ξόανον ὡπλισμένης. ναῶν δὲ, ὧν οἶδα, μόνῳ τούτῳ καὶ ὑπερῷον ἄλλο ἐπῳκοδόμηται Μορφοῦς ἱερόν. ἐπίκλησις μὲν δὴ τῆς Ἀφροδίτης ἐστὶν ἡ Μορφώ [12]), κάθηται δὲ καλύπτραν τε ἔχουσα καὶ πέδας περὶ τοῖς ποσί· περιθεῖναι δέ οἱ Τυνδάρεων τὰς πέδας φασὶν, ἀφομοιοῦντα τοῖς δεσμοῖς

9) Δημωνάσσης] Cod. Mosc. Δημονάσσης.

10) Κλεοδέου] Scribendum esse Κλεοδαίου, viri docti satis superque declararunt. Vid. not. ad L. II. C. 7.

11) Μεσσηνίᾳ συγγραφῇ] Vid. L. IV. C. 4.

12) ἡ Μορφώ] Hesych. Μορφώ, ἡ Ἀφροδίτη.

σμοῖς τὸ ἐς τοὺς συνοικοῦντας τῶν γυναικῶν βέβαιον. τὸν γὰρ δὴ ἕτερον λόγον, ὡς τὴν Θεὸν πέδαις ἐτιμωρεῖτο ὁ Τυνδάρεως, γενέσθαι ταῖς θυγατράσιν ἐξ Ἀφροδίτης ἡγούμενος τὰ ἐνείδη, τοῦτον δὲ οὐδὲ τὴν ἀρχὴν προσίεμαι· ἦ γὰρ δὴ παντάπασιν εὔηθες, κέδρου ποιησάμενον ζῴδιον καὶ ὄνομα Ἀφροδίτην θέμενον ἐλπίζειν ἀμύνεσθαι τὴν Θεόν.

CAPUT XVI.

De templo ac signis Hilaïrae et Phoebes, earumque sacerdotibus, quae Leucippides dicuntur — ovo, quod Leda peperit, ibi servato, atque aedificio Chiton dicto — domo Tyndari filiorum — herois nonnullis et Herculis lucta cum Eryce — Lycurgi legislatoris templo et sepulcris quibusdam — vico Limnaeo, templo Dianae Orthiae ac signo Dianae Tauricae — Dianae cultu sanguineo et puberum Lacedaem. flagellatione.

Πλησίον δὲ Ἱλαείρας καὶ Φοίβης ἐστὶν ἱερόν· ὁ ποιήσας τὰ ἔπη τὰ Κύπρια [1]) θυγατέρας αὐτὰς Ἀπόλλωνός φησιν εἶναι. κόραι δὲ ἱερῶνται σφίσιν παρθένοι, καλούμεναι κατὰ ταυτὰ ταῖς Θεαῖς καὶ αὗται Λευκιππίδες [2]). τὸ μὲν δὴ ἕτερον τῶν ἀγαλμάτων ἱερωσαμένη τις ταῖς Θεαῖς Λευκιππὶς ἐπεκόσμησε, πρόσωπον

1) ὁ ποιήσας τὰ ἔπη τὰ Κύπρια] De his antiquissimis carminibus, quibus bellum Trojanum, uti admodum credibile est, enarrabatur, et quorum auctor a quibusdam ipse Homerus, a plurimis autem *Stasinus* perhibebatur, docte et copiose egit Salmas. Exerc. p. 852. sq. et Perizon. ad Aeliani V. H. L. IX. C. 15.

2) κατὰ ταυτὰ ταῖς Θεαῖς etc.] quae Leucippi et Philodices filiae Leucippides appellabantur. Vid. Apollodor. L. III. C. 10. 3.

πον ἀντὶ τοῦ ἀρχαίου ποιησαμένη τῆς ἐφ' ἡμῶν τέχνης· τὸ δὲ ἕτερον μὴ καὶ τοῦτο ἐπικοσμεῖν αὐτὴν ἀπεῖπεν ὄνειρον. Ἐνταῦθα ἀπήρτηται ὠὸν τοῦ ὀρόφου κατ- 2.
ειλημμένον ταινίαις· εἶναι δέ φασιν ὠὸν ἐκεῖνο, ὃ τεκεῖν Λήδαν ἔχει λόγος. ὑφαίνουσι δὲ κατὰ ἔτος αἱ γυναῖκες τῷ Ἀπόλλωνι χιτῶνα τῷ ἐν Ἀμύκλαις, καὶ οἴκημα, ἔνθα ὑφαίνουσι, Χιτῶνα ὀνομάζουσιν. Οἰ- 3
κία δὲ αὐτοῦ πεποίηται πλησίον· τὸ δὲ ἐξαρχῆς φασιν αὐτὴν οἰκῆσαι τοὺς Τυνδάρεω παῖδας, χρόνῳ δὲ ὕστερον ἐκτήσατο Φορμίων Σπαρτιάτης. παρα τοῦτον ἀφίκοντο οἱ Διόσκουροι, ξένοις ἀνδράσιν ἐοικότες· ἥκειν δὲ ἐκ Κυρήνης φήσαντες καταχθῆναί τε ἠξίουν παρ' αὐτῷ, καὶ οἴκημα ἠτοῦντο [3]), ᾧ μάλιστα ἔχαιρον, ἡνίκα μετὰ ἀνθρώπων ἦσαν. ὁ δὲ οἰκίας μὲν τῆς ἄλλης ἐκέλευεν αὐτοὺς, ἔνθα ἂν ἐθέλωσιν, οἰκῆσαι, τὸ δὲ οἴκημα οὐκ ἔφη δώσειν· θυγάτηρ γὰρ ἔτυχέν [4]) οἱ παρθένος ἔχουσα ἐν αὐτῷ δίαιταν. ἐς δὲ τὴν ὑσεραίαν παρθένος μὲν ἐκείνη καὶ θεραπεία πᾶσα ἡ περὶ τὴν παῖδα ἠφάνισο, Διοσκούρων δὲ ἀγάλματα ἐν τῷ οἰκήματι εὑρέθη, καὶ τράπεζά τε καὶ σίλφιον [5]) ἐπ' αὐτῇ. τάδε μὲν οὕτω γενέσθαι λέγουσιν. Ἰόντι δὲ 4
ὡς ἐπὶ τὰς πύλας ἀπὸ τοῦ Χιτῶνος, Χείλωνός ἐστιν ἡρῷον τοῦ σοφοῦ νομιζομένου, καὶ Ἀθηναίῳ, ἥρωϊ, τῶν [6])
ὁμοῦ

3) οἴκημα ἠτ.] Hic, uti paullo infra, οἴκημα denotare *partem totius aedificii, cubiculum, conclave*, ex re ipsa patet.

4) ἔτυχεν] Restitui pro ἔτεκεν ex Cod. Mosc. et *Amas.* interpretatione, sententia vulgatam repudiante.

5) σίλφιον] *laserpitium.* De quo plantarum genere fuse pro more egit Salmas. Exerc. p. 352. sq. Conf. Perizon. ad Ael. V. H. L. XII. C. 37.

6) Ἀθηναίῳ, ἥρωϊ τῶν etc.] Male interpres Amas. *Athenienſis* herois. *Athenaeus* enim hic est nomen proprium Spartiatae,

ὁμοῦ Δωριεῖ τῷ Ἀναξανδρίδου στρατεύοντες ἐς Σικελίαν, ἐξάλησαν δὲ, τὴν Ἐρυκίνην χώραν νομίζοντες τῶν ἀπογόνων τῶν Ἡρακλέους εἶναι, καὶ οὐ βαρβάρων τῶν ἐχόντων. Ἡρακλέα γὰρ ἔχει λόγος παλαῖσαι πρὸς Ἔρυκα ἐπὶ τοῖσδε εἰρημένοις· ἢν μὲν Ἡρακλῆς νικήσῃ, γῆν τὴν Ἔρυκος Ἡρακλέους εἶναι, κρατηθέντος δὲ τῇ πάλῃ, βοῦς τὰς Γηρυόνου [7]) (ταύτας γὰρ τότε ἤλαυνεν Ἡρακλῆς, διανηξαμένας δὲ ἐπὶ Σικελίαν κατὰ τὸν Ἕλεον τὸν κῦφον [8]) ἀνευρήσων ἐπιδιέβη)· τὰς οὖν βοῦς ἔδει κρατηθέντος Ἡρακλέους τὸν Ἔρυκα ἄγοντα οἴχεσθαι. τὸ δὲ εὐμενὲς ἐκ τῶν θεῶν οὐ κατὰ ταυτὰ Ἡρακλεῖ καὶ ὕστερον Δωριεῖ τῷ Ἀναξανδρίδου παρεγένετο· ἀλλὰ Ἡρακλῆς μὲν ἀποκτίννυσιν [9]) Ἔρυκα, Δωριέα δὲ καὶ τῆς στρατιᾶς διέφθειραν τὸ πολὺ Ἐγεσταῖοι [10]). Λακεδαιμόνιοι δὲ καὶ Λυκούργῳ τῷ θεμένῳ τοὺς νόμους, οἷα δὴ θεῷ, πεποιήκασι καὶ τούτῳ ἱερόν.

tiatae, uti recte demonstravit Valkenar. ad Herodot. L. V. s. 46., qui locus s. 41. sq. ad rem ipsam est videndus. Uterque Codex vitiose hic exhibet Ἀθηναίων ῥῶ, et paullo infra pro τῶν Ἡρακλ. Cod. Vind. τοῦ Ἡρακλέους.

7) βοῦς τὰς Γηρυόνου] *Kuhn.* hic Ἔρυκος excidisse male suspicatur. Pausanias enim orationem pro more abruptam statim repetit verbis τὰς οὖν βοῦς ἔδει etc. Eadem narrat Pausan. L. IV. C. 36.

8) κατὰ τὸν Ἕλεον τὸν κῦφον] Amas. *ad Eleum Cyphum* et Loescher. *ad Eleum gibbosum.* Sed ignota ista verba vitiosa esse et medica manu egere, quisque videt. *Sylb.*, geographia duce, corrigendum putavit κατὰ τὸ Σκύλλαιον, τὴν ἄκραν, rectius vero et ingeniosius *Kuhn.* emendavit κατὰ τὸν ἡλίου σκύφον, *solis scypho*, quod probare videtur Heyne V. C. ad Apollodor. p. 395., ubi plura de hoc *solis scypho* seu *cymbio*, quo Hercules fretum superasse ferebatur, docte sunt explicata.

9) ἀποκτίννυσιν] Uterque Cod. ἀποκτείνυσιν.

10) Ἐγεσταῖοι] Vid. Wesseling. ad Herodot. L. V. s. 46. de variante hujus nominis scriptura in Codicibus obvia.

ἱερόν. τάφος δέ ἐστιν ὄπισθεν μὲν τοῦ ναοῦ τῷ Λυκούργου παιδὶ Εὐκόσμῳ, πρὸς δὲ τῷ βωμῷ Λαθρίας καὶ Ἀναξάνδρας· αἱ δὲ αὐταί τε ἦσαν δίδυμοι, καὶ ἐπὶ τούτῳ σφᾶς οἵ τ' Ἀριστοδήμου παῖδες, ἄλλοι ὄντες καὶ αὐτοὶ δίδυμοι, λαμβάνουσι· θυγατέρες δὲ ἦσαν Θερσάνδρου τοῦ Ἀγαμιδίδα [11]), βασιλεύοντος μὲν Κλεσθωναίων [12]), τελέσαντος δὲ ἀπογόνου Κλησίππου τοῦ Ἡρακλέους. τοῦ ναοῦ δὲ ἀπαντικρὺ μνῆμα Θεοπόμπου τοῦ Νικάνδρου, τὸ δὲ Εὐρυβιάδου, Λακεδαιμονίων τριήρεσιν ἐπ' Ἀρτεμισίῳ καὶ Σαλαμῖνι ναυμαχήσαντος πρὸς Μήδους. πλησίον δὲ Ἀσραβάκου καλουμένου ἐστὶν ἡρῷον. Τὸ δὲ χωρίον τὸ ἐπονομαζόμενον 6
Λιμναῖον Ὀρθίας [13]) ἱερόν ἐστιν Ἀρτέμιδος. τὸ ξόανον δὲ ἐκεῖνο εἶναι λέγουσιν, ὅ ποτε καὶ Ὀρέστης καὶ Ἰφιγένεια ἐκ τῆς Ταυρικῆς ἐκκλέπτουσιν· ἐς δὲ τὴν σφετέραν Λακεδαιμονίαν [14]) κομισθῆναί φασιν, Ὀρέστου καὶ ἐνταῦθα βασιλεύοντος. καί μοι εἰκὸς λέγειν μᾶλλόν τι δοκοῦσιν, ἢ Ἀθηναῖοι. ποίῳ γὰρ δὴ λόγῳ καταλιπεῖν ἂν ἐν Βραυρῶνι Ἰφιγένεια τὸ ἄγαλμα; ἢ πῶς, ἡνίκα Ἀθηναῖοι τὴν χώραν ἐκλιπεῖν παρεσκευάζοντο, οὐκ ἐπέθεντο [15]) καὶ τοῦτο ἐς τὰς ναῦς; καί τοι διαμεμένηκεν ἔτι καὶ νῦν τηλικοῦτο ὄνομα τῇ Ταυρικῇ

11) Ἀγαμιδίδα] *Sylb.* rectius Ἀγαμηδίδα scribi suspicatur, ut sit ab Ἀγαμήδης. Forsan potius Ἀγαμιδίδου.

12) Κλεσθωναίων] Hi non magis mihi noti sunt, quam Kuhnio, nec quidquam de hac gente conjiciendi copia est.

13) Ὀρθίας] Cognominis ratio redditur in fine hujus Capitis.

14) τὴν σφετέραν Λακεδαιμονίαν] *Amas.* legisse videtur Λακεδαιμόνιοι, quod, sensu exigente, frigidae vulgatae praeferendum est.

15) ἐπέθεντο] Libri scripti collati dant ἐσέθεντο, et inferius τηλικοῦτον pro τηλικοῦτο.

ρικῇ θεῷ, ὥστε ἀμφισβητοῦσι μὲν Καππάδοκες καὶ οἱ τὸν Εὔξεινον οἰκοῦντες τὸ ἄγαλμα εἶναι παρὰ σφισιν· ἀμφισβητοῦσι δὲ καὶ Λυδῶν οἷς ἐστιν Ἀρτέμιδος ἱερὸν Ἀναΐτιδος [16]). Ἀθηναίοις δὲ ἄρα παρῴφθη γενόμενον λάφυρον τῷ Μήδῳ· τὸ γὰρ ἐκ Βραυρῶνος ἐκομίσθη τε ἐς Σοῦσα, καὶ ὕστερον Σελεύκου δόντος Σύριοι Λαοδικεῖς ἐφ' ἡμῶν ἔχουσι. μαρτύρια δέ μοι καὶ τάδε, τὴν ἐν Λακεδαίμονι Ὀρθίαν τὸ ἐκ τῶν βαρβάρων εἶναι ξόανον· τοῦτο μὲν γὰρ Ἀστράβακος καὶ Ἀλωπεκος οἱ Ἰρβου τοῦ Ἀμφισθένους τοῦ Ἀμφικλέους τοῦ Ἀγιδος, τὸ ἄγαλμα εὑρόντες, αὐτίκα παρεφρόνησαν· τοῦτο δὲ οἱ Λιμνάται Σπαρτιατῶν καὶ Κυνοσουρεῖς [17]) καὶ ἐκ Μεσόας τε καὶ Πιτάνης [18]) θύοντες τῇ Ἀρτέμιδι ἐς διαφοράν, ἀπὸ δὲ αὐτῆς καὶ ἐς φόνους προήχθησαν [19]), ἀποθανόντων δὲ ἐπὶ τῷ βωμῷ πολλῶν, νόσος ἔφθειρε τοὺς λοιπούς. Καί σφισιν ἐπὶ τοῦτο γίνεσθαι λόγιον, αἵματι ἀνθρώπων τῷ βωμῷ αἱμάσσειν [20]). θυομένου δὲ, ὅτεῳ ὁ κλῆρος ἀπελάμβανε [21]), Λυκοῦργος

7

16) Ἀναΐτιδος] Uterque Cod. Ἀναιτιδος. De nefandis Ἀναΐτιδος sacris apud Armenios plura refert Strabo L. XI. in fine p. 805.

17) Κυνοσουρεῖς] A pago Laconico, qui Κυνοσουρὶς vocabatur (vid. schol. Callimach. hymn. in Dian. v. 94.), vel Κυνόσουρα, uti Hesychius habet.

18) ἐκ Μεσόας τε καὶ Πιτάνης] Variat scriptura in Μεσόα, pagi Laconici nomine. In Pausan. h. l. et L. VII. C. 20. scribitur Μεσόα, in Strephano vero, Strab. et Suida Μεσσόα. De Πιτάνη vid. supra not. ad C. 14.

19) καὶ ἐς φόνους προήχθη,] Uterque Codex καὶ ἐς φόβους καὶ ἐς φόνους προήχθη.

20) τῷ βωμῷ αἱμάσσειν]·Scribendum esse τὸν βωμὸν, constans verbi αἱμάσσειν constructio demonstrat.

21) ἀπελάμβανε] Codex Mosc. ἐπελάμβανε, et paullo inferius pro ἐμπίπλαται Cod. Vind. ἐμπίμπλαται. De puberum Spartanorum διαμαστιγώσει vid.

κοῦρος μετέβαλεν ἐς τὰς ἐπὶ τοῖς ἐφήβοις μάστιγας, ἐμπίπλαταί τε οὕτως ἀνθρώπων αἵματι ὁ βωμός. ἡ δὲ ἱέρεια τὸ ξόανον ἔχουσά σφισιν ἐφέστηκε. τὸ δέ ἐστιν ἄλλως μὲν κοῦφον ὑπὸ σμικρότητος, ἢν δὲ οἱ μαστιγοῦντές ποτε ὑποφειδόμενοι παίωσι καλὰ ἐφήβου κάλλος ἢ ἀξίωμα, τότε ἤδη τῇ γυναικὶ τὸ ξόανον γίνεται βαρύ, καὶ οὐκ ἔτι εὔφορον. ἡ δὲ ἐν αἰτίᾳ τοὺς μαστιγοῦντας πεποίηται [22]), καὶ πιέζεσθαι δι' αὐτούς φησιν. οὕτω τῷ ἀγάλματι ἀπὸ τῶν ἐν τῇ Ταυρικῇ θυσιῶν ἐμμεμένηκεν ἀνθρώπων αἵματι ἥδεσθαι. καλοῦσιν δὲ οὐκ Ὀρθίαν μόνον, ἀλλὰ καὶ Λυγοδέσμαν τὴν αὐτήν, ὅτι ἐν θάμνῳ λύγων εὑρέθη, περιειληθεῖσα δὲ ἡ λύγος ἐποίησε τὸ ἄγαλμα ὀρθόν.

vid. *Tertullian.* ad Martyr. C. 4., *Cicer.* Tuſcul. L. II. C. 14., *Plutarch.* Lycurg. ſ. 18. et *Hygin.* fab. 261.

22) ἐν αἰτίᾳ τ. μ. πεποίηται] Lectio utriusque Codicis hic partim mendoſa eſt, partim vulgata rectior; ita enim ſeſe habet: ἐναντία τ. μ. ποιεῖται. Praeſtare mihi videtur ποιεῖται ob ſequens φησὶν, ſic enim temporum ratio ſibi conſtat. Vitioſa vero hujus lectionis pars ἐναντία egregie firmat *Kuhnii* emendationem ejusdem mendi Cap. 5. hujus Libri, ubi vid. not.

CAPUT XVII.

De templo Lucinae — arce Lacedaemoniorum — templo Minervae Poliuchi seu Chalcioeci ejusque signo in arce — templo Minervae Erganes ibidem, ac Jovis Cosmetae — Musarum et Veneris Areae templis — Jovis antiquissimo signo aeneo — Pausaniae binis signis, ejus proditione ac Cleonices caede ab eo facta.

Οὐ πόρρω δὲ τῆς Ὀρθίας ἐστὶν Εἰλειθυίας ἱερόν· οἰκοδομῆσαι δέ φασιν αὐτὸ καὶ Εἰλείθυιαν νομίσαι θεὸν γενομένου σφίσιν ἐκ Δελφῶν μαντεύματος. 2 Λακεδαιμονίοις δὲ ἡ ἀκρόπολις μὲν ἐς ὕψος περιφανὲς ἐξίσχουσα οὐκ ἔστι, καθὰ δὴ Θηβαίοις τε ἡ Καδμεία, καὶ ἡ Λάρισσα Ἀργείοις· ὄντων δὲ ἐν τῇ πόλει λόφων καὶ ἄλλων, τὸ μάλιστα ἐς μετέωρον 3 ἀνῆκον ὀνομάζουσιν ἀκρόπολιν. Ἐνταῦθα Ἀθηνᾶς ἱερὸν πεποίηται, Πολιούχου καλουμένης καὶ Χαλκιοίκου τῆς αὐτῆς. τοῦ δὲ ἱεροῦ τῆς κατασκευῆς Τυνδάρεως, καθὰ λέγουσιν, ἤρξατο· ἀποθανόντος δὲ ἐκείνου, δεύτερα οἱ παῖδες ἐξεργάζεσθαι[1]) τὸ οἰκοδόμημα ἤθελον; ἀφεμὴ δέ σφισιν ἔμελλε τὰ ἐξ Ἀφιδναίων ἔσεσθαι λάφυρα. προαπολιπόντων δὲ καὶ τούτων, Λακεδαιμόνιοι πολλοῖς ἔτεσιν ὕστερον τόν τε ναὸν ὁμοίως καὶ ἄγαλμα[2]) ἐποιήσαντο Ἀθηνᾶς χαλκοῦν· Γιτιάδας δὲ εἰργάσατο ἀνὴρ ἐπιχώριος. ἐποίησε δὲ καὶ ἄσματα Δώρια ὁ Γιτιάδας, ἄλλα τε καὶ ὕμνον ἐς τὴν θεόν. ἐπείργασαι δὲ τῷ χαλκῷ πολλὰ μὲν τῶν ἄθλων

1) ἐξεργάζεσθαι] Cod. Mosc. ἐξειργάσασθαι.

2) καὶ ἄγαλμα] Cod. Vind. καὶ τὸ ἄγαλμα.

ἄθλων Ἡρακλέους, πολλὰ δὲ καὶ ὧν ἐθελοντὴς κατώρθωσε. Τυνδάρεω δὲ τῶν παίδων ἄλλα τε καὶ ἡ τῶν Λευκίππου θυγατέρων ἁρπαγή· καὶ Ἥφαιστος τὴν μητέρα ἐσὶν ἀπολύων τῶν δεσμῶν. ἐδήλωσα δὲ καὶ ταῦτα, ὁποῖα λέγεται, πρότερον ἔτι ἐν τῇ Ἀτθίδι συγγραφῇ [3]). Περσεῖ δ' ἐς Λιβύην καὶ ἐπὶ Μέδουσαν ὡρμημένῳ δίδοῦσαι νύμφαι δῶρά εἰσι κυνῆν καὶ τὰ ὑποδήματα, ὑφ' ὧν οἰσθήσεσθαι διὰ τοῦ ἀέρος ἔμελλεν. ἐπείργασαι [4]) δὲ καὶ τὰ ἐς τὴν Ἀθηνᾶς γένεσιν, καὶ Ἀμφιτρίτη καὶ Ποσειδῶν· ἃ δὴ μέγισα καὶ κάλλισα [5]), ἦν (ἐμοὶ δοκεῖν) θέας ἄξια. Ἔσι δὲ καὶ ἕτερον [6]) αὐτόθι Ἀθηνᾶς Ἐργάνης ἱερόν. ἐς δὲ τὴν πρὸς μεσημβρίαν σοὰν, Κοσμητᾶ [7]) τε ἐπίκλησιν Διὸς ναὸς καὶ Τυνδάρεω πρὸ αὐτοῦ μνῆμά ἐσιν. ἡ δὲ πρὸς δυσμὰς ἔχει τῶν σοῶν ἀετούς τε δύο τοὺς ὄρνιθας [8]), καὶ ἵσας ἐπ' αὐτοῖς νίκας, Λυσάνδρου μὲν

3) Ἀτθίδι συγγ.] Vid. L. I. C. 20.

4) ἐπείργασαι] Dedi ex Cod. Vind. pro vulgata ἀπείργασαι, quam sic emendandam esse, jam monuerat Heyne V. C. in *Samml. Antiquar. Aufs.* 1. St. p. 13. o., ubi de vario et saepe ambiguo usu vocis ἐπεργάζεσθαι in Pausania accurate disseritur.

5) ἃ δὴ μέγισα καὶ κάλλισα etc.] *Kuhn.* pro κάλλισα mavult μάλισα, *inprimis spectatu digna.* Equidem post κάλλισα commate posito sententiam expeditam reddidisse mihi videor.

6) ἕτερον] Mirum, cur ὕστερον neminem interpretum offenderit, quod non *locum* (ὄπισθεν), sed *tempus* denotare, nec cum *Amaſ.* verti potest: *post haec.* Quare pro vulgata illa ex Cod. Mosc. ἕτερον nil cunctatus reposui. De Minervae cognomine Ἐργάνη vid. Suid. h. v. et *Kuhnii* Indicem ad Ael. Var. Hist.

7) Κοσμητᾶ] Cod. Mosc. Κοσμητά.

8) ἀετούς τε δύο τ. ὄρνιθας] Addidit τοὺς ὄρνιθας, ne lector *has aquilas arte expressas* cum pinnaculis illis templorum triangularibus confundat, de quibus in not. ad L. I. C. 24. diximus.

ἀνάθημα, τῶν δὲ ἔργων ὑπόμνημα τῶν ἀμφοτέρων, τοῦ τε περὶ Ἔφεσον, ὅτε Ἀντίοχον τὸν Ἀλκιβιάδου κυβερνήτην καὶ Ἀθηναίων τριήρεις ἐνίκησε [9]), καὶ ὕστερον ἐν Αἰγὸς ποταμοῖς καθεῖλεν Ἀθηναίων τὸ ναυ-
5 τικόν. Ἐν ἀριστερᾷ δὲ τῆς Χαλκιοίκου Μουσῶν ἱδρύσαντο ἱερόν, ὅτι Λακεδαιμόνιοι [10]) τὰς ἐξόδους ἐπὶ τὰς μάχας οὐ μετὰ σαλπίγγων ἐποιοῦντο, ἀλλὰ πρός τε αὐλῶν μέλη καὶ ὑπὸ λύρας καὶ κιθάρας κρούσμασιν. ὄπισθεν δὲ τῆς Χαλκιοίκου ναός ἐστιν Ἀφροδίτης Ἀρείας· τὰ δὲ ξόανα ἀρχαῖα, εἴπερ τι ἄλλο
6 ἐν Ἕλλησι. Τῆς Χαλκιοίκου δὲ ἐν δεξιᾷ Διὸς ἄγαλμα ἐκ χαλκοῦ πεποίηται, παλαιότατον πάντων, ὁπόσα ἐστὶ χαλκοῦ· δι' ὅλου γὰρ οὐκ ἔστιν εἰργασμένον, ἐλλασμένου δὲ ἰδίᾳ τῶν μερῶν καθ' αὑτὸ ἑκάστου, συνήρμοσταί τε πρὸς ἄλληλα, καὶ ἧλοι συνέχουσιν αὐτὰ μὴ διαλυθῆναι. καὶ Λέαρχον δὲ ἄνδρα Ῥηγῖνον [11]) τὸ ἄγαλμα ποιῆσαι λέγουσιν, ὃν Διποίνου καὶ Σκύλλιδος, οἱ δὲ αὐτοῦ Δαιδάλου φασὶν εἶναι μαθητήν. πρὸς δὲ τῷ Σκηνώματι ὀνομαζομένῳ γυναικός ἐστιν εἰκών· Λακεδαιμόνιοι δὲ Εὐρυλεωνίδα λέγουσιν εἶναι· νίκην δὲ ἵππων συνωρίδι ἀνείλετο Ὀλυμπικήν.
7 Παρὰ δὲ τῆς Χαλκιοίκου τὸν βωμὸν ἑστήκασι δύο εἰκόνες Παυσανίου τοῦ περὶ Πλάταιαν ἡγησαμένου. τὰ δὲ ἐς αὐτὸν ὁποῖα ἐγένετο, εἰδόσιν οὐ διηγήσομαι· τὰ γάρ τοι πρότερον συγγραφέντα [12]) ἐπ' ἀκριβὲς ἀποχρῶντα ἦν ἐπεξελθεῖν σφισιν [13]). ἤκουσα δὲ ἀνδρὸς Βυζαν-

9) ὅτε Ἀντίοχον — ἐνίκησε] Vid. Plutarch. Lysandr. f. 5. init.

10) ὅτι Λακεδ.] Uterque Cod. ὅτι οἱ Λακ.

11) Ῥηγῖνον] Aldin. Ἡγῖνον, sed Codd. Vind. et Mosc. exhibent Ῥηγῖνον.

12) τὰ γάρ τοι πρότερον σ.] Cod. Vind. τὰ γὰρ τοῖς πρότ. σ.

13) ἐπεξελθεῖν σφισιν] Rescripsi ex utroque Codice pro vulgata

Βυζαντίου, Παυσανίαν φωραθῆναί τε ἐφ' οἷς ἐβουλεύετο, καὶ μόνον αὐτὸν ἱκετεύσαντα [14]) τὴν Χαλκίοικον ἁμαρτεῖν ἀδείας, κατ' ἄλλο μὲν οὐδὲν, φόνου δὲ ἄγος [15]) ἐκνίψασθαι μὴ δυνηθέντα. Ὡς γὰρ δὴ διέτριβε περὶ Ἑλλήσποντον ναυσὶ τῶν τε ἄλλων καὶ αὐτῶν Λακεδαιμονίων, παρθένου Βυζαντίας ἐπεθύμησε· καὶ αὐτίκα νυκτὸς ἀρχομένης τὴν Κλεονίκην (τοῦτο γὰρ τὸ ὄνομα ἦν τῇ κόρῃ) κομίζουσιν, οἷς ἐπετέτακτο. ἐν τούτῳ δὲ ὑπνωμένον τὸν Παυσανίαν ἐπήγειρεν ὁ ψόφος· ἰοῦσα γὰρ παρ' αὐτὸν τὸν καιόμενον λύχνον κατέβαλεν ἄκουσα. ἅτε δὲ ὁ Παυσανίας συνειδὼς αὑτῷ προδιδόντι τὴν Ἑλλάδα, καὶ δι' αὐτὸ ἐχόμενος ταραχῆ τε ἀεὶ καὶ δείματι, ἐξέτη καὶ τότε, καὶ τὴν παῖδα τῷ ἀκινάκῃ παίει. τοῦτο τὸ ἄγος οὐκ ἐξεγένετο ἀποφυγεῖν Παυσανίαν [16]), καθάρσια παντοῖα καὶ ἱκεσίας δεξαμένῳ Διὸς Φυξίου, καὶ δὴ ἐς Φιγαλίαν [17]) ἐλθόντι τὴν Ἀρκάδων παρὰ τοὺς ψυχαγωγούς,

8

vulgata ἀπεξελθεῖν. *Kuhn.* ita scribendum esse suspicatus erat. Post σφισιν Cod. Vind. addit ἀρκέσωμαι, et Mosc. ἀρκέσωμεν, quod mihi ex glossa vocis ἀποχρῶντα enatum esse videtur. De Pausaniae proditione et vitae exitu vid. Thucyd. L. I. f. 128. sq.

14) μόνον αὐτὸν ἱκετεύσαντα] Sic hunc locum ex Cod. Vind. restitui, cum vulgata μόνων αὐτῶν ἱκετευσάντων corrupta esse interpretes jam vidissent, et μόνον αὐτὸν τῶν ἱκετευσάντων emendassent.

15) φόνου δὲ ἄγος etc.] Pausaniae facinus in Cleonicen narrat quoque Plutarch. Cimon. f. 6. et de sera numinis vindicta p. 40. ed. Wyttenb.

16) οὐκ ἐξεγένετο ἀποφ. Παυσανίαν etc.] *Kuhn.* recte monet, Παυσανίᾳ scribendum esse, cum sequentes dativi δεξαμένῳ et ἐλθόντι hoc exigant.

17) Φιγαλίαν] Pro vulgata Φυγάλειαν scripsi ex ipso Pausan. L. VIII. C. 3. 5. 39. Plutarch. de sera num. vind. et Cimon. l. c. Pausaniam concessisse Heracleam refert. De ψυγαγωγοῖς et magica animarum evocatione vid. Ruhnk. V. C. ad Timaei Lex. v. ἐπαγωγαὶ et Wyttenb. ad Plut. de sera num. vind. p. 40.

γωγοὺς, δίκην δὲ, ἣν εἰκὸς ἦν, Κλεονίκη τε ἀπέδωκε καὶ τῷ θεῷ. Λακεδαιμόνιοί τε ἐκτελοῦντες πρόσταγμα ἐκ Δελφῶν [18]) τάς τε εἰκόνας ἐποιήσαντο τὰς χαλκᾶς, καὶ δαίμονα τιμῶσιν Ἐπιδωτὴν [19]), τὸ ἐπὶ Παυσανίᾳ τοῦ ἱκεσίου μήνιμα ἀποτρέπειν τὸν Ἐπιδωτὴν λέγοντες τοῦτον.

CAPUT XVIII.

De signo Veneris Ambologerae et templo Veneris Ophthalmitidis — templo Ammonis — Diana Cnagia — via Amyclas versus, Tiasa fluvio et templo Gratiarum, Phaennae et Cletae — memorandis Amyclarum — throni Amyclaei descriptio.

Τῶν δὲ ἀνδριάντων τοῦ Παυσανίου πλησίον ἐστὶν Ἀμβολογήρας [1]) Ἀφροδίτης ἄγαλμα, ἱδρυμένον κατὰ μαντείαν, ἄλλα δὲ ὕπνου καὶ θανάτου· καὶ σφᾶς ἀδελφοὺς εἶναι κατὰ τὰ ἔπη τὰ ἐν Ἰλιάδι [2]) ἤγηνται. ἰόντι δὲ ὡς ἐπὶ τὸ Ἀλπίον καλούμενον, ναός ἐστιν Ἀθηνᾶς Ὀφθαλμίτιδος· ἀναθεῖναι δὲ Λυκοῦργον λέγουσιν [3]) ἐκκοπέντα τῶν ὀφθαλμῶν τὸν ἕτερον ὑπὸ Ἀλκάνδρου, διότι, οὓς ἔθηκε νόμους, οὐκ ἀρεσοὺς συνέβαινεν εἶναι τῷ Ἀλκάνδρῳ. διαφυγὼν δὲ ἐς τοῦτο

18) πρόσταγμα ἐκ Δελφῶν etc.] Vid. Thucyd. L. I. f. 134.

19) Ἐπιδωτὴν] Uterque Cod. hic et infra Ἐπιδότην, uti et Plutarch. ὅτι οὐδὲ ζῆν ἐστιν ἡδέως κατ' Ἐπίκουρον. Numinis *beantis et averruncati malorum* hoc est epitheton. Conf. not. ad L. II. C. 10.

1) Ἀμβολογήρας] Plutarch. Quaest. Conv. L. III. Qu. 6. ἐν θεῶν ὕμνοις ἔλεγον, ἀνάβαλε ἄνω τὸ γῆρας, ὦ καλὰ Ἀφροδίτη.

2) ἐν Ἰλιάδι] Ξ. v. 231. et Π. v. 672. Conf. Aelian. V. H. L. II. C. 35.

3) ἀναθεῖναι δὲ Λυκοῦργον λέγ. etc.] De hac re vid. Plut. Lycurg. f. 11., ubi hanc Minervam Dorica dialecto Ὀπτιλέτιν dictam fuisse legimus.

τοῦτο τὸ χωρίον, Λακεδαιμονίων ἀμυνάντων, μὴ προσαπολεῖσθαί οἱ καὶ τὸν λειπόμενον ὀφθαλμὸν, οὕτω ναὸν Ὀφθαλμίτιδος Ἀθηνᾶς ἐποίησε. Προελ- 2
θόντι δὲ ἐντεῦθεν, ἱερόν ἐστιν Ἄμμωνος· φαίνονται δὲ ἀπαρχῆς Λακεδαιμόνιοι μάλιστα Ἑλλήνων χρώμενοι τῷ ἐν Λιβύῃ μαντείῳ. λέγεται δὲ καὶ Λυσάνδρῳ πολιορκοῦντι Ἄφυτιν τὴν [4]) ἐν τῇ Παλλήνῃ νύκτωρ ἐπιφανέντα Ἄμμωνα προαγορεύειν, ὡς ἄμεινον ἐκείνῳ τε ἔσοιτο καὶ τῇ Λακεδαίμονι πολέμου πρὸς Ἀφυταίους παυσαμένοις· καὶ οὕτω τὴν πολιορκίαν διέλυσεν ὁ Λύσανδρος, καὶ Λακεδαιμονίοις τὸν θεὸν σέβειν προήγαγεν ἐς πλέον. Ἀφυταῖοι δὲ τιμῶσιν Ἄμμωνα οὐδὲν ἧσσον, ἢ οἱ Ἀμμώνιοι Λιβύων [5]). Τὰ δὲ ἐς τὴν 3
Κναγίαν Ἄρτεμίν ἐστιν οὕτω λεγόμενα. Κναγέα ἄνδρα ἐπιχώριον στρατεῦσαί φασιν ἐς Ἄφιδναν ὁμοῦ τοῖς Διοσκούροις, ληφθέντα δὲ αἰχμάλωτον ἐν τῇ μάχῃ καὶ πραθέντα ἐς Κρήτην δουλεύειν, ἔνθα ἦν Ἀρτέμιδος τοῖς Κρησὶν ἱερὸν, ἀνὰ χρόνον δὲ αὐτόν τε ἀποδράναι, καὶ παρθένον τὴν ἱερευομένην ἔχοντα οἴχεσθαι τὸ ἄγαλμα ἀγομένην. ἐπὶ τούτῳ [6]) δὲ λέγουσιν ὀνομάζειν Κναγίαν Ἄρτεμιν. ἐμοὶ δὲ οὗτος ὁ Κναγεὺς ἄλλως ἀφικέσθαι πως ἐς Κρήτην φαίνεται, καὶ οὐχ ὡς οἱ Λακεδαιμόνιοί φασιν, ἐπεὶ μηδὲ γενέσθαι δοκῶ πρὸς Ἀφίδνῃ μάχην, Θησέως τε ἐν Θεσπρωτοῖς ἐχομένου, καὶ Ἀθηναίων οὐχ ὁμονοούντων, ἀλλὰ ἐς Μενεσθέα ῥεπόντων μᾶλλον ταῖς εὐνοίαις. οὐ μὴν

4) Ἄφυτιν τὴν] Pro vulgata τὸν ex Cod. Vind. reposui τήν. De *Aphyte* vid. Steph. Ἀφύτη, et de re ipsa conf. Plut. Lysandr. f. 20.

5) ἢ οἱ Ἀμμώνιοι Λιβύων] Cod. Vind. ἢ Ἀμμωνεῖον Λίβυοι, et Cod. Mosc. pro οἱ Ἀμμώνιοι quoque habet Ἀμμώνιον.

6) ἐπὶ τούτῳ] Cod. Vindob. ἐπὶ τοῦτο.

οὐδὲ ἀγῶνος συμβάντος πείθοιτο· ἄν τις αἰχμαλώτους ληφθῆναι παρὰ τῶν κρατησάντων, ἄλλως τε καὶ παρὰ πολὺ γενομένης τῆς νίκης, ὥστε [7]) ἁλῶναι καὶ αὐτὴν Ἄφιδναν. τάδε μὲν ἐς τοσοῦτον
4 ἐξητάσθω. Ἐς Ἀμύκλας [8]) δὲ κατιοῦσιν ἐκ Σπάρτης, ποταμός ἐστι Τίασα [9]). θυγατέρα δὲ νομίζουσιν εἶναι τοῦ Εὐρώτα τὴν Τίασαν· καὶ πρὸς αὐτῇ Χαρίτων ἐστὶν ἱερόν, Φαέννας καὶ Κλητᾶς [10]), καθὰ δὴ καὶ Ἀλκμὰν ἐποίησεν. ἱδρύσασθαι δὲ Λακεδαίμονα Χάρισιν ἐνταῦθα ἱερὸν [11]), καὶ θέσθαι τὰ ὀνόματα ἤγηνται.
5 Τὰ δὲ ἐν Ἀμύκλαις θέας ἄξια, ἀνὴρ πένταθλός ἐστιν ἐπὶ σήλης ὄνομα Αἴνητος. τούτῳ νικήσαντι Ὀλυμπιάσι καὶ ἔτι σεφανουμένῳ γενέσθαι τοῦ βίου τὴν τελευτὴν λέγουσι· τούτου τε οὖν ἐστιν εἰκών, καὶ τρίποδες χαλκοῖ. τοὺς δὲ ἀρχαιοτέρους δέκα [12]) τοῦ

πρὸς

7) παρὰ πολὺ γενομ. τ. νίκης, ὥστε etc.] *quum insignis illa victoria fuisset, ita ut* etc. παρὰ πολὺ Pausaniae est *maxime, insigniter.* ὥστε in Cod. Vind. et Mosc. abest, et paullo infra pro ἐξητάσθω Cod. Mosc. ἐξετάσθω.

8) ἐς Ἀμύκλας] De *Amyclis* vid. Heyne V. C. *Antiquar. Auff.* 1. *St.* p. 77. sq.

9) Τίασα] Uterque Cod. hic et paullo post Τίεσα.

10) Φαέννας καὶ Κλητᾶς] Vid. L. IX. C. 35. init.

11) ἐνταῦθα ἱερὸν] Uterque Cod. ἐν. τὸ ἱερόν. Mox ἐν Ἀμύκλαις in utroque Codice abest et pro ταὐτὰ Cod. Vind. ταῦτα.

12) τοὺς δὲ ἀρχαιοτέρους δέκα etc.] De his tripodibus narratio ita turbata et implicita est, ut illam expedire vix valeam. *Decem* trip. e belli Messeniaci tempore fuisse dicit, et *tres* tantum enumerat, quos post bellum Messeniac. dedicatos fuisse iisdem fere verbis refert Pausan. L. IV. C. 14. Paullo tamen post illos ex victoriae ad Aegospotamos manubiis consecratos esse dicit. Ad hanc discrepantiam removendam Heyne V. C. *Antiquar. Auff.* 1. *St.* p. 83. u. pro δέκα scribendum censet δύο, quod Caldon, tertii tripodis artifex, longe post Messeniaci belli tempora vixerit. Sed Pausaniae locus L. IV. C. 14. obstare videtur. Equidem numerum *trinum*, per litteram Γ expressum, sensim depravatum in Ι et δέκα transiisse, ideo-

πρὸς Μεσσηνίους πολέμου φασὶν εἶναι. ὑπὸ μὲν δὴ τῷ πρώτῳ τρίποδι Ἀφροδίτης ἄγαλμα ἕστηκει, Ἄρτεμις δὲ ὑπὸ τῷ δευτέρῳ [11]). Γιτιάδα καὶ αὐτοὶ τέχνη καὶ τὰ ἐπειργασμένα· ὁ τρίτος δέ ἐστιν Αἰγινήτου Κάλλωνος· ὑπὸ τούτῳ δὲ ἄγαλμα Κόρης τῆς Δήμητρος ἕστηκεν. Ἀρίσανδρος δὲ Πάριος καὶ Πολύκλειτος Ἀργεῖος, ὁ μὲν γυναῖκα ἐποίησεν ἔχουσαν λύραν Σπάρτην δῆθεν, Πολύκλειτος δὲ Ἀφροδίτην παρὰ Ἀμυκλαίῳ καλουμένην. οὗτοι δὲ οἱ τρίποδες μεγέθει τε ὑπὲρ τοὺς ἄλλους εἰσὶ, καὶ ἀπὸ τῆς νίκης τῆς ἐν Αἰγὸς ποταμοῖς ἀνετέθησαν. Βαθυκλέους δὲ Μάγνητος, 6
ὃς τὸν θρόνον [14]) ἐποίησε τοῦ Ἀμυκλαίου, ἀναθήματα ἐπεξειργασμένα τῷ θρόνῳ Χάριτες. καὶ ἄγαλμα δὲ Λευκοφρύνης ἐστὶν Ἀρτέμιδος [15]). ὅτου δὲ οὗτος ὁ Βαθυκλῆς μαθητὴς ἐγεγόνει, ἢ τὸν θρόνον ἐφ' ὅτου βασιλεύοντος Λακεδαιμονίων ἐποίησε, τάδε μὲν παρίημι. τὸν θρόνον δὲ εἶδόν τε, καὶ τὰ ἐς αὐτὸν ὁποῖα

ideoque ἀρχαιοτέρους γ' vel τρεῖς legendum, in sequentibus vero pro οὗτοι δὲ οἱ τρίποδες scribendum esse arbitror ἕτεροι δὲ οἱ τρίποδες etc.

13) ὑπὸ — δευτέρῳ] Haec signa sub ipsis tripodibus ita elaborata fuisse, credendum, ut tripodas sustinere viderentur. Id quod ex ipsis verbis (conf. L. IV. C. 14.) et praecipue ex L. X. C. 13. patet, ubi Pausan. memorat τρίποδα δράκοντι ἐπικείμενον χαλκῷ. Nec obstat, quod statim sequitur τὰ ἐπειργασμένα; a Pausania enim ἐπεργάζεσθαι et ἐπεξεργάζεσθαι universe usurpatur de iis artis operibus (seu signis, seu imaginibus a fundo elevatis ac typis), quae primario operi ornamenti causa adjecta sunt.

14) Βαθυκλέους δὲ M., ὃς τὸν θρόνον etc.] Ad throni Amyclaei descriptionem, quae hic sequitur, explicandam otium nobis fecit eximia doctrina et accurata omnis antiquitatis peritia V. C. Heyne, qui in *Antiquar. Aufs.* I. *St.* p. 1—114. omnia, quae huc pertinent, docte explanavit et illustravit.

15) Λευκοφρύνης ἐς. Ἀρτέμιδος] De hac Diana simili fere habitu cum Ephesia expressa vid. Heyne V. C. l. c. p. 109.

7 ὁποῖα ἦν, γράψω. Ἀνέχουσιν ἔμπροσθεν αὐτὸν, κατὰ ταυτὰ δὲ καὶ ὀπίσω, Χάριτές τε δύο καὶ Ὧραι δύο· ἐν ἀριστερᾷ δὲ Ἐχίδνα ἔστηκε καὶ Τυφὼς, ἐν δεξιᾷ δὲ Τρίτωνες. τὰ δὲ ἐπειργασμένα καθ' ἕκαστον ἐπ' ἀκριβὲς διελθεῖν, ὄχλον τοῖς ἐπιλεξομένοις παρέξειν ἔμελλεν. ὡς δὲ δηλῶσαι συμβαλόντι [15]) (ἐπεὶ μηδὲ ἄγνωστα τὰ πολλὰ ἦν), Ταϋγέτην θυγατέρα Ἄτλαντος καὶ ἀδελφὴν αὐτῆς Ἀλκυόνην Φέρουσι Ποσειδῶν καὶ Ζεύς. ἐπείργασαι δὲ καὶ Ἄτλας, καὶ Ἡρακλέους μονομαχία πρὸς Κύκνον, καὶ ἡ παρὰ Φόλῳ τῶν Κενταύρων μάχη. τὸν δὲ Μίνω καλούμενον ταῦρον, οὐκ οἶδα, ἀνθ' ὅτου πεποίηκε Βαθυκλῆς δεδεμένον τε καὶ ἀγόμενον ὑπὸ Θησέως ζῶντα. καὶ Φαιάκων χορός ἐστιν ἐπὶ τῷ θρόνῳ, καὶ ἄδων ὁ Δημοδόκος [17]). Περσέως τε τὸ ἔργον πεποίηται τὸ ἐς Μέδουσαν. παρέντι δὲ Ἡρακλέους μάχην πρὸς Θούριον τὸν γίγαντα [18]) καὶ Τυνδάρεω πρὸς Εὔρυτον, ἐστὶν ἁρπαγὴ τῶν Λευκίππου θυγατέρων. Διόνυσον δὲ, καὶ Ἡρακλέα, τὸν μὲν παῖδα ἐς οὐρανὸν ὄντα ἔτι ἐστὶν Ἑρμῆς φέρων, Ἀθηνᾶ δὲ ἄγουσα Ἡρακλέα συνοικήσοντα ἀπὸ τούτου θεοῖς. παραδίδωσι δὲ καὶ Πηλεὺς Ἀχιλλέα τραφησόμενον παρὰ Χείρωνι, ὃς καὶ διδάξαι λέγεται. Κέφαλος δὲ τοῦ κάλλους εἵνεκα ὑπὸ Ἠμέρας ἐστὶν ἡρπαγμένος. καὶ ἐς τὸν γάμον τὸν Ἁρμονίας δῶρα κομίζουσιν οἱ θεοί. καὶ Ἀχιλλέως μονομαχία πρὸς Μέμνονα ἐπείργασαι. Διομήδην τε Ἡρακλῆς τὸν Θρᾷκα

16) ὡς δὲ δηλῶσαι συμβαλόντι] *ut conjicienti ista indicem.* Admodum vero mihi arridet Kuhnii conjectura, συλλαβόντι, sc. λόγῳ, *ut paucis ea indicem*, pro ὡς δὲ συνελόντι εἰπεῖν.

17) Δημοδόκος] Vid. Homer. Odyss. VIII. (Θ.) v. 250—385.

18) τὸν γίγαντα] Cod. Vind. τὸν γιγάντων, et Mosc. τῶν γιγάντων.

Θρᾷκα καὶ ἐπ' Εὐήνῳ τῷ ποταμῷ Νέσσον τιμωρούμενος. Ἑρμῆς δὲ παρ' Ἀλέξανδρον κριθησομένας ἄγει τὰς θεάς. Ἄθρασος δὲ καὶ Τυδεὺς Ἀμφιάραον καὶ Λυκοῦργον τὸν Πρώνακτος μάχης καταπαύουσιν. Ἥρα δὲ ἀφορᾷ[19]) πρὸς Ἰὼ τὴν Ἰνάχου βοῦν οὖσαν ἤδη. καὶ Ἀθηνᾶ διώκοντα ἀποφεύγουσά ἐστιν Ἥφαιστον. ἐπὶ δὲ τούτοις Ἡρακλέους πεποίηται τάξις τῶν ἔργων τῶν ἐς τὴν Ὕδραν, καὶ ὡς ἀνήγαγε τοῦ ἅδου τὸν κύνα. Ἀναξίας δὲ καὶ Μνασινοῦς, τούτων μὲν ἐφ' ἵππου καθήμενός ἐστιν ἑκάτερος. Μεγαπένθην[20]) δὲ τὸν Μενελάου καὶ Νικόστρατον ἵππος εἷς φέρων ἐστίν. ἀναιρεῖ δὲ καὶ Βελλεροφόντης τὸ ἐν Λυκίᾳ θηρίον[21]). καὶ Ἡρακλῆς τὰς Γηρυόνου βοῦς ἐλαύνει. Τοῦ θρόνου δὲ πρὸς τοῖς ἄνω πέρασιν ἐφ' ἵππων ἑκατέρωθέν εἰσιν οἱ Τυνδάρεω παῖδες· καὶ σφίγγες τέ εἰσιν ὑπὸ τοῖς ἵπποις, καὶ θηρία ἄνω θέοντα, τῷ μὲν πάρδαλις, κατὰ δὲ τὸν Πολυδεύκην λέαινα. ἀνωτάτω δὲ χορὸς ἐπὶ τῷ θρόνῳ πεποίηται, Μάγνητες οἱ συνειργασμένοι Βαθυκλεῖ τὸν θρόνον. Ὑπελθόντι δὲ ὑπὸ τὸν θρόνον, τὰ ἔνδον ἀπὸ τῶν Τριτώνων[22]), ὑός ἐστι θήρα τοῦ Καλυδωνίου, καὶ Ἡρακλῆς ἀποκτείνων τοὺς παῖδας τοὺς Ἄκτορος[23]). Κάλαϊς δὲ καὶ Ζήτης τὰς ἁρπυίας Φινέως ἀπελαύνουσι. Πειρίθους τε καὶ Θησεὺς

19) ἀφορᾷ] Cod. Mosc. ἐφορᾷ, haud male.

20) Μεγαπένθην] Uterque Cod. Μεγαπένθη. De illo et Nicostrato vid. supra L. II. C. 19. Conf. Apollod. L. III. C. 11. 1. et ibi not.

21) τὸ ἐν Λυκίᾳ θηρίον] *Chimaeram.* Vid. Homer. Il. Z. v. 152. sq.

22) τὰ ἔνδον ἀπὸ τῶν Τριτώνων] *interiora ab illa parte, ubi Tritones sunt.* Respicit Pausanias ad supra dicta: ἐν δεξιᾷ δὲ Τρίτωνες.

23) τοὺς Ἄκτορος] Cod. V. τοῦ Ἄκτ.

σεὺς ἡρπακότες εἰσὶν Ἑλένην· καὶ ἄγχων Ἡρακλῆς τὸν λέοντα. Τιτυὸν δὲ Ἀπόλλων τοξεύει καὶ Ἄρτεμις. Ἡρακλέους τε πρὸς Ὀρσῖον Κένταυρον μάχη πεποίηται, καὶ Θησέως πρὸς ταῦρον τὸν Μίνω. πεποίηται καὶ ἡ πρὸς Ἀχελῶον Ἡρακλέους πάλη, καὶ τὰ λεγόμενα ἐς Ἥραν, ὡς ὑπὸ Ἡφαίστου δεθείη, καὶ ὃν Ἄκαστος ἔθηκεν ἀγῶνα ἐπὶ πατρὶ [24]), καὶ τὰ ἐς Μενέλαον καὶ τὸν Αἰγύπτιον Πρωτέα ἐν Ὀδυσσείᾳ [25]). τελευταῖα Ἄδμητός τε [26]) ζευγνύων ἐστὶν ὑπὸ τὸ ἅρμα κάπρον καὶ λέοντα, καὶ οἱ Τρῶες ἐπιφέροντες χοὰς Ἕκτορι.

CAPUT XIX.

Descriptio signi Amyclaei et eorum, quae in illius basi expressa sunt — de memorandis Amyclarum — Dionyso Psila dicto — via, quae Therapnen ducit et templo Aesculapii Cotylei — Marte Therita dicto — Therapne, et Menelai templo — de Helenae nece Rhodiorum narratio — Crotoniatarum narratio de Helena.

Τοῦ θρόνου δὲ, ἢ καθίζοιτο ἂν ὁ θεὸς, οὐ διαπαντὸς κατὰ τοῦτο συνεχοῦς ὄντος, ἀλλὰ καθέδρας παρεχομένου πλείονας, παρὰ δὲ καθέδραν ἑκάστην ὑπολειπομένης εὐρυχωρίας [1]), τὸ μέσον ἐστὶν εὐρυχωρὲς μάλιστα, 2 καὶ τὸ ἄγαλμα ἐνταῦθα ἐνέστηκε. Μέγεθος δὲ αὐτοῦ μέτρῳ [2]) μὲν οὐδένα ἀνευρόντα οἶδα, εἰκάζοντι δὲ καὶ τριά-

24) ἐπὶ πατρὶ] *Peliae.* Vid. Hygin. fab. 273. Conf. Paus. L. V. C. 17. in fine.

25) Ὀδυσσείᾳ] Vid. Odyss. IV. v. 395.

26) Ἄδμητός τε etc.] Vid. Apollod. L. I. C. 9. 15.

1) ὑπολειπ. εὐρυχ.] Uterque Codex ὑπολειπ. ἡμὶ εὐρυχ., et mox ἀνέστηκε pro ἐνέστηκε.

2) μέτρῳ] Uterque Cod. μέτρου.

τριάκοντα εἶναι φαίνοιντο ἂν πήχεις. ἔργον δὲ οὐ Βαθυκλέους ἐστὶν, ἀλλὰ ἀρχαῖον καὶ οὐ σὺν τέχνῃ πεποιημένον· ὅτι γὰρ μὴ πρόσωπον αὐτῷ καὶ πόδες εἰσὶν ἄκροι καὶ χεῖρες, τὸ λοιπὸν χαλκῷ κίονί ἐστιν εἰκασμένον. ἔχει δὲ ἐπὶ τῇ κεφαλῇ κράνος, λόγχην δὲ ἐν ταῖς χερσὶ καὶ τόξον. Τοῦ δὲ ἀγάλματος τὸ βάθρον 3
παρέχεται μὲν βωμοῦ σχῆμα, τετάφθαι δὲ τὸν Ὑάκινθον λέγουσιν ἐν αὐτῷ, καὶ Ὑακινθίοις πρὸ τῆς τοῦ Ἀπόλλωνος θυσίας ἐς τοῦτον Ὑακίνθῳ τὸν βωμὸν διὰ θύρας χαλκῆς ἐναγίζουσιν· ἐν ἀριστερᾷ δέ ἐστιν ἡ θύρα τοῦ βωμοῦ. Ἐπείργασαι δὲ τῷ βωμῷ τοῦτο 4
μὲν ἄγαλμα Βίριδος [3]), τοῦτο δὲ Ἀμφιτρίτης καὶ Ποσειδῶνος. Διὸς δὲ καὶ Ἑρμοῦ διαλεγομένων ἀλλήλοις πλησίον Διόνυσος ἑστήκασι καὶ Σεμέλη, παρὰ δὲ αὐτὴν Ἰνώ. πεποίηται δὲ ἐπὶ τοῦ βωμοῦ καὶ ἡ Δημήτηρ, καὶ Κόρη, καὶ Πλούτων· ἐπὶ δὲ αὐτοῖς Μοῖραί τε καὶ Ὧραι, σὺν δὲ σφίσιν Ἀφροδίτη καὶ Ἀθηνᾶ τε καὶ Ἄρτεμις· νομίζουσι δ' ἐς οὐρανὸν Ὑάκινθον καὶ Πολύβοιαν Ὑακίνθου, καθὰ λέγουσιν, ἀδελφὴν ἀποθανοῦσαν ἔτι παρθένον. τοῦτο μὲν δὴ τοῦ Ὑακίνθου τὸ ἄγαλμα ἔχον ἐστὶν ἤδη γένεια, Νικίας δὲ ὁ Νικομήδους [4]) περισσῶς δή τι ἔγραψεν αὐτὸν ὡραῖον, τὸν ἐπὶ Ὑακίνθῳ λεγό-

3) Βίριδος] Quaenam ista fuerit, ex nullo veterum scriptorum patet. *Sylb.* Κίριδος legendum suspicatur, cum *Adonis* Lacedaemoniis Κίρις dictus fuerit; vid. Hesych. Κίρις. *Kuhn.* Βήριδος emendat, illam ex Nereïdum numero eandemque cum *Beroë* fuisse ex Nonni Dionys. affirmans. *Heyne* V. C. l. c. p. 65. Βίριδος Dorica dialecto pro Ἴριδος dictum credibiliter conjicit.

4) Νικίας δὲ ὁ Νικομήδους] Niciam, pictorem, Nicomedis filium fuisse, ex Pausan. L. I. C. 29. et L. IV. C. 31 constat. Conf. Plin. H. N. L. XXXV. C. 11. p. 704., ubi Hyacinthi imago memoratur. Quare Νικομήδους ex Cod. V. restitui pro mendosa lectione Νικομηδεύς.

λεγόμενον Ἀπόλλωνος ἔρωτα ὑποσημαίνων. πεποίηται δὲ ἐπὶ τοῦ βωμοῦ καὶ Ἡρακλῆς ὑπὸ Ἀθηνᾶς καὶ θεῶν τῶν ἄλλων καὶ οὗτος ἀγόμενος ἐς οὐρανόν. εἰσὶ δὲ καὶ αἱ Θεσπίου θυγατέρες ἐπὶ τῷ βωμῷ, καὶ Μοῦσαί τε καὶ Ὧραι. περὶ δὲ ἀνέμου Ζεφύρου [5]), καὶ ὡς ὑπὸ τοῦ Ἀπόλλωνος Ὑάκινθος ἀπέθανεν ἄκοντος, ἢ τὰ ἐς τὸ ἄνθος εἰρημένα, τάχα μὲν ἂν ἔχοι καὶ ἄλ-
5 λως, δοκείτω δὲ, ἢ λέγεται. Ἀμύκλαι [6]) δὲ ἀνάστατος ὑπὸ Δωριέων γενομένη καὶ ἀπ' ἐκείνου κώμη διαμένουσα θέας παρείχετο ἄξιον ἱερὸν Ἀλεξάνδρας καὶ ἄγαλμα. τὴν δὲ Ἀλεξάνδραν οἱ Ἀμυκλαιεῖς Κασσάνδραν τὴν Πριάμου Φασὶν εἶναι. καὶ Κλυταιμνήστρας ἐστὶν ἐνταῦθα εἰκών, καὶ ἄγαλμα, Ἀγαμέ-
6 μνονος νομιζόμενον μνῆμα. Θεῶν δὲ σέβουσιν οἱ ταύτῃ τόν τε Ἀμυκλαῖον καὶ Διόνυσον ὀρθότατα (ἐμοὶ δοκεῖν) Ψίλαν ἐπονομάζοντες [7]). ψίλα γὰρ καλοῦσιν οἱ Δωριεῖς τὰ πτερά· ἀνθρώπους δὲ οἶνος ἐπαίρει τε καὶ ἀνακουφίζει γνώμην οὐδέν τι ἧσσον, ἢ ὄρνιθας πτερά. καὶ Ἀμύκλαι μὲν παρείχοντο τοσαῦτα ἐς μνήμην.
7 Ἑτέρα δὲ ἐκ τῆς πόλεως ὁδὸς ἐς Θεράπνην ἄγει. κατὰ δὲ τὴν ὁδὸν Ἀθηνᾶς ξόανόν ἐστιν Ἀλέας. πρὶν δὲ ἢ διαβῆναι τὸν Εὐρώταν, ὀλίγον ὑπὲρ τῆς ὄχθης ἱερὸν δείκνυται Διὸς πλουσίου [8]). διαβᾶσι δὲ Κοτυλέως

5) περὶ δὲ ἀνέμου Ζεφύρου etc.] Vid. Ovid. Metam L X. fab. 4. et Lucian. Dial. D. XIV.

6) Ἀμύκλαι] Ex Cod Mosc. pro vulgata Ἀμύκλα. Constanter enim sic scribitur; nec sequens numerus singular. repugnat, quippe qui ad vocem supplendam πόλις referri debeat.

7) Ψίλαν ἐπονομάζ.] Cod. M. πτίλα καὶ ἐπονομάζ. et Vindob. quoque καὶ habet. De πτίλα vid Hesych. h. v., et de cognominis ratione Heyne V. C. l. c. p. 80.

8) πλουσίου] Cod. Vindob. πλησίον et Mosc. πλησίου.

λέως ἐστὶν Ἀσκληπιοῦ ναός, ὃν ἐποίησεν Ἡρακλῆς· καὶ Ἀσκληπιὸν Κοτυλέα ὠνόμασεν ἀκεσθεὶς τὸ τραῦμα τὸ ἐς τὴν κοτύλην οἱ γενόμενον ἐν τῇ πρὸς Ἱπποκόωντα καὶ τοὺς παῖδας προτέρᾳ μάχῃ. ὁπόσα δὲ πεποίηται κατὰ τὴν ὁδὸν ταύτην, ἐστὶν ἀρχαιότατον αὐτῶν Ἄρεως ἱερόν. τοῦτό ἐστι μὲν ἐν ἀριστερᾷ τῆς ὁδοῦ, τὸ ἄγαλμα καὶ τοὺς Διοσκούρους φασὶ κομίσαι ἐκ Κόλχων. Θηρειτὰν [9]) δὲ ἐπονομάζουσιν ἀπὸ Θηροῦς· ταύτην 8
γὰρ τροφὸν εἶναι τοῦ Ἄρεως λέγουσι. τάχα δ' ἂν ἀκηκοότες παρὰ Κόλχων Θηρειτὰν λέγοιεν, ἐπεὶ Ἕλληνές γε οὐκ ἴσασιν Ἄρεως τροφὸν Θηρώ. δοκεῖν δέ μοι, Θηρειτὰς οὐ διὰ τὴν τροφὸν ἡ ἐπωνυμία τῷ Ἄρει γέγονεν, ὅτι δὲ ἀνδρὶ χρὴ πολεμίῳ κατασάντα ἐς μάχην οὐδὲν ἔτι ἔχειν ἥπιον· καθὰ δὴ καὶ Ὁμήρῳ [10]) περὶ Ἀχιλλέως πεποίηται·

Λέων δ' ὡς ἄγρια οἶδε.

Θεράπνη δὲ ὄνομα μὲν τῷ χωρίῳ γέγονεν ἀπὸ τῆς Λέ- 9
λεγος θυγατρός. Μενελάου δέ ἐστιν ἐν αὐτῇ ναός, καὶ Μενέλαον καὶ Ἑλένην ἐνταῦθα ταφῆναι λέγουσιν. Ῥόδιοι δὲ οὐχ ὁμολογοῦντες Λακεδαιμονίοις φασὶν, 10
Ἑλένην, Μενελάου τελευτήσαντος, Ὀρέστου δὲ ἔτι πλανωμένου, τηνικαῦτα ὑπὸ Νικοστράτου καὶ Μεγαπένθους διωχθεῖσαν ἐς Ῥόδον ἀφικέσθαι Πολυξοῖ τῇ Τληπολέμου [11]) γυναικὶ ἔχουσαν ἐπιτηδείως· εἶναι γὰρ καὶ Πολυξὼ τὸ γένος Ἀργείαν, Τληπολέμῳ δὲ ἔτι πρότερον συνοικοῦσαν φυγῆς μετασχεῖν τῆς ἐς Ῥόδον, καὶ

9) Θηρειτὰν] Hesych. Θηρίτας, ὁ Ἐνυάλιος παρὰ Λάκωσι.

10) Ὁμήρῳ] Il. Ω. v. 41.

11) Τληπολέμου] Herculis filii ex Astyoche. Vid. Apollod. L. II. C. 7. 6., et de ejus fuga in Rhodum L. II. C. 8. 2. Tlepolemo, qui dux Rhodiorum ad Trojam occisus est, Helena, fax belli Trojani, causa mortis fuit; id quod Pausanias paullo infra innuit.

καὶ τῆς νήσου τηνικαῦτα ἄρχειν ὑπολειπομένην ἐπὶ ὀρφανῷ παιδί. ταύτην τὴν Πολυξὼ φασιν ἐπιθυμοῦσαν Ἑλένην τιμωρήσασθαι τελευτῆς τῆς Τληπολέμου, τότε, ὡς ἔλαβεν αὐτὴν ὑποχείριον, ἐπιπέμψαι οἱ λουμένῃ θεραπαίνας Ἐριννύσιν ἐσκευασμένας [12]). καὶ αὗται διαλαβοῦσαι δὴ τὴν Ἑλένην αἱ γυναῖκες ἀπάγχουσιν ἐπὶ δένδρου. καὶ ἐπὶ τούτῳ Ῥοδίοις
11 Ἑλένης ἱερόν ἐστι Δενδρίτιδος. Ὃν δὲ οἶδα λέγοντας Κροτωνιάτας περὶ Ἑλένης λόγον, ὁμολογοῦντας δὲ σφίσι καὶ Ἰμεραίους, ἐπιμνησθήσομαι καὶ τοῦδε. ἔστιν ἐν τῷ Εὐξείνῳ νῆσος κατὰ τοῦ Ἴστρου τὰς ἐκβολὰς, Ἀχιλλέως ἱερά. ὄνομα μὲν τῇ νήσῳ Λευκὴ, περίπλους δὲ αὐτῇ σταδίων εἴκοσι, δασεῖα δὲ ὕλῃ πᾶσα, καὶ πλήρης ζώων ἀγρίων καὶ ἡμέρων, καὶ ναὸς Ἀχιλλέως καὶ ἄγαλμα ἐν αὐτῇ. ἐς ταύτην πρῶτος ἐσπλεῦσαι λέγεται Κροτωνιάτης Λεώνυμος. πολέμου γὰρ Κροτωνιάταις συνεχομένου πρὸς τοὺς ἐν Ἰταλίᾳ Λοκροὺς, τῶν Λοκρῶν κατὰ οἰκειότητα πρὸς Ὀπουντίους Αἴαντα τὸν Ὀϊλέως ἐς τὰς μάχας ἐπικαλουμένων, ὁ Λεώνυμος Κροτωνιάταις στρατηγῶν ἐπῆει τοῖς ἐναντίοις κατὰ τοῦτο, ᾗ προτετάχθαι σφίσι τὸν Αἴαντα ἤκουε. τιτρώσκεται δὴ τὸ στέρνον, καὶ (ἔκαμνε γὰρ ὑπὸ τοῦ τραύματος) ἀφίκετο ἐς Δελφούς. ἐλθόντα δὲ ἡ Πυθία Λεώνυμον ἀπέστελλεν ἐς νῆσον τὴν Λευκὴν, ἐνταῦθα εἰποῦσα αὐτῷ φανήσεσθαι τὸν Αἴαντα καὶ ἀκέσασθαι [13]) τὸ τραῦμα. χρόνῳ δὲ ὡς ὑγιάνας ἐπανῆλθεν ἐκ τῆς Λευκῆς, ἰδεῖν μὲν ἔφασκεν Ἀχιλλέα, ἰδεῖν δὲ τὸν Ὀϊλέως καὶ τὸν Τελαμῶνος Αἴαντα, συνεῖναι

12) Ἐριννύσιν ἐσκευασμένας] *Furiarum habitu induitas.*

13) ἀκέσασθαι] *Kuhn.* recte emendat ἀκέσεσθαι, ut tempus congruat cum φανήσεσθαι.

συνεῖναι δὲ καὶ Πάτροκλόν σφισι καὶ Ἀντίλοχον· Ἑλένην δὲ Ἀχιλλεῖ μὲν συνοικεῖν, προστάξαι δέ οἱ πλεύσαντι ἐς Ἰμέραν πρὸς Στησίχορον [14]) ἀγγέλλειν, ὡς ἡ διαφθορὰ τῶν ὀφθαλμῶν ἐξ Ἑλένης γένοιτο αὐτῷ μηνίματος. Στησίχορος μὲν ἐπὶ τούτῳ τὴν παλινῳδίαν ἐποίησεν.

CAPUT XX.

De memorandis Therapnes, fonte Meſſeïde et Polydeucia — templo Neptuni Gaeaüchi et vico Aleſiis — urbe Phari — urbe Bryſeïs — Taygeti montis verticibus, Taleto, Euora, Theris et templo Cereris Eleuſiniae — urbe Helo ad mare et Hilotis — Lapithaeo, Derrhio et Harpliis — memorandis in via Arcadiam verſus, templo Achillis — equi monumento et planetarum ſignis — Pudoris ſigno.

Ἐν Θεράπνῃ δὲ κρήνην τὴν Μεσσηΐδα ἰδὼν οἶδα. Λακεδαιμονίων δὲ ἑτέροις ἐστὶν εἰρημένον, τὴν Πολυδεύκειαν ὀνομαζομένην ἐφ' ἡμῶν, οὐ τὴν ἐν Θεράπνῃ, Μεσσηΐδα [1]) καλεῖσθαι τὸ ἀρχαῖον. ἡ δὲ Πολυδεύκειά ἐστιν αὐτή τε ἡ κρήνη καὶ Πολυδεύκους ἱερὸν ἐν δεξιᾷ τῆς ἐς Θεράπνην ὁδοῦ. Θεράπνης δὲ οὐ πόρρω Φοιβαῖον [2]) καλούμενόν ἐστιν, ἐν δὲ αὐτῷ Διοσκούρων ναός· καὶ οἱ ἔφηβοι τῷ Ἐνυαλίῳ θύουσιν ἐνταῦθα. Τούτου δὲ οὐ πολὺ Ποσειδῶνος ἀφέσηκεν ἱερὸν ἐπίκλη- 2

14) Στησίχορον] De poëta Steſichoro et viſu ab Helena ob verſus contra ipſam compoſitos ei ablato, poſt palinodiam vero, quam cecinit, reſtituto vid. Suid. v. Στησίχορος.

1) Μεσσηΐδα] Ejus mentio fit in Homero Iliad. Z. v. 457., ubi vid. ſcholia.

2) Φοιβαῖον] Scribendum eſſe Ἐφηβαῖον, ex C. 14. patet, ubi vid. not.

σιν Γαιαούχου [3]). καὶ ἀπ' αὐτοῦ προελθόντι ὡς ἐπὶ τὸ Ταΰγετον, ὀνομάζουσιν [4]) Ἀλεσίας χωρίον, Μύλητα τὸν Λέλεγος πρῶτον ἀνθρώπων μύλην τε εὑρεῖν λέγοντες καὶ ἐν ταῖς Ἀλεσίαις ταύταις ἀλέσαι. καί σφισι Λακεδαίμονος τοῦ Ταϋγέτης ἐνταῦθά ἐστιν ἡρῷον.

3 Διαβᾶσι δὲ αὐτόθεν ποταμὸν Φελλίαν παρὰ Ἀμύκλας [5]), ἰοῦσιν εὐθεῖαν ὡς ἐπὶ θάλασσαν, Φάρις πόλις ἐν τῇ Λακωνικῇ ποτε ᾠκεῖτο· ἀποτρεπομένῳ [6]) δὲ ἀπὸ τῆς Φελλίας ἐς δεξιὰν ἡ πρὸς τὸ ὄρος τὸ Ταΰγετόν ἐστιν ὁδός. Ἔστι δὲ ἐν τῷ πεδίῳ Διὸς Μεσσαπέως τέμενος. γενέσθαι δέ οἱ τὴν ἐπίκλησιν ἀπὸ

4 ἀνδρὸς λέγουσιν ἱερωσαμένου τῷ θεῷ. Ἐντεῦθέν ἐστιν ἀπιοῦσιν ἐκ τοῦ Ταϋγέτου χωρίον, ἔνθα πόλις τότε ᾠκεῖτο Βρυσέαι [7])· καὶ Διονύσου ναὸς ἐνταῦθα ἔτι λείπεται καὶ ἀγάλματα ἐν ὑπαίθρῳ. τὸ δὲ ἐν τῷ ναῷ μόναις γυναιξίν ἐστιν ὁρᾶν· γυναῖκες γὰρ δὴ μό-

5 ναι καὶ τὰ ἐς τὰς θυσίας δρῶσιν ἐν ἀπορρήτῳ. Ἄκρα δὲ τοῦ Ταϋγέτου Ταλετὸν ὑπὲρ Βρυσεῶν [8]) ἀνέχει. ταύτην ἡλίου καλοῦσιν ἱεράν, καὶ ἄλλα τε αὐτόθι ἡλίῳ θύουσι καὶ ἵππους· τὸ δὲ αὐτὸ [9]) καὶ Πέρσας οἶδα

3) Γαιαούχου] Vid. Hesych. v. γαιήοχος, et ibi not.

4) ὀνομάζουσιν] Cod. Vind. dat ὀνομαζόμενον.

5) παρὰ Ἀμύκλας] Cod. V. παρὰ Ἀμύκλαις. De *Phari* vid L. IV. C. 16. et 30., Hom. Il. B. v. 582. et ibi Eustath.

6) ἀποτρεποιένῳ] Ex Codd. Vind. et Mosc. dedi pro vulgata paullo duriore ἀποτραπομένῳ.

7) τότε ᾠκεῖτο Βρυσέαι] *Sylb.* pro τότε legendum esse ποτὲ bene conjicit; nam τε, quod uterque Cod. exhibet, alieno hic loco est. Steph. Βρυσιαὶ habet, sed in Elide collocat; Βρασιαὶ vero alia est urbs, de qua vid. C. 21. et 24. Mox post Διονύσου Cod. Vind. inserit τε et pro ἀγάλματα habet ἄγαλμα.

8) Βρυσεῶν] Uterque Cod. Βρυσιῶν, sicuti in Ald. Cod. est.

9) τὸ δὲ αὐτὸ] Pro κατὰ τὸ αὐτὸ, vel potius κατὰ τὰ αὐτὰ,

οἶδα θύειν νομίζοντας. Ταλετοῦ δὲ οὐ πόρρω καλούμενός ἐστιν Εὐόρας, θηρία καὶ ἄλλα τρέφων καὶ αἶγας μάλιστα ἀγρίας. παρέχεται δὲ καὶ διόλου τὸ Ταΰγετον τῶν αἰγῶν τούτων ἄγραν καὶ ὑῶν, πλείστην δὲ καὶ ἐλάφων καὶ ἄρκτων. Ταλετοῦ δὲ τὸ μεταξὺ καὶ Εὐόρα Θήρας ὀνομάζουσιν. οὐ πόρρω δὲ τῶν ἄκρων τοῦ Ταϋγέτου Δήμητρος ἐπίκλησιν Ἐλευσινίας ἐστὶν ἱερόν. ἐνταῦθα Ἡρακλέα Λακεδαιμόνιοι κρυφθῆναί φασιν ὑπὸ Ἀσκληπιοῦ τὸ τραῦμα ἰώμενον [10]). καὶ Ὀρφέως ἐστὶν ἐν αὐτῷ ξόανον, Πελασγῶν, ὡς φασιν, ἔργον. καὶ τόδε δὲ [11]) ἄλλο δρώμενον ἐνταῦθα οἶδα. Ἐπὶ θαλάσσῃ πόλισμα [12]) Ἕλος ἦν, οὗ δὴ καὶ ὁ Ὅμηρος ἐμνημόνευσεν ἐν καταλόγῳ Λακεδαιμονίων·

Οἵ τ' ἄρ' Ἀμύκλας εἶχον, Ἕλος τ' ἔφαλον πτολίεθρον.

τοῦτο ὤκισε μὲν Ἕλιος νεώτατος τῶν Περσέως παίδων, Δωριεῖς δὲ παρεσήσαντο [13]) ὕστερον πολιορκία. καὶ πρῶτοί γε ἐγένοντο οὗτοι Λακεδαιμονίων δοῦλοι τοῦ κοινοῦ, καὶ Εἵλωτες ἐκλήθησαν πρῶτοι, καθάπερ γε καὶ ἦσαν. τὸ δὲ οἰκετικὸν τὸ ἐπικτηθὲν ὕστερον Δωριᾶσι, Μεσσηνίους ὄντας [14]), ὀνομασθῆναι καὶ τούτους ἐξενίκησεν

αὐτὰ, similiter, eodem modo. Mallem tamen τῷ δὲ αὐτῷ, scil. ἡλίῳ.

10) Ἡρακλέα — ἰώμενον] Vid. supra de Aesculapio Cotyleo C. 19.

11) καὶ τόδε δὲ etc.] Bene Kuhn. emendat καὶ τῷδε, scil. Orpheo. Ex vulgata enim vix sententia elici potest.

12) πόλισμα] Uterque Cod. πόλις, et pro ἐν καταλογῳ Mosc. ἐν τῷ καταλογῳ. Locus Homeri est Il. B. v. 584., ubi vid. Eustath.

13) παρεσήσαντο] *in potestatem redegerunt*, de quo significatu vid. not. ad L. I. C. 9.

14) Μεσσηνίους ὄντας] Vid. supra C. 11. et L. IV C. 23. ab init. Paullo infra pro τῆς ἐν Θεσσαλίᾳ

κησεν εἴλωτας, καθότι καὶ Ἕλληνας τὸ σύμπαν γένος
ἀπὸ τῆς ἐν Θεσσαλίᾳ ποτὲ καλουμένης Ἑλλάδος.
ἐκ τούτου δὴ τοῦ Ἕλους ξόανον Κόρης τῆς Δήμητρος
7 ἐν ἡμέραις ῥηταῖς ἀνάγουσιν ἐς τὸ Ἐλευσίνιον. Πεντε-
καίδεκα δὲ τοῦ Ἐλευσινίου σταδίους ἀφέστηκε Λαπί-
θαιον καλούμενον ἀπὸ ἀνδρὸς ἐγχωρίου Λαπίθου.
τοῦτό τε οὖν τὸ Λαπίθαιόν ἐστιν ἐν τῷ Ταϋγέτῳ, καὶ
οὐ πόρρω Δέρριον [15]), ἔνθα Ἀρτέμιδος ἄγαλμα ἐν
ὑπαίθρῳ Δερριάτιδος, καὶ πηγὴ παρ' αὐτῷ, ἣν Ἄνονον
ὀνομάζουσι. μετὰ δὲ τὸ Δέρριον σταδίους προελθόντι
ὡς εἴκοσίν ἐστιν Ἄρπλεια καθήκοντα ἄχρι τοῦ πεδίου.
8 Τὴν δὲ ἐπ' Ἀρκαδίας ἰοῦσιν ἐκ Σπάρτης, Ἀθηνᾶς
ἔσηκεν ἐπίκλησιν Παρείας ἄγαλμα ἐν ὑπαίθρῳ, μετὰ
δὲ αὐτὸ ἱερόν ἐστιν Ἀχιλλέως· ἀνοίγειν δὲ αὐτὸ οὐ
νομίζουσιν· ὁπόσοι δ' ἂν τῶν ἐφήβων ἀγωνιεῖσθαι
μέλλωσιν ἐν τῷ Πλατανιστᾷ, καθέσηκεν αὐτοῖς τῷ
Ἀχιλλεῖ πρὸ τῆς μάχης θύειν. ποιῆσαι δέ σφισι τὸ
ἱερὸν Σπαρτιάται λέγουσι Πράκα [16]), ἀπόγονον τρίτον
9 Περγάμου τοῦ Νεοπτολέμου. Προϊοῦσι δὲ Ἵππου
καλούμενον μνῆμά ἐστι. Τυνδάρεως γὰρ θύσας ἐν-
ταῦθα ἵππον τοὺς Ἑλένης ἐξώρκου μνηστῆρας, ἰσὰς
ἐπὶ τοῦ ἵππου τῶν τομίων [17])· ὁ δὲ ὅρκος ἦν, Ἑλένῃ
καὶ τῷ γήμαντι προκριθέντι Ἑλένην ἀμύνειν ἀδικουμέ-
νοις· ἐξορκώσας δὲ τὸν ἵππον κατώρυξεν ἐνταῦθα.
κίονες δὲ ἑπτά, οἱ τοῦ μνήματος τούτου διέχουσιν οὐ
πολύ,

Θεσσαλίᾳ uterque Cod. τῆς Θεσσαλίας.

15) Δ ἐρριον] Variat scriptura in Codicibus, Δέριον, Δέρειον, et sic in utroque etiam Δερεάτιδος. Stephano Δέρεα oppidum Arcadiae est.

16) Πράκα] Cod. Vindob. Πρόκα.

17) ἰσὰς ἐπὶ τ. ἵππ. τ. τομίων] *ad prosectas equi partes jussit adsistere.* Vid. Hesych. v. τομία.

πολὺ, κατὰ τρόπον οἶμαι τὸν ἀρχαῖον, οὓς ἀστέρων τῶν πλανητῶν Φασιν ἀγάλματα. καὶ Κρανίου [18]) τέμενος κατὰ τὴν ὁδὸν, ἐπίκλησιν Στεμματίου· καὶ Μυσίας ἐστὶν ἱερὸν Ἀρτέμιδος. Τὸ δὲ ἄγαλμα τῆς Αἰδοῦς, τριάκοντά που σάδια ἀπέχον [19]) τῆς πόλεως, Ἰκαρίου μὲν ἀνάθημα εἶναι, ποιηθῆναι δὲ ἐπὶ λόγῳ Φασὶ τοιῷδε. ὅτ' ἔδωκεν Ὀδυσσεῖ Πηνελόπην γυναῖκα Ἰκάριος, ἐπειρᾶτο μὲν κατοικῆσαι καὶ αὐτὸν Ὀδυσσέα ἐν Λακεδαίμονι, διαμαρτάνων δὲ ἐκείνου δεύτερα τὴν θυγατέρα ἱκέτευε καταμεῖναι, καὶ ἐξορμωμένης ἐς Ἰθάκην ἐπακολουθῶν τῷ ἅρματι ἐδεῖτο. Ὀδυσσεὺς δὲ τέως μὲν ἠνείχετο, τέλος δὲ ἐκέλευε συνακολουθεῖν Πηνελόπην ἑκοῦσαν, ἢ τὸν πατέρα ἑλομένην ἀναχωρεῖν ἐς Λακεδαίμονα. καὶ τὴν ἀποκρίνασθαί Φασιν οὐδέν· ἐγκαλυψαμένης δὲ πρὸς τὸ ἐρώτημα, Ἰκάριος τὴν μὲν, ἅτε δὴ συνιεὶς, ὡς βούλεται ἀπιέναι μετὰ Ὀδυσσέως, ἀφίησιν, ἄγαλμα δὲ ἀνέθηκεν Αἰδοῦς· ἐνταῦθα γὰρ τῆς ὁδοῦ προήκουσαν ἤδη τὴν Πηνελόπην λέγουσιν ἐγκαλύψασθαι.

18) Κρανίου] Palmer. Exercit. p. 384. Καρνείου legendum putat ex C. 13., ubi Apollinem Κάρνειον ab omnibus Dorienſibus cultum fuiſſe refert Pauſanias.

19) ἀπέχον] Cod. Vindob. ἀπέχει. Sic aliter interpungendum eſſet.

CAPUT XXI.

De Eurota fluvio et Ladae curſoris monumento — urbe Pellana et memorandis in ea — agro Belemina dicto — vico Croceis — oppido Aegiis et ſtagno Neptuni — Gytheo et Eleutherolaconibus eorumque urbibus — memorandis in Gytheatarum urbe — Sene (Nereo).

Προελθόντι δὲ αὐτόθεν ϛαδίους εἴκοσι, τοῦ Εὐρώτα τὸ ῥεῦμα ἐγγυτάτω τῆς ὁδοῦ γίνεται. καὶ Λάδα [1]) μνῆμά ἐϛιν ὠκύτητι ὑπερβαλομένου ποδῶν τοὺς ἐπ' αὐτοῦ· καὶ δὴ καὶ Ὀλυμπιάϲιν ἐϛεφανοῦτο δολιχῷ [2]) κρατῶν· δοκεῖ δέ μοι, κάμνων αὐτίκα μετὰ τὴν νίκην ἐκομίζετο, καὶ συμβάϲης ἐνταῦθά οἱ τελευτῆς, ὁ τάφος ἐϛὶν ὑπὲρ τὴν λεωφόρον. τὸν δὲ ὁμώνυμον τούτῳ, νίκην καὶ αὐτὸν Ὀλυμπιάϲι, πλὴν οὐ δολιχοῦ [3]), ϛαδίου δὲ ἀνελόμενον, Ἀχαιὸν ἐξ Αἰγίου φηϲὶν εἶναι καὶ τὰ ἐς τοὺς Ὀλυμπιονίκας Ἠλείων γράμματα.

2 Προϊόντι δὲ ὡς ἐπὶ τὴν Πελλάνην [4]), Χαράκωμά ἐϛι ὀνομαζόμενον, καὶ ἡ μετὰ τοῦτο Πελλάνα πόλις τὸ ἀρχαῖον. Τυνδάρεων δὲ οἰκῆϲαί Φαϲιν ἐνταῦθα, ὅτε Ἱπποκόωντα καὶ τοὺς παῖδας ἔφευγεν ἐκ Σπάρτης. Θέας δὲ ἄξια αὐτόθι ἰδὼν Ἀϲκληπιοῦ τε οἶδα ἱερὸν καὶ τὴν πηγὴν Πελλανίδα. ἐς ταύτην λέγουϲιν ὑδρευομένην

1) Λάδα] De *ejus ſtadio*, uti appellabatur, L VIII. C. 12. Alterius Ladae Aegienſis mentio fit L X C. 22. in fine

2) δολιχῷ Curriculi ſpatium, quod duodecim vel ſecundum Suidam viginti quatuor ſtadiorum fuit. Vid. Suid. h. v.

3) πλὴν οὐ δολιχοῦ] Cod. V. πλὴν τοῦ δολιχοῦ, et paullo infra pro *Αἰγίου* Cod. Moſc. *Αἰγείου*.

4) τὴν Πελλ.] Reddidi τὴν ex Cod. Moſc pro Dorica forma τὰν, quae vulgata fuit.

НБ ОНУ імені І.Мечникова

μένην ἐσπεσεῖν παρθένον, ἀφανισθείσης δὲ τὸ κάλυμμα ἀναφανῆναι τὸ ἐπὶ τῆς κεφαλῆς ἐν ἑτέρᾳ πηγῇ Λαγκεία. Πελλάνας δὲ ἑκατὸν σάδια ἀπέχει Βελε- 3
μίνα [5]) καλουμένη. τῆς δὲ χώρας τῆς Λακωνικῆς ἡ Βελεμίνα μάλιστα ἄρδεσθαι πέφυκεν, ἥντινα διοδεύει μὲν τοῦ Εὐρώτα τὸ ὕδωρ, παρέχεται δὲ ἀφθόνους καὶ αὐτὴ πηγάς. Ἐπὶ θάλασσάν τε ἐς Γύθιον κατα- 4
βαίνοντί ἐστι Λακεδαιμονίοις ἡ κώμη καλουμένη Κρωκέαι. ἧς ἡ λιθοτομία, μία μὲν πέτρα συνεχὴς οὐ διήκουσα, λίθοι δὲ [6]) ὀρύσσονται σχῆμα τοῖς ποταμίοις ἐοικότες, ἄλλως μὲν δυσεργεῖς, ἢν δὲ ἐπεργασθῶσιν, ἐπικοσμήσαιεν ἂν καὶ θεῶν ἱερά· κολυμβήθραις δὲ καὶ ὕδασι συντελοῦσι μάλιστα ἐς κάλλος. θεῶν δὲ αὐτόθι, πρὸ μὲν τῆς κώμης Διὸς Κρωκεάτα λίθου πεποιημένον ἄγαλμα ἕστηκεν, Διόσκουροι δὲ ἐπὶ τῇ λιθοτομίᾳ χαλκοῖ. Μετὰ δὲ Κρωκέας ἀποτρα- 5
πεῖσιν ἐς δεξιὰν ἀπὸ τῆς ἐς Γύθιον εὐθείας, ἐπὶ πόλισμα ἥξεις Αἰγίας [7]). Ὅμηρον [8]) δὲ ἐν τοῖς ἔπεσι τὸ πόλισμα τοῦτο ὀνομάζειν λέγουσιν Αὐγείας. ἐνταῦθά ἐστι μὲν λίμνη καλουμένη Ποσειδῶνος· ἔστι δὲ ἐπὶ τῇ λίμνῃ ναὸς καὶ ἄγαλμα τοῦ θεοῦ. τοὺς δὲ ἰχθῦς δεδοίκασιν ἐξαιρεῖν, τὸν θηρεύσαντα ἁλιέα γενέσθαι λέγοντες ἐξ ἀνθρώπου [9]).

5) Βελεμίνα] De hac regione vid. L. VIII. C. 35. Forte eadem est, quae L. VIII. C. 27. Βλένινα scribitur. Sed nomen varie corruptum esse videtur; Steph. enim habet Βέλβινα et Pausaniam testem excitat, ubi vid. Berkel. Conf. not. ad Hesych. v. Βελαίνα.

6) μία — οὐ διήκουσα, λίθοι δὲ etc.] *ubi lapicidina non est petra continuo porrecta, sed lapides* etc. *Amas.* non legisse videtur οὐ.

7) Αἰγίας] Uterque Cod. Αἰτίας, et sic infra Αἰτιῶν.

8) Ὅμηρον] Iliad. B. v. 532., ubi vid. Eustath.

9) ἁλιέα γενέσθαι λέγοντες ἐξ ἀνθρώπου] *Amas.*, qui interpretatur: *ex hominibus in pisces mutari dicitant*, ἁλιέα pro

6 Γύθειον δὲ ἀπέχει μὲν σταδίους τριάκοντα Αἰγιῶν, ἐπὶ θαλάσσῃ δὲ ὡκισμένον ἐστὶν ἤδη τῶν Ἐλευθερολακώνων, οὓς βασιλεὺς Αὔγουστος δουλείας ἀφῆκε Λακεδαιμονίων τῶν ἐν Σπάρτῃ κατηκόους ὄντας. θαλάσσῃ μὲν δὴ, πλὴν τοῦ Κορινθίων Ἰσθμοῦ, περισχεται πᾶσα [10]) ἡ Πελοπόννησος· κόχλους δὲ ἐς βαφὴν πορφύρας παρέχεται τὰ ἐπιθαλάσσια τῆς Λακωνικῆς ἐπιτηδειοτάτας μετά γε τὴν Φοινίκων θάλασσαν. Ἀριθμὸς δὲ τῶν Ἐλευθερολακώνων ὀκτὼ πόλεις καὶ δέκα εἰσί. πρώτη μὲν καταβᾶσιν ἐξ Αἰγιῶν ἐπὶ θάλασσαν Γύθειον, μετὰ δὲ αὐτὴν Τευθρώνη τε καὶ Λᾶς, καὶ Πύρριχος· ἐπὶ Ταινάρῳ δὲ Καινήπολις, Οἴτυλός τε [11]) καὶ Λεῦκτρα, καὶ Θαλάμαι, πρὸς δὲ Ἀλαγονία τε καὶ Γερηνία· τὰ δὲ ἐπέκεινα Γυθείου πρὸς θαλάσσῃ, Ἀσωπὸς, Ἀκριαὶ, Βοιαὶ, Ζάραξ, Ἐπίδαυρος ἡ λιμηρὰ, Βρασιαὶ, Γερόνθραι [12]), Μαριός. αὗται μὲν οὖν εἰσιν αἱ λοιπαὶ τῶν Ἐλευθερολακώνων ἀπὸ τεσσάρων ποτὲ καὶ εἴκοσι πόλεων. τὰς δὲ ἄλλας, ἐφ' ἃς ἂν καὶ αὐτὰς ὁ λόγος ἐπέλθοι [13]) δή μοι, συντελούσας ἴσω τις ἐς Σπάρτην, καὶ οὐχ ὁμοίως τοῖς
7 προλεχθεῖσιν αὐτονόμους. Γυθεᾶται δὲ τῆς πόλεως ἀνθρώ-

pro piscis nomine, quod est apud Plutarch. *de solertia animal.*, accepisse videtur. *Kuhn.* vero recte emendat ἐξ ἀνθρώπων, *ex hominibus abire, mori.* Sic γενέσθαι ἐξ ἀνθρώπων in Pausania aliquoties obvium, L. IV. C. 26., L. V. C. 7., et contra μετὰ ἀνθρώπων εἶναι denotat *in vita esse, vivere*, L. III. C. 16. et 32.

10) πᾶσα] Uterque Cod. vitiose exhibet ταῦτα.

11) Οἴτυλός τε] Vid. C. 25. in fine et ibi not.

12) Γερόνθραι] Variat hujus nominis scriptura in Pausania; supra C. 2. fuit Γεράνθραι et Γερανθράται, sed C. 22. iterum est Γερόνθραι. Steph., qui habet Γεράνθραι, Pausaniam excitat.

13) ἐπέλθοι] Uterque Cod. ἐπέλθῃ.

ἀνθρώπων μὲν οὐδένα οἰκιστὴν γενέσθαι λέγουσιν, Ἡρακλέα δὲ καὶ Ἀπόλλωνα ὑπὲρ τοῦ τρίποδος ἐς ἀγῶνα ἐλθόντας [14]), ὡς διηλλάγησαν, μετὰ τὴν ἔριν οἰκίσαι κοινῇ τὴν πόλιν. καὶ ἐν τῇ ἀγορᾷ σφισιν Ἀπόλλωνος καὶ Ἡρακλέους ἐστὶν ἀγάλματα, πλησίον δὲ αὐτῶν Διόνυσος. ἑτέρωθι δὲ Ἀπόλλων Καρνίας [15]), καὶ ἱερὸν Ἄμμωνος, καὶ Ἀσκληπιοῦ χαλκοῦν ἄγαλμά ἐστιν, οὐκ ἐπόντος ὀρόφου τῷ ναῷ, καὶ πηγὴ τοῦ θεοῦ, καὶ Δήμητρος ἱερὸν ἅγιον, καὶ Ποσειδῶνος ἄγαλμα Γαιαούχου [16]). Οὓς δὲ ὀνομάζουσι Γυθεᾶται Γέροντα, οἰκεῖν ἐν θαλάσσῃ φάμενοι, Νηρέα ὄντα εὕρισκον· καί σφισι τοῦ ὀνόματος τούτου παρέσχεν ἀρχὴν Ὅμηρος ἐν Ἰλιάδι [17]) ἐν Θέτιδος λόγοις·

Ὑμεῖς μὲν νῦν δῦτε θαλάσσης εὐρέα πόντον,
Ὀψόμεναί τε γέροντ' ἅλιον καὶ δώματα πατρός.

καλοῦνται δὲ ἐνταῦθα καὶ πύλαι Καρῳίδες, καὶ ἐν τῇ ἀκροπόλει ναὸς καὶ ἄγαλμα Ἀθηνᾶς πεποίηται.

14) Ἡρακλέα — ἐς ἀγῶνα ἐλθόντας] De hac pugna cum Apolline de tripode Delphico ablato vid. Pauſ. L. X. C. 13., Apollod. L. II. C. 6. 2. et ibi not. ac Cic. de natura deor. III. 42. C. 16.

15) Ἀπόλλων Καρνίας] Uterque Cod. Ἀπ. κρή, et Vind. Κρανίας. Pro Καρνίας ſcribendum eſſe Καρνεῖος, admodum probabile videtur. Vid. not. ad C. 20.

16) Γαιαούχου] Cod. Vind. Γαιαόχου. Sed utraque forma eſt obvia.

17) Ὅμηρος ἐν Ἰλ.] Iliad. Σ. v. 140. 141., ubi pro πόντον eſt κόλπον.

CAPUT

CAPUT XXII.

De Argo lapide — insula Cranaë et memorandis in ea — Trinasi muris et reliquiis urbis Helus — urbe Acriis ejusque memorandis — Geronthris et ibi memorandis — Mario urbe — Asopo urbe ejusque memorandis — promontorio asini maxilla dicto — urbe Boeis, ejusque origine et memorandis.

Γυθείου δὲ τρεῖς μάλιστα ἀπέχει σταδίους Ἀργὸς λίθος. Ὀρέστην λέγουσι καθεσθέντα ἐπ' αὐτοῦ παύσασθαι τῆς μανίας· διὰ τοῦτο ὁ λίθος ὠνομάσθη Ζεὺς
2 Καππώτας [1]) κατὰ γλῶσσαν τὴν Δωρίδα. Ἡ δὲ νῆσος ἡ Κραναὴ πρόκειται Γυθείου· καὶ Ὅμηρος [2]) Ἀλέξανδρον ἁρπάσαντα Ἑλένην ἐνταῦθα ἔφη συγγενέσθαι οἱ πρῶτον. κατὰ δὲ τὴν νῆσον ἱερόν ἐστιν Ἀφροδίτης ἐν τῇ ἠπείρῳ Μιγωνίτιδος, καὶ ὁ τόπος οὗτος ἅπας καλεῖται Μιγώνιον. τοῦτο μὲν δὴ τὸ ἱερὸν ποιῆσαι λέγουσιν Ἀλέξανδρον. Μενέλαος δὲ Ἴλιον ἑλών, καὶ ἔτεσιν ὕστερον ὀκτὼ μετὰ Τροίας πόρθησιν οἴκαδε ἀνασωθεὶς [3]), ἄγαλμα Θέτιδος καὶ θεᾶς Πραξιδίκας [4]) ἱδρύσατο ἐγγὺς τῆς Μιγωνίτιδος. Διονύσου δὲ ὄρος ἱερόν, Λαρύσιον καλούμενόν ἐστιν ὑπὲρ τοῦ Μιγωνίου.

1) Ζεὺς Καππώτας] *Sylburgii* conjectura λεῦ pro λᾶς, *lapis*, non est contemnenda. Quid enim Jovi cum lapide, in quo Orestes consedit? Καππώτας vero pro καταπαύτας dictum esse videtur a καταπαύω, *requiescere facio, sedo*, quod insania Orestis ibi sedata fuerit.

2) Ὅμηρος] Il. Γ. v. 445.

3) ἀνασωθεὶς] Cod. Vind. ἀποσωθεὶς.

4) θεᾶς Πραξιδίκας] De hac dea vid. Hesych. Ejus signa solo capite expressa fuere; vid. Suid., qui etiam de Πραξιδίκαις agit, quas Paus. memorat L. IX. C. 23. Conf. Voss. Theol. Gent. L. IX. C. 37.

НБ ОНУ імені І.Мечникова

γωνίου. καὶ ἥρος ἀρχομένου, Διονύσου τὴν ἑορτὴν ἄ-
γουσιν, ἄλλα τε ἐς τὰ δρώμενα λέγοντες, καὶ ὡς βό-
τρυν ἐνταῦθα ἀνευρίσκουσιν ὡραῖον. Ἐν ἀριστερᾷ δὲ 3
Γυθείου σάδια προελθόντι ὡς τριάκοντά ἐστιν ἐν τῇ
ἠπείρῳ Τρινασοῦ καλουμένης τείχη, Φρουρίου ποτὲ
(ἐμοὶ δοκεῖν) καὶ οὐ πόλεως [5]). γενέσθαι δέ οἱ δοκῶ
τὸ ὄνομα ἀπὸ τῶν νησίδων, αἳ ταύτης πρόκεινται
τῆς ἠπείρου τρεῖς ἀριθμόν. προελθόντι δὲ ἀπὸ Τρινα-
σοῦ σάδια ὡς ὀγδοήκοντα, τοῦ Ἕλους τὰ ἐρείπια ὑ-
πόλοιπα ἦν. Καὶ μετὰ ταῦτα τριάκοντα προελθόντι 4
που σαδίους, ἐπὶ θαλάσσης πόλις ἐστὶν Ἀκριαί. θέας
δὲ αὐτόθι ἄξια μητρὸς θεῶν ναὸς, καὶ ἄγαλμα λί-
θου. παλαιότατον δὲ τοῦτο εἶναί φασιν οἱ τὰς Ἀ-
κριὰς ἔχοντες, ὁπόσα τῆς θεοῦ ταύτης Πελοποννησίοις
ἱερά ἐστιν· ἐπεὶ Μάγνησί γε, οἳ τὰ πρὸς Βορρᾶν νέμον-
ται τοῦ Σιπύλου, τούτοις ἐπὶ Κοδδίνου πέτρα μητρός
ἐστι θεῶν ἀρχαιότατον ἁπάντων ἄγαλμα· ποιῆσαι
δὲ οἱ Μάγνητες αὐτὸ Βροτέαν λέγουσι τὸν Ταντάλου.
Ἀκριάται δὲ καὶ ἄνδρα ποτὲ ὀλυμπιονίκην παρέσχον-
το Νικοκλέα, Ὀλυμπιάσι δύο ἀνελόμενον δρόμου νί-
κας πέντε [6]). πεποίηται δὲ καὶ μνῆμα τῷ Νικοκλεῖ
τοῦ τε γυμνασίου μεταξὺ καὶ τοῦ τείχους τοῦ πρὸς
τῷ λιμένι. Ἀπὸ θαλάσσης δὲ ἄνω Γερόνθραι σαδί- 5
ους ἀπέχουσιν εἴκασι καὶ ἑκατὸν Ἀκριῶν. ταύτας οἰ-
κουμένας, πρὶν Ἡρακλείδας ἐλθεῖν ἐς Πελοπόννησον,
ἐποίησαν ἀνασάτους Δωριεῖς οἱ Λακεδαίμονα ἔχοντες.
ἀνασησαντες δὲ Γερόνθρας τοὺς ἀρχαίους [7]), παρὰ
σφῶν

5) καὶ οὐ πόλεως] In utroque Codice οὐ deest.

6) δύο ἀνελ. δρόμου νίκας πέντε] *Kuhn.* post δρόμου quaedam excidisse suspicatur, forte δολιχοῦ δέ. Nec infitiandum est, δύο duriter jungi cum Ὀλυμπιάσι, sicuti *Amaj.* interpretatus est.

7) Γερόνθρας τοὺς ἀρχαίους] Discrepat nominis genus ab epitheti

σφῶν ἀποίκους ἀπέστειλαν. ἐπ' ἐμοῦ δὲ Ἐλευθερολακώνων καὶ οὗτοι μοῖρας ἦσαν [8]). κατὰ μὲν δὴ τὴν ἐξ Ἀκριῶν ἐς Γερόνθρας ὁδὸν ἐστὶ Παλαιὰ καλουμένη κώμη. ἐν δὲ αὐταῖς Γερόνθραις Ἄρεως ναὸς καὶ ἄλσος. ἑορτὴν δὲ ἄγουσι τῷ θεῷ κατὰ ἔτος, ἐν ᾗ γυναιξὶν ἐστιν ἀπηγορευμένον ἐς τὸ ἄλσος ἐσελθεῖν. περὶ δὲ τὴν ἀγορὰν σφισιν αἱ πηγαὶ τῶν ποτίμων εἰσὶν ὑδάτων. ἐν δὲ τῇ ἀκροπόλει ναός ἐστιν Ἀπόλλωνος, καὶ ἀγάλματος ἐλεφαντος πεποιημένου κεφαλή [9]). τὰ δὲ λοιπὰ τοῦ ἀγαλματος πῦρ ἠφάνισεν ὁμοῦ τῷ προτέρῳ ναῷ.

6 Μαριὸς δὲ ἄλλο Ἐλευθερολακώνων πόλισμα, ὃ ἀπὸ Γερονθρῶν σταδία ἑκατὸν ἀφέστηκεν. ἱερόν ἐστιν αὐτόθι ἀρχαῖον κοινὸν θεῶν ἁπάντων, καὶ περὶ αὐτὸ ἄλσος παρεχόμενον πηγάς· εἰσὶ δὲ καὶ ἐν Ἀρτέμιδος ἱερῷ πηγαί. ὕδωρ δὲ ἄφθονον, εἴπερ ἄλλο τι χωρίον, παρέχεται καὶ Μαριός. Κώμη δὲ ὑπὲρ τὸ πόλισμά ἐστιν ἐν μεσογαίᾳ καὶ αὐτὴ Γλυππία. καὶ ἐς κώμην ἑτέραν Σελινοῦντα [10]) ἐκ Γερονθρῶν ἐστιν ὁδὸς σταδίων εἴκοσι. τάδε μὲν ἀπὸ Ἀκριῶν ἄνω πρὸς ἤπειρον. 7 Τὰ δὲ πρὸς θαλάσσῃ, πόλις Ἀσωπὸς Ἀκριῶν ἀπέχει σταδίους ἑξήκοντα. ἐν αὐτῇ δὲ ναός τε Ῥωμαίων βασιλέων, καὶ ἀνωτέρω τῆς πόλεως, ὅσον γε σταδίους δώδεκα, καὶ ἱερόν ἐστιν Ἀσκληπιοῦ· Φιλόλαον τὸν θεὸν ὀνομάζουσι. τὰ δὲ ὅσα ἐν τῷ γυμνασίῳ τὰ τιμώμενα μεγέθει μὲν ὑπερβάλλοντα, ἀνθρώπου δὲ ὅμως ἐστί. καὶ

pitheti genere. Quare pro Γερόνθρας ſcribendum eſſe Γερονθράτας, *Sylb.* recte adnotavit.

8) μοῖρας ἦσαν] Mallem μοῖρα ἦσαν, uti ſupra C. 14. εἰσὶ δὲ οἱ Κρότανοι Πιτανατῶν μοῖρα, et L. IV. C. 21. ac 29.

9) ἐλέφ. πεποιημένου κεφαλή] Cod. Vind. ἐλ. πεποιημένη κεφαλή, quam lectionem vulgatae praeferre haud dubitarem.

10) Σελινοῦντα] Uterque Codex Σελῃνοῦντα exhibet.

καὶ Ἀθηνᾶς ἱερόν ἐστιν ἐν τῇ ἀκροπόλει Κυπαρισσίας ἐπίκλησιν. τῆς δὲ ἀκροπόλεως πρὸς τοῖς ποσὶ πόλεως ἐρείπια καλουμένης Ἀχαιῶν τῶν παρακυπαρισσίων. ἔστι δὲ ἐν τῇ γῇ ταύτῃ καὶ ἱερὸν Ἀσκληπιοῦ σάδια ἀπέχον ὡς πεντήκοντα Ἀσωποῦ. τὸ δὲ χωρίον, ἔνθα τὸ Ἀσκληπίειον, Ὑπερτελέατον ὀνομάζουσιν. Ἄκρα δὲ ἀνέχουσα ἐς θάλασσαν ἀφέσηκεν Ἀσωποῦ διακόσια σάδια· καλοῦσι δὲ Ὄνου γνάθον [11]) τὴν ἄκραν. ἐνταῦθά ἐστιν Ἀθηνᾶς ἱερὸν ἄγαλμα οὐκ ἔχον, οὐδὲ ὄροφος ἔπεστιν ἐπ' αὐτό [12])· λέγεται δὲ, ὡς ὑπὸ Ἀγαμέμνονος ἐποιήθη. ἔστι δὲ καὶ μνῆμα Κινάδου· νεὼς τῆς Μενελάου καὶ οὗτος [13]) κυβερνήτης ἦν. Ἐσέ- 9
χει δὲ μετὰ τὴν ἄκραν Βοιωτιακὸς καλούμενος κόλπος [14]), καὶ Βοιαὶ πόλις πρὸς τῷ πέρατί ἐστι τοῦ κόλπου. ταύτην ὤκισε μὲν Βοιὸς τῶν Ἡρακλειδῶν, συναγαγεῖν δὲ ἄνδρας ἀπὸ τριῶν ἐς αὐτὴν λέγεται πόλεων, Ἠτιδος [15]), Ἀφροδισιάδος, καὶ Σίδης. τῶν δὲ πόλεων τῶν ἀρχαίων τὰς μὲν δύο ἐς Ἰταλίαν φεύγοντα Αἰνείαν καὶ ὑπὸ πνευμάτων ἀπενεχθέντα ἐς τοῦτον τὸν κόλπον οἰκίσαι φασὶν, τὴν Ἠτιάδα Αἰνείου θυγατέρα λέγοντες εἶναι· τὴν τρίτην δὲ κληθῆναι τῶν πόλεων λέγουσιν

11) γνάθον] Uterque Cod. γνάθος.

12) ἐπ' αὐτό] Cod. Vind. αὐτῷ, quod forte aliquis malit.

13) καὶ οὗτος etc.] (praeter alios) *etiam hic Menelai gubernator fuit.* Alius Menelai gubernator *Phrontis* fuit, de quo vid. L. X. C. 25. ab init.

14) ἐσέχει — Βοιωτιακὸς καλ. κόλπος] Uterque Codex ἐπέχει. *Amaſ.* legit Βοιατικὸς, et hanc lectionem genuinam esse nomen urbis docet Βοιαί.

15) Ἠτιδος] *Amaſ.* scribit Ἠτιάδος, sicuti mox Ἠτιάδα est. L. VIII. C. 12., ubi eadem de Aeneae adventu in Laconicam narrantur, is Ἀφροδισιάδος et Οἰήτιδος conditor dicitur.

λέγουσιν ἀπὸ τῆς Δαναοῦ Σίδης [16]). ἀπὸ δὴ τούτων τῶν πόλεων ἀναστάντες ἐζήτουν, ἔνθα οἰκῆσαι σφᾶς χρεὼν εἴη· καί τι καὶ μάντευμα ἦν αὐτοῖς Ἀρτεμιν, ἔνθα οἰκήσουσιν, ἐπιδείξειν. ὡς οὖν ἐκβᾶσιν ἐς τὴν γῆν λαγὼς ἐπιφαίνεται, τὸν λαγὼν ἑποιήσαντο ἡγεμόνα τῆς ὁδοῦ· καταδύντος δὲ ἐς μυρσίνην, πόλιν τε οἰκίζουσιν ἐνταῦθα, οὕπερ ἡ μυρσίνη ἦν, καὶ τὸ δένδρον ἔτι ἐκείνην σέβουσι τὴν μυρσίνην, καὶ Ἄρτεμιν ὀνομάζουσι Σώτειραν. καὶ Ἀπόλλωνος ναὸς ἐν τῇ Βοιατῶν ἀγορᾷ ἐστι, καὶ ἑτέρωθι Ἀσκληπιοῦ, καὶ Σαράπιδός τε καὶ Ἴσιδος. ἐρείπια [17]) ἀπέχει μὲν Βοιῶν οὐ πλέον ἢ σταδίους ἑπτά, ἰόντι δὲ ἐς αὐτὰ [18]), ἄγαλμα Ἑρμοῦ λιθινον ἕστηκεν ἐν ἀριστερᾷ, καὶ ἐν τοῖς ἐρειπίοις ἱερὸν Ἀσκληπιοῦ καὶ Ὑγείας ἐστὶν οὐκ ἀφανές.

16) τῆς Δαναοῦ Σίδης] Alia *Side*, Orionis conjux, occurrit in Apollod. L. I. C. 4. 3., et tertia, *Tauri* cujusdam filia, a qua *Side*, urbs Pamphyliae, nomen accepit. Vid. Suid. et Stephan. Byz. v. Σίδη, ubi tamen pro Μενταύρου emendandum μεν Ταύρου, quod ex sequenti δὲ patet, et in Suida ita legitur.

17) καὶ Σαράπιδός — ἐρείπια etc.] Haec prava interpunctione distincta locum dedere absurdae *Amasaei* interpretationi: *Serapidis vero et Isidis rudera* etc. Non templi rudera hic memorari, sequentia docent, quae in his reliquiis templum Aesculapii et Hygiae fuisse referunt. De priscae vero urbis Boearum reliquiis Pausaniam loqui, verba ipsa rectius distincta satis declarant.

18) ἐς αὐτὰ] sc. ἐρείπια. Vulgatam αὐτὸ nomine suo prorsus destitutam cum αὐτὰ mutare, non haesitavi. Mox pro ἐν ἀριστερᾷ Cod. Vind. ἐν ἀγορᾷ.

CAPUT

CAPUT XXIII.

De insula Cytheris, ejus navali Scandia, Veneris Coelestis templo et aliis memorandis — Apolline Epidelio et Delo insula a Monephane Mithridatis duce funditus eversa — Menophanis et Mithridatis morte — Epidauro Limera dicta — Inus aquae portendendi vi, eademque Aetnae crateris — memorandis in urbe Epidauro — promontorio Minoa.

Κύθηρα δὲ κεῖται μὲν ἀπαντικρὺ Βοιῶν. ἐς δὲ Πλατανισοῦντα (ἐλάχιστον γὰρ τῆς ἠπείρου ταύτῃ διέσηκεν ἡ νῆσος) ἐς ταύτην τὴν ἄκραν [1]) τὸν Πλατανισοῦντα ἀπὸ ἄκρας τῆς ἠπείρου, καλουμένης δὲ Ὄνου γνάθου [2]), σαδίων πλοῦς τεσσαράκοντά ἐστιν. ἐν Κυθήροις δὲ ἀπὸ θαλάσσης Σκάνδειά ἐστιν ἐπίνειον. Κύθηρα δὲ ἡ πόλις ἀναβάντι ἀπὸ Σκανδείας, σάδια ὡς δέκα. τὸ δὲ ἱερὸν τῆς Οὐρανίας ἁγιώτατον, καὶ ἱερῶν ὁπόσα Ἀφροδίτης παρ' Ἕλλησίν ἐστιν ἀρχαιότατον. αὕτη [3]) δὲ ἡ θεὸς ξόανον ὡπλισμένον. πλέοντι δ' ἐκ Βοιῶν, τῶν ὑπὲρ τὴν ἄκραν [4]) τῆς Μαλέας, λίμνη ἐστὶν ὀνομαζόμενον Νύμβαιον, καὶ Ποσειδῶνος ἄγαλμα ὀρθὸν, καὶ σπήλαιον θαλάσσης ἐγγύτατα, ἐν δὲ αὐτῷ γλυκέος ὕδατος πηγή· καὶ ἄνθρωποι περιοικοῦσι πολλοί. Περιπλεύσαντι δὲ τὴν ἄκραν τῆς Μαλέας 2 καὶ

1) ἐς ταύτην τὴν ἄκρ.] Uterque Cod. ἐς ταύτην γὰρ τὴν ἄκρ.

2) γνάθου] Ex Cod. Mosc. pro vulgata γνάθους, quam ita emendandam esse, *Sylb.* jam notaverat.

3) αὕτη] Cod. Mosc. αὐτὴ, quod mihi praestare videtur.

4) τῶν ὑπὲρ τὴν ἄκρ. etc.] τῶν, quod non ad Βοιῶν referri potest, *Sylb.* vel tollendum censet, vel mutandum in τὴν, sc. ὁδόν. Paulo infra pro Νύμβαιον *Gamerar.* legit Νύμφαιον.

καὶ ἑκατὸν σάδια ἀποσχόντι ἐπὶ θαλάσσῃ, χωρίου ἐν ὅροις Βοιατῶν Ἀπόλλωνος μὲν ἱερόν ἐστιν, Ἐπιδήλιον[5]) δὲ ὀνομαζόμενον· τὸ γὰρ τοῦ Ἀπόλλωνος ξόανον, ὃ νῦν ἔστιν ἐνταῦθα, ἐν Δήλῳ ποτὲ ἵδρυτο. τῆς γὰρ Δήλου τότε ἐμπορίου τοῖς Ἕλλησιν οὔσης, καὶ ἄδειαν τοῖς ἐργαζομένοις[6]) διὰ τὸν θεὸν δοκούσης παρέχειν, Μηνοφάνης Μιθριδάτου στρατηγὸς, εἴτε αὐτὸς ὑπερφρονήσας, εἴτε καὶ ὑπὸ Μιθριδάτου προστεταγμένου[7]) (ἀνθρώπῳ γὰρ ἀφορῶντι ἐς κέρδος τὰ θεῖα ὕστερα λημμάτων), οὗτος οὖν ὁ Μηνοφάνης, ἅτε οὔσης ἀτειχίστου τῆς Δήλου, καὶ ὅπλα οὐ κεκτημένων ἀνδρῶν, τριήρεσιν ἐσπλεύσας ἐφόνευσε μὲν τοὺς ἐπιδημοῦντας τῶν ξένων, ἐφόνευσε δὲ αὐτοὺς τοὺς Δηλίους· κατασύρας δὲ πολλὰ μὲν ἐμπόρων χρήματα, πάντα δὲ ἀναθήματα, προσεξανδραποδισάμενος δὲ καὶ γυναῖκας καὶ τέκνα, καὶ αὐτὴν ἐς ἔδαφος κατέβαλε τὴν Δῆλον. ἅτε δὲ πορθουμένης τε καὶ ἁρπαζομένης, τῶν τις βαρβάρων ὑπὸ ὕβρεως τὸ ξόανον τοῦτο ἀπέρριψεν ἐς τὴν θάλασσαν. ὑπολαβὼν δὲ ὁ κλύδων, ἐνταῦθα τῆς Βοιατῶν ἀπήνεγκε· καὶ τὸ χωρίον διὰ τοῦτο Ἐπιδήλιον 3 ὀνομάζουσι. Τὸ μέν τοι μήνιμα ἐκ[8]) τοῦ θεοῦ διέφυγεν οὔτε Μηνοφάνης, οὔτε αὐτὸς Μιθριδάτης· ἀλλὰ Μηνοφάνην μὲν παραυτίκα, ὡς ἀνήγετο ἐρημώσας

5) Ἐπιδήλιον] Strabo L. VIII. p. 565. illud Δήλιον vocat. In sequentibus Cod Mosc. pro Ἐπιδηλίου exhibet ἀπὸ Δηλίου.

6) ἐργαζομένοις] *negotiatoribus.* ἐργάζεσθαι enim universe significare *labore sibi aliquid parare, quaestum facere*, jam alii docuerunt. Vid. Perizon. ad Ael. V. H. L. IV. C. 3.

7) εἴτε — προστεταγμένου] *sive quod ipsi a Mithridate ita praeceptum fuit.* Sic προστεταγμ. absolute positum, uti interdum Pausanias loqui amat. Sed forte aliquis praeferat προστεταγμένος, *jussus.*

8) μήνιμα ἐκ] Cod. Vind. μήνιμα τὸ ἐκ.

σας τὴν Δῆλον, λοχήσαντες ναυσὶν οἱ διαπεφευγότες τῶν ἐμπόρων καταλύουσι, Μιθριδάτην δὲ ὕστερον τούτων ἠνάγκασεν ὁ θεὸς αὐτόχειρα αὑτοῦ καταστῆναι [9]), τῆς τε ἀρχῆς οἱ καθηρημένης, καὶ ἐλαυνόμενον πανταχόθεν ὑπὸ Ῥωμαίων. εἰσὶ δὲ οἳ φασιν, αὐτὸν παρά του τῶν μισθοφόρων θάνατον βίαιον ἐν μέρει χάριτος εὕρασθαι. τούτοις μὲν τοιαῦτα ἀπήντησεν ἀσεβήσασι. Τῆς δὲ Βοιατῶν ὅμορος Ἐπίδαυρός ἐστιν ἡ 4
Λιμηρὰ [10]), σταδίους ὡς διακοσίους ἀπέχουσα Ἐπιδηλίου. Φασὶ δὲ οὐ Λακεδαιμονίων, τῶν δὲ ἐν τῇ Ἀργολίδι Ἐπιδαυρίων εἶναι, πλέοντες δὲ ἐς Κῶν παρὰ τὸν Ἀσκληπιὸν ἀπὸ τοῦ κοινοῦ προσχεῖν τῆς Λακωνικῆς ἐνταῦθα, καὶ ἐξ ἐνυπνίων γενομένων σφίσι καταμείναντες οἰκῆσαι. λέγουσι δὲ καὶ ὡς οἴκοθεν ἐκ τῆς Ἐπιδαύρου δράκοντα ἑπαγομένοις αὐτοῖς ἐξέφυγεν ἐκ τῆς νεὼς ὁ δράκων· ἐκφυγὼν δὲ οὐ πόρρω κατέδυ θαλάσσης, καί σφισιν ὁμοῦ τῶν ὀνειράτων τῇ ὄψει, καὶ ἀπὸ τοῦ σημείου τοῦ κατὰ δράκοντα, ἔδοξεν αὐτόθι καταμείναντας οἰκῆσαι. καὶ ἔνθα ὁ δράκων κατέδυ, βωμοί τέ εἰσιν Ἀσκληπιοῦ, καὶ ἐλαῖαι περὶ αὐτοὺς πεφύκασι. Προελθόντι δὲ ἐν δεξιᾷ δύο που 5
σταδίους ἐστὶν Ἰνοῦς καλούμενον ὕδωρ· μέγεθος μὲν κατὰ λίμνην μικράν, τῆς γῆς δὲ ἐν βάθει μᾶλλον [11]). ἐς τοῦτο τὸ ὕδωρ ἐν τῇ ἑορτῇ τῆς Ἰνοῦς ἐμβάλλουσιν ἀλφί-

9) αὐτόχειρα αὐτοῦ κατασ.] Vid. Plutarch. Pompej. f. 41. in fine. Paullo aliter illud refert Appian. bell. Mithridat. 110. sq.

10) Ἐπίδαυρός ἐστ. ἡ Λιμηρὰ] De ea vid. Strabon. L. VIII. p. 566. et Steph. Mox pro ἀπέχουσα Ἐπιδηλίου Cod. Vind. ἀπέχ. ἀπὸ Ἐπιδ., et Mosc. ἀπέχ. ἀπὸ Δηλίου. Voculàm ἀπὸ omnino Pausaniae hic reddendam esse, arbitror, cum ἀπέχειν semper fere illi jungat.

11) τῆς γῆς δὲ ἐν βάθει μᾶλλον] sc. ἐστὶ, *in terrae profundum magis descendit.*

ἀλφίτων μάζας. ταύτας ἐπὶ μὲν αἰσίῳ τοῦ ἐμβαλόντος καταδεξάμενον ἔχει τὸ ὕδωρ· εἰ δὲ ἀναπέμψαιτο σφᾶς, πονηρὸν κέκριται σημεῖον. τὸ δὲ αὐτὸ καὶ ἐν Αἴτνῃ δηλοῦσιν οἱ κρατῆρες. καὶ γὰρ χρυσοῦ[12]) ἐς αὐτοὺς καὶ ἀργύρου ποιήματα, ἔτι δὲ καὶ ἱερεῖα τὰ πάντα ἀφιᾶσι· ταῦτα δὲ ἢν μὲν ὑπολαβὸν ὑπενέγκοι τὸ πῦρ, οἱ δὲ χαίρουσιν ὡς ἐπὶ πεφηνότι ἀγαθῷ, ἀπωσαμένου δὲ τὰ ἐμβληθέντα, συμφορὰν ἔσε-
6 σθαι τούτῳ τῷ ἀνδρὶ νομίζουσι. Κατὰ δὲ τὴν ὁδὸν τὴν ἐκ Βοιῶν ἐς Ἐπίδαυρον τὴν Λιμηρὰν ἄγουσαν Ἀρτέμιδος ἱερόν ἐστιν ἐν τῇ Ἐπιδαυρίων Λιμνάτιδος. ἡ πόλις δὲ ἀπέχουσα οὐ πολὺ ἀπὸ θαλάσσης, ἐπὶ μετεώρῳ μὲν ᾤκισαι, θέας δὲ αὐτόθι ἄξια, τὸ μὲν Ἀφροδίτης ἐστὶν ἱερὸν, τὸ δὲ Ἀσκληπιοῦ, καὶ ἄγαλμα ὀρθὸν λίθου, καὶ Ἀθηνᾶς ἐν τῇ ἀκροπόλει ναός· πρὸ
7 δὲ τοῦ λιμένος Διὸς ἐπίκλησιν σωτῆρος. Ἄκρα δὲ ἐς τὸ πέλαγος κατὰ τὴν πόλιν ἀνέχει καλουμένη Μινώα[13]). καὶ ὁ μὲν κόλπος οὐδέν τι ἔχει διάφορον, ἢ ὅσαι κατὰ τὴν Λακωνικὴν ἄλλαι θαλάσσης εἰσὶν ἐσβολαί· αἰγιαλὸς δὲ ὁ ταύτῃ παρέχεται ψηφῖδας σχῆμα εὐπρεπεστέρας καὶ χρόας παντοδαπῆς.

12) χρυσοῦ] Uterque Cod. χρυσᾶ.

13) Μινώα] Strab. L. VIII. p. 565. Φρούριον vocat. Stephan. inter plures hujus nominis urbes illud non recenset.

CAPUT

CAPUT XXIV.

De Zarace — Cyphantum reliquiis, et Braſiis — Braſiatarum de Semele, Baccho et Ino narratio — de Achillis templo et feſto — urbe La, ejusque reliquiis et memorandis, Dianae Aſiae templo, et fonte Cagacone — regione Hypſos et fluvio Smeno — regione Araïno, La urbis conditore et Achille Helenae proco.

Ἐπιδαύρου δὲ σαδίους ἑκατὸν ἀπέχει Ζάραξ [1]), ἄλλως μὲν εὐλίμενον χωρίον, τῶν δὲ Ἐλευθερολακώνων μάλιστα τοῦτο ἐκτετρύχωται· ἐπεὶ καὶ Κλεώνυμος ὁ Κλεομένους τοῦ Ἀγησιπόλιδος [2]) μόνον τοῦτο τῶν Λακωνικῶν πολισμάτων ἐποίησεν ἀνάστατον· καί μοι τὰ ἐς τὸν Κλεώνυμον ἐτέρωθί ἐστιν εἰρημένα. ἐν Ζάρακι δὲ ἄλλο μὲν οὐδὲν, πρὸς δὲ τοῦ λιμένος τῷ πέρατι Ἀπόλλωνος ναός ἐστι καὶ ἄγαλμα κιθάραν ἔχον. προελθόντι δὲ ἀπὸ Ζάρακος παρὰ τὴν θάλασσαν ἔξ 2
που σάδια, καὶ ἐπιστρέψαντι αὐτόθεν ἐς μεσόγαιαν, καὶ ἐπαναβάντι σαδίους ὡς δέκα, Κυφάντων [3]) καλουμένων ἐρείπιά ἐστιν, ἐν δὲ αὐτοῖς Στήθαιον [4]), ἱερὸν Ἀσκληπιοῦ, λίθου δὲ τὸ ἄγαλμα. ἔστι δὲ καὶ ὕδα-

1) Ζάραξ] De hac urbe vid. L. I. C. 38.

2) ὁ Κλεομένους τοῦ Ἀγησιπόλιδος] Repugnat ſtemma, quod exſtat C. 6. hujus Libri et in Plutarch. Agid. f. 3. Cleomenes enim et Ageſipolis fratres fuere et filii Cleombroti; quare pro Ἀγησιπόλιδος reponendum eſſet Κλεομβρότου, vel poſt Ἀγησιπόλιδος inſerendum ἀδελφοῦ. De iis, quae ad Cleonymum pertinent, ſupra egit Pauſan. C. 6.

3) Κυφάντων] Ptolem. L. III. C. 16. Κυφάντα λιμήν, et Plin. H. N. L. IV. C. 5. p. 194. Cyphanta portus.

4) Στήθαιον] Uterque Cod. Γήθαιον. Illam vocem corruptam

τος ψυχροῦ κρουνὸς ἐκβάλλων ἐκ πέτρας· Ἀταλάντην θηρεύουσαν ἐνταῦθά φασιν, ὡς ἠνιᾶτο ὑπὸ δίψης, παῖσαι τῇ λόγχῃ τὴν πέτραν, καὶ οὕτω ῥυῆναι τὸ ὕ-
3 δωρ. Βρασιαὶ δὲ ἐσχάτη μὲν ταύτῃ τῶν Ἐλευθερολακώνων πρὸς θαλάσσῃ ἐστὶ, Κυφάντων δὲ ἀπέχουσι πλοῦν σταδίων διακοσίων. οἱ δὲ ἄνθρωποι λέγουσιν ἐνταῦθα οὐδέσιν ὁμολογοῦντα [5]) Ἑλλήνων· ὡς Σεμέλη τέκοι τὸν παῖδα ἐκ Διὸς, καὶ ὑπὸ τοῦ Κάδμου φωραθεῖσα ἐς λάρνακα αὐτὴ καὶ Διόνυσος ἐμβληθείη· καὶ τὴν λάρνακα ὑπὸ τοῦ κλύδωνος ἐκπεσεῖν φασιν ἐς τὴν σφετέραν· καὶ Σεμέλην μὲν (οὐ γὰρ αὐτὴν περιοῦσαν ἔτι εὑρεῖν) ἐπιφανῶς θάψαι, Διόνυσον δὲ ἀναθρέψαι λέγουσιν. ἐπὶ τούτῳ δὲ αὐτοῖς καὶ τὴν πόλιν, Ὀρειάτας ἐς ἐκεῖνο ὀνομαζομένας, μετονομασθῆναι Βρασιὰς ἐπὶ τῇ ἐκβολῇ τῇ ἐς τὴν γῆν τῆς λάρνακος [6]). ὡσαύτως δὲ καὶ ἐφ' ἡμῶν τὰ ὑπὸ τοῦ κλύδωνος ἀποθούμενα ἐς τὴν γῆν ἐκβεβράσθαι καλοῦσιν οἱ πολλοί [7]). Βρασιάται δὲ καὶ τάδε ἐπιλέγουσιν· Ἰνὼ σφίσιν ἐς τὴν χώραν ἀφικέσθαι πλανωμένην, ἐλθοῦσαν δὲ ἐθελῆσαι τοῦ Διονύσου γενέσθαι τροφόν. καὶ ἀποφαίνουσι μὲν τὸ ἄντρον, ἔνθα τὸν Διόνυσον ἔθρεψεν Ἰνὼ, καλοῦσι δὲ καὶ τὸ πεδίον Διονύσου κῆπον.
4 Ἱερὰ δὲ αὐτόθι, τὸ μέν ἐστιν Ἀσκληπιοῦ, τὸ δὲ Ἀχιλλέως, καὶ ἑορτὴν κατὰ ἔτος ἄγουσιν Ἀχιλλεῖ. ἄκρα δέ

ptam esse, jam *Kuhn.* suspicatus est. Mihi non Aesculapii cognomen, sed templi ipsius nomen vel materia indicari videtur.

5) ὁμολογοῦντα] Vind. et Mosc. ὁμολογοῦντες. Bene.

6) μετον. Βρ. ἐπὶ τῇ ἐκβολῇ — λάρνακος] Scil. a βράζω, βράσσω, aestu ejicio. Suid. ἔβρασεν, ἐκ τῆς θαλάσσης ἐς τὴν γῆν ἔβριψεν, et βράσσει, ζέει, ἀναβάλλει. Conf. Hesych. h. v.

7) οἱ πολλοὶ] Uterque Cod. οἱ παλαιοὶ mendose exhibet; repugnat enim antecedens ἐφ' ἡμῶν.

δέ ἐσιν ἐν ταῖς Βρασιαῖς μικρὰ, προέχουσα ἠρέμα ἐς τὴν θάλασσαν, καὶ ἐπ' αὐτῇ χαλκοῖ ποδιαίων ἑσήκασιν οὐ μείζονες πίλους ἐπὶ ταῖς κεφαλαῖς ἔχοντες. οὐκ οἶδα, εἰ Διοσκούρους σφᾶς, ἢ Κορύβαντας νομίζουσι· τρεῖς δ' οὖν εἰσὶ, τέταρτον δὲ Ἀθηνᾶς ἄγαλμα. Τὰ δὲ ἐν δεξιᾷ Γυθίου Λᾶς ἐσι, θαλάσσης μὲν δέκα στάδια, Γυθίου δὲ τεσσαράκοντα ἀπέχουσα. ὠκισαι δὲ νῦν μὲν Ἰλίου καλουμένου, καὶ Ἀμᾶς [8]), καὶ Κναπαδίου, τῶν ὀρῶν τούτων τὸ μεταξὺ ἐπέχουσα, πρότερον δὲ τῆς Ἀσίας τοῦ ὄρους ἔκειτο ἐπὶ τῇ κορυφῇ· καὶ νῦν ἔτι τῆς πόλεώς ἐσι τῆς ἀρχαίας ἐρείπια, καὶ πρὸ τῶν τειχῶν ἄγαλμα Ἡρακλέους, καὶ ἀπὸ τῶν Μακεδόνων τρόπαιον, οἱ μοῖρα τῆς Φιλίππου στρατιᾶς ἦσαν, ἡνίκα ἐς τὴν Λακωνικὴν ἐσέβαλεν, ἀποτραπόμενοι δὲ ἀπὸ τῶν ἄλλων τὰ παραθαλάσσια ἐλεηλάτουν τῆς χώρας. ἔσι δὲ ἐν τοῖς ἐρειπίοις ναὸς Ἀθηνᾶς ἐπίκλησιν Ἀσίας· ποιῆσαι δὲ Πολυδεύκην καὶ Κάσορά φασιν ἀνασωθέντας ἐκ Κόλχων· εἶναι γὰρ καὶ Κόλχοις Ἀθηνᾶς Ἀσίας ἱερόν. μετασχόντας μὲν οὖν οἶδα Ἰάσονι τοῦ στόλου τοὺς Τυνδάρεω παῖδας· ὅτι δὲ Ἀθηνᾶν Ἀσίαν τιμῶσιν οἱ Κόλχοι, παρὰ Λακεδαιμονίων ἀκούσας γράφω. Τῆς δὲ ἐφ' ἡμῶν οἰκουμένης πόλεως κρήνη τέ ἐσι πλησίον [9]) διὰ τὴν χρόαν τοῦ ὕδατος καλουμένη Καγακὼ [10]), καὶ πρὸς τῇ κρήνῃ γυμνάσιον· Ἑρμοῦ δὲ ἔσηκεν ἄγαλμα ἀρχαῖον. τῶν δὲ ὀρῶν ἐπὶ μὲν τοῦ Ἰλίου

8) Ἀμᾶς] Palmer. Exerc. p. 385. Ἀσίας scribendum putat ex subsequentibus τῆς Ἀσίας τοῦ ὄρους. Mox pro τούτων τὸ μεταξὺ uterque Cod. τοῦτο τὸ μεταξύ. De *La* vid. Eustath. ad Homer. Il. B. v. 585.

9) πλησίον] In Cod. Vind. abest, qui et paulo infra pro τῇ κρήνῃ dat τῇ λίμνῃ.

10) Καγακὼ] Camerar. legit Κνακὼ, et sic mons *Cnacadius* inde dictus esset. De κνακῷ, colore *albido*, seu *gutturo* vid. not. ad Hesych. et Salmas. Exerc. p. 896.

Διονύσου τέ ἐστι καὶ ἐπ' ἄκρας τῆς κορυφῆς Ἀσκληπιοῦ ναός. πρὸς δὲ τῷ Κναναδίῳ Καρνεῖος καλούμενος Ἀ-
6 πόλλων. Ἀπὸ δὲ τοῦ Καρνείου σταδίους ἀπελθόντι [11]) ὡς τριάκοντά ἐστιν ἐν χωρίον Ὕψος [12]) ἐν ὄροις ἤδη Σπαρτιατῶν, ἱερὸν Ἀσκληπιοῦ καὶ Ἀρτέμιδος ἐπίκλησιν Δαφναίας. πρὸς θαλάσσῃ δὲ ἐπὶ ἄκρας ναός ἐστι Δικτύννης Ἀρτέμιδος, καί οἱ κατὰ ἔτος ἕκαστον ἑορτὴν ἄγουσι. ταύτης δὲ ἐν ἀριστερᾷ τῆς ἄκρας ποταμὸς ἐκδίδωσιν ἐς θάλασσαν Σμῆνος, ὕδωρ πιεῖν ἡδὺ εἴπερ ἄλλος τις παρασχόμενος ποταμός· ἔχει δὲ ἐν τῷ ὄρει τῷ Ταϋγέτῳ τὰς πηγάς, ἀπέχει δὲ τῆς πό-
7 λεως σταδίους οὐ πλέον πέντε [13]). Ἐν δὲ Ἀραῖνῳ καλουμένῳ χωρίῳ τάφος Λᾶ, καὶ ἀνδριὰς ἐπὶ τῷ μνήματι ἕπεστι. τοῦτον τὸν Λᾶν οἰκιστὴν εἶναι λέγουσιν οἱ ταύτῃ, καὶ ἀποθανεῖν φασιν ὑπὸ Ἀχιλλέως. Ἀχιλλέα δὲ κατᾶραί σφισιν ἐς τὴν χώραν Ἑλένην παρὰ Τυνδάρεω γυναῖκα αἰτοῦντα. λέγοντι δὲ ἐπ' ἀληθείᾳ, Πάτροκλός ἐστιν ὁ τὸν Λᾶν ἀποκτείνας· οὗτος γὰρ καὶ ὁ μνησευσάμενος Ἑλένην. καὶ ὅτι μὲν τῶν Ἑλένης μνηστήρων Ἀχιλλεὺς οὐκ ἔστιν ἐν καταλόγῳ γυναικῶν [14]), μηδὲν τοῦτο ἔστω τεκμήριον, οὐκ αἰτῆσαι Ἑλένην αὐτόν· Ὅμηρος [15]) δὲ ἐγραψε μὲν τῆς ποιήσεως ἀρχόμενος, ὡς Ἀχιλ-

11) ἀπελθόντι] Uterque Cod. bene exhibet προελθόντι.

12) ἐστιν ἐν χωρίον Ὕψος] Cod. Mosc. χωρίον et supra ον habet ῳ, pro Ὕψος vero Ὕψοις. Cum ἐν hic prorsus jejunum et alienum sit, ac verba male cohaereant, deficiente κῃ ante ἱερὸν, genuinam lectionem hanc fuisse suspicor: ἔστιν ἐν χωρίῳ Ὕψοις etc.

13) τῆς πόλεως σταδ. οὐ πλέον π.] Haec urbs est Λᾶς. In utroque Codice abest οὐ.

14) ἐν καταλόγῳ γυναικῶν] Hesiodi carmine sic inscripto. Vid. not. ad L. I. C. 3.

15) Ὅμηρος] Il. A. v. 158. Paulo infra pro παραγένοιτο Cod. Mosc. dat παρεγένετο.

Ἀχιλλεὺς χαριζόμενος τοῖς Ἀτρέως παισὶ, καὶ οὐκ ἐνεχόμενος τοῖς ὅρκοις τοῖς Τυνδάρεω, παραγένοιτο ἐς Τροίαν· ἐποίησε δὲ [16]) ἐν ἄθλοις λέγοντα Ἀντίλοχον, ὡς Ὀδυσσεὺς πρεσβύτερός ἐστιν αὐτοῦ γενεᾷ· τὸν δὲ Ὀδυσσέα [17]) πρὸς Ἀλκίνουν περὶ τῶν ἐν ᾅδου καὶ ἄλλα διηγούμενον, καὶ ὅτι Θησέα δὲ ἰδεῖν ἐθελῆσαι καὶ Πειρίθουν πρότερους ἄνδρας, ἢ καθ' ἡλικίαν τὴν αὐτοῦ. Θησέα ἴσμεν ἁρπάσαντα Ἑλένην· οὗτος οὐδὲ ἐγχωροῦν ἐστιν ἀρχὴν [18]) Ἑλένης μνηστῆρα Ἀχιλλέα γενέσθαι.

CAPUT XXV.

De fluvio Scyra — Pyrrhicho oppido, Sileno, Diana Aſtratia — Teuthrone oppido, Diana Iſſoria — promontorio Taenaro, portu Achilleo et Pſamatho, atque inferorum cane ab Hercule protracto — Arionis delphino inſidentis ſigno et fonte olim miro — Caenepoli — Meſſa oppido et portu, atque Oetylo urbe.

Προελθόντι δὲ ἀπὸ τοῦ μνήματος [1]), ἐκδίδωσιν ἐς θάλασσαν ποταμὸς, ὄνομα δέ οἱ Σκύρας, ὅτι καὶ τοῦτον ἀνώνυμον τέως ὄντα Πύρρος ὁ Ἀχιλλέως ἔσχε

16) ἐποίησε δὲ etc.] Vid. Il. Ψ. v. 789. οὗτος δὲ πρότερος γενεῆς etc.

17) τὸν δὲ Ὀδυσσέα] Vid. Odyſſ. Λ. v. 629.

18) οὕτως οὐδὲ ἐγχ. ἐστιν ἀρχὴν] ſic prorſus fieri nequit, ut *Achilles* etc. ἐς ante ἀρχὴν delevi ex Cod. Moſc. et Vind., quorum poſterior ἐστιν ἐς ἀρχὴν omiſit. Inſolenter enim οὐδὲ ἐς ἀρχὴν dictum pro οὐδὲ ἀρχὴν, οὐκ ἀρχὴν, *prorſus non*, et haud dubie ἐς librarii oſcitantia ex ἐστιν male repetitum eſt.

1) μνήματος] ſcil. Λᾶ, de quo paulo ſupra.

ταῖς ναυσὶν [2]), ἡνίκα ἐπὶ τὸν Ἑρμιόνης γάμον ἔπλευσεν ἐκ Σκύρου. διαβάντων δὲ τὸν ποταμὸν, ἔστιν ἱερὸν ἀρχαῖον ἀπωτέρω Διὸς βωμοῦ. Τοῦ ποταμοῦ δὲ σταδίους τεσσαράκοντα ἀπέχει Πύρριχος ἐν μεσογαίᾳ. τὸ δὲ ὄνομα τῇ πόλει γενέσθαι φασὶν ἀπὸ Πύρρου τοῦ Ἀχιλλέως· οἱ δὲ, εἶναι θεὸν Πύρριχον τῶν καλουμένων Κουρήτων· εἰσὶ δὲ οἱ Σιληνὸν ἐκ Μαλέας ἐλθόντα ἐνταῦθα λέγουσιν οἰκῆσαι. τραφῆναι μὲν δὴ τὸν Σιληνὸν ἐν τῇ Μαλέᾳ, δηλοῖ καὶ τάδε ἐξ ᾄσματος Πινδάρου [3])·

ὁ ζαμενὴς δὲ ὁ χοροιτύπος, ὃν Μαλέγορος
ἔθρεψε Ναΐδος ἀκοίτας Σιληνάς.

ὡς δὲ καὶ Πύρριχος ὄνομα ἦν αὐτῷ, Πινδάρῳ μὲν [4]) οὐκ ἔστιν εἰρημένον, λέγουσι δὲ οἱ περὶ τὴν Μαλέαν οἰκοῦντες. ἔστι δὲ ἐν τῇ Πυρρίχῳ Φρέαρ ἐν τῇ ἀγορᾷ· δοῦναι [5]) δέ σφισι τὸν Σιληνὸν νομίζουσι· σπανίζοιέν τ' ἂν ὕδατος, εἰ τὸ Φρέαρ τοῦτο ἐπιλείποι. Θεῶν δὲ ἐν τῇ γῇ σφίσιν ἱερά ἐστιν, Ἀρτέμιδός τε ἐπίκλησιν Ἀστρατείας, ὅτι τῆς ἐς τὸ πρόσω στρατείας ἐνταῦθα ἐπαύσαντο Ἀμαζόνες, καὶ Ἀπόλλων Ἀμαζόνιος· ξόανα μὲν ἀμφότερα, ἀναθεῖναι δὲ λέγουσιν αὐτὰ τὰς ἀπὸ Θερμώ-

2) ὅτι νηὶ τοῦτον — ἔσχε τ. ν.] *Kuhn.* recte emendat κατὰ τοῦτον — ἔσχε etc., *ad illum appulit navibus.* Sic enim Pausaniae saepius est ἔσχειν ἐς, κατά τι, *appellere ad* etc. L. IV. C. 2. κατὰ τὴν Τροιζῆνα ἔσχον Ἕλληνες.

3) Πινδάρου] Ex Cod. Vind. pro Πίνδαρος, quod sententiam turbabat. Schneider V. C. in Carm. Pindar. Fragm. p. 85. pro Μαλέγορος cum *Camerar.* et *Amas.* recte scribit Μαλεάγονος. Cod. Vind. dat Μελέγορος, et uterque Cod. pro ἔθρεψε Ναΐδος mendose ἔθρεψεν ἀΐδος, uti etiam Aldina.

4) μὲν] Inserui ex utroque Codice, vocula δὲ, quae sequitur, illud exigente.

5) δοῦναι] *Amas.* legisse videtur δεικνύναι.

Θερμώδοντος γυναῖκας. Ἀπὸ δὲ Πυρρίχου καταβάντι ἐς θάλασσαν, ἔστι Τευθρώνη. τὸν δὲ οἰκιστὴν οἱ ταύτῃ Τεύθραντα Ἀθηναῖον ὄντα ἀποφαίνουσι. τιμῶσι δὲ θεῶν μάλιστα Ἰσσωρίαν [6]) Ἄρτεμιν. καὶ πηγή σφίσιν ἐστι Ναΐα. Τευθρώνης δὲ ἀπέχει πεντήκοντα καὶ ἑκατὸν σταδίους ἐς θάλασσαν ἀνέχουσα ἄκρα Ταίναρον, καὶ λιμένες ὅ τε Ἀχίλλειός ἐστι καὶ Ψαμαθοῦς. ἐπὶ δὲ τῇ ἄκρᾳ ναὸς εἰκασμένος σπηλαίῳ, καὶ πρὸ αὐτοῦ Ποσειδῶνος ἄγαλμα. ἐποίησαν δὲ Ἑλλήνων τινὲς, ὡς Ἡρακλῆς ἀναγάγοι ταύτῃ τοῦ ᾅδου τὸν κύνα [7]), οὔτε ὑπὸ γῆν ὁδοῦ διὰ τοῦ σπηλαίου φερούσης, οὔτε ἕτοιμον ὂν πεισθῆναι, θεῶν ὑπόγαιον εἶναί τινα οἴκησιν, ἐς ἣν ἀθροίζεσθαι τὰς ψυχάς. ἀλλὰ Ἑκαταῖος μὲν ὁ Μιλήσιος [8]) λόγον εὗρεν εἰκότα, ὄφιν φήσας ἐπὶ Ταινάρῳ τραφῆναι δεινὸν, κληθῆναι δὲ ᾅδου κύνα, ὅτι ἔδει τὸν δηχθέντα τεθνάναι παραυτίκα ὑπὸ τοῦ ἰοῦ. καὶ τοῦτον ἔφη τὸν ὄφιν ὑπὸ Ἡρακλέους ἀχθῆναι παρ' Εὐρυσθέα. Ὅμηρος δὲ [9]) (πρῶτος γὰρ ἐκάλεσεν ᾅδου κύνα, ὄντινα Ἡρακλῆς ἤγεν) οὔτε ὄνομα ἔθετο οὐδὲν, οὔτε συνέπλασεν ἐς τὸ εἶδος, ὥσπερ ἐπὶ τῇ Χιμαίρᾳ. οἱ δὲ ὕστερον Κέρβερον ὄνομα ἐποίησαν, καὶ κυνὶ τὰ ἄλλα εἰκάζοντες κεφαλὰς τρεῖς φασιν ἔχειν αὐτόν· οὐδέν τι μᾶλλον Ὁμήρου κύνα 3 4

6) Ἰσσωρίαν] Vid. supra not. ad C. 14.

7) ὡς Ἡρακλῆς — τὸν κύνα] Idem refert Strabo L. VIII. p. 558.

8) Ἑκαταῖος μὲν ὁ Μιλήσ.] De hoc historico, qui tempore Darii Hystaspis fil. vixisse et primus historias soluta oratione composuisse fertur, vid. Suid. et Athen., qui ejus τῆς Ἀσίας περιήγησιν et τῆς Εὐρώπης περίοδον excitat p. 70. B. et p. 447. D. Conf. Strabo in multis locis et Stephan. Byzant. Mox ex utroque Cod. restitui εὗρεν pro εὕρε.

9) Ὅμηρος δὲ] Il. Θ. v. 368.

κύνα τῷ ἀνθρώπῳ σύντροφον εἰρηκότος, ἢ εἰ δράκοντα
5 ὄντα ἐκάλεσεν ἄδου κύνα [10]). Ἀναθήματα δὲ ἄλ-
λα τέ ἐστιν ἐπὶ Ταινάρῳ καὶ Ἀρίων ὁ κιθαρῳδὸς χαλ-
κοῦς ἐπὶ δελφῖνος. τὰ μὲν οὖν ἐς αὐτὸν Ἀρίονα καὶ
τὰ ἐπὶ τῷ δελφῖνι Ἡρόδοτος εἶπεν ἀκοὴν [11]) ἐν τῇ
Λυδίων συγγραφῇ. τὸν δ' ἐν Ποροσελήνῃ [12]) δελφῖ-
να τῷ παιδὶ σῶσρα ἀποδιδόντα, ὅτι συγκοπέντα ὑπὸ
ἁλιέων αὐτὸν ἰάσατο, τοῦτον τὸν δελφῖνα εἶδον, καὶ
καλοῦντι τῷ παιδὶ ὑπακούοντα, καὶ φέροντα, ὁπότε
ἐποχεῖσθαί οἱ βούλοιτο. ἔστι δὲ ἐπὶ Ταινάρῳ καὶ
πηγὴ, νῦν μὲν οὐδὲν, ὥστε καὶ θαῦμα εἶναι, παρεχομένη,
πρότερον δὲ τοῖς ἐνιδοῦσιν ἐς τὸ ὕδωρ τοὺς λιμένας,
φασὶ [13]), καὶ τὰς ναῦς θεάσασθαι παρεῖχε. τοῦτο
ἔπαυσε γυνὴ τὸ ὕδωρ, καὶ μὴ τοῦ λοιποῦ τοιαῦτα
ἐπιδείκνυσθαι, μεμιασμένην ἐναποπλύνουσα ἐσθῆτα.
6 Ταινάρου δὲ τῆς ἄκρας πλοῦν ὅσον τεσσαράκοντα
σαδίων ἀφέσηκε Καινήπολις· ὄνομα δὲ ἦν πάλαι καὶ
ταύτῃ Ταίναρον. ἐν αὐτῇ δὲ μέγαρον Δήμητρος, καὶ
ἐπὶ θαλάσσῃ ναός ἐστιν Ἀφροδίτης, καὶ ἄγαλμα
ὀρθὸν λίθου. ἐντεῦθεν ἀποσχόντι τριάκοντα σα-
δίους,

10) οὐδέν τι μᾶλλον — ἄδου κύνα] *quum Homerus illum non magis canem homini familiarem esse dixerit, quam draconem vocaverit.* Cod. Vind. post δράκοντα omisit ὄντα.

11) Ἡρόδοτος εἶπεν ἀκοὴν] Pro κατὰ ἀκοὴν, ἐξ ἀκοῆς, ἀκοῇ, *ex fama, ut fama ferebat.* Locus Herodoti est L. I. f. 24.

12) τὸν δ' ἐν Ποροσελήνῃ] Inserui δ', *Camerario* auctore. De *Poroselene*, insula prope Lesbum, proprie Πορδοσελήνη dicta, vid. Strab. L. XIII. p. 919. 920. et Steph. Πορδοσελήνη. Eadem fere de delphino et puero narrat Aelian. Hist. Animal. L. II. C. 6. De pluribus delphinis hominum amatoribus vid. Plin. H. N. L. IX. C. 8. p. 501. 502.

13) λιμένας, φασὶ] Forte λιμένας, ὥς φασι. Mox pro κῃ μὴ τοῦ *Camer.* legit τοῦ μὴ τοῦ. Sane κῃ alieno loco et delendum esse videtur.

δίους, Θυρίδες [14]) ἄκρα Ταινάρου, καὶ πόλεως ἐρείπια Ἱππόλας ἐστὶν, ἐν δὲ αὐτοῖς Ἀθηνᾶς ἱερὸν Ἱππολαΐτιδος. Ὀλίγον δὲ ἀπωτέρω Μέσσα πόλις καὶ 7
λιμήν. ἀπὸ τούτου στάδια τοῦ λιμένος πεντήκοντά ἐστι καὶ ἑκατὸν ἐπὶ Οἴτυλον [15]). ὁ δὲ ἥρως [16]), ἀφ' οὗ τῇ πόλει τὸ ὄνομα ἐγένετο, Ἀργεῖος τὸ ἀνέκαθεν, Ἀμφιάνακτος αὐτὸς υἱὸς ὢν τοῦ Ἀντιμάχου. Θέας δὲ ἄξια ἐν Οἰτύλῳ Σαράπιδός ἐστιν ἱερὸν, καὶ ἐν τῇ ἀγορᾷ Καρνείου [17]) ξόανον Ἀπόλλωνος.

14) Θυρίδες] Vid. Strab. L. VIII. p. 552.

15) Οἴτυλον] Variantem lectionem Homeri Il. B. v. 585. alterum nomen Τύλον peperisse, Eustath. affirmat ad Homeri l. c., Strabo L. VIII. p. 552. et Steph. Οἴτυλον vero praefert Eustath. Conf. interpretes ad Homeri l. c.

16) ὁ δὲ ἥρως etc.] Eustath. ad Hom. l. c. Οἴτυλος δὲ ἀπὸ Οἰτύλου ἥρωος. Paullo infra Cod. Vind. αὐτὸς non habet.

17) Καρνείου] Cod. Mosc. Καρνῖον.

CAPUT

CAPUT XXVI.

De Inus fano et oraculo in via ad Thalamas, signis Paphiae et Solis — Pephno ad mare, et insula hujus nominis, solo natali Dioscurorum — Leuctris et memorandis ibi — signo Jovis Ithomatae — Cardamyle et Nereïdum templo — Enope oppido, postea Gerenia dicto, Nestoris sede, ejusque memorandis — Machaone ejusque cultu ac Podalirio — monte Calathio et Alagonia urbe.

Ἐς Θαλάμας δὲ ἐξ Οἰτύλου μῆκος τῆς ὁδοῦ σάδιοι περὶ τοὺς ὀγδοήκοντά εἰσι. κατὰ δὲ τὴν ὁδὸν ἱερόν ἐστιν Ἰνοῦς καὶ μαντεῖον. μαντεύονται μὲν οὖν καθεύδοντες, ὁπόσα δ' ἂν πυθέσθαι δεηθῶσιν, ὀνείρατα δείκνυσί σφισιν ἡ θεός. χαλκᾶ δὲ ἕστηκεν ἀγάλματα ἐν ὑπαίθρῳ τοῦ ἱεροῦ, τῆς τε Παφίης [1]) καὶ Ἡλίου τὸ ἕτερον. αὐτὸ δὲ τὸ ἐν τῷ ναῷ, σαφῶς μὲν οὐκ ἦν ἰδεῖν ὑπὸ σεφανωμάτων, χαλκοῦν δὲ καὶ τοῦτο εἶναι λέγουσι. ῥεῖ δὲ καὶ ὕδωρ ἐκ πηγῆς ἱερᾶς πιεῖν ἡδύ, Σελήνης δὲ ἐπίκλησιν. καὶ οὐ Θαλαμάταις ἐπιχώριος
2 δαίμων ἐστὶν ἡ Παφίη. Θαλαμῶν δὲ ἀπέχει σαδίους εἴκοσιν ὀνομαζομένη Πέφνος ἐπὶ θαλάσσῃ. πρόκειται δὲ νησὶς πέτρας τῶν μεγάλων οὐ μείζων, Πέφνος καὶ ταύτῃ τὸ ὄνομα. τεχθῆναι δὲ ἐνταῦθα τοὺς Διοσκούρους φασὶν οἱ Θαλαμᾶται· τοῦτο μὲν δὴ καὶ Ἀλκμᾶνα ἐν ἄσματι οἶδα εἰπόντα· τραφῆναι δὲ οὐκέτι ἐν

1) Παφίης] *Sylb.* et *Meurs.* cum *Camerario* Πασιφάης (Solis filiae) scribendum censent ex L. V. C. 25. Sed quae sequuntur, καὶ οὐ Θαλ. ἐπιχώριος δαίμων ἐστὶν ἡ Παφίη, vulgatam stabilire mihi videntur.

ἐν τῇ Πέφνῳ Φασὶν αὐτοὺς, ἀλλὰ Ἑρμῆν τὸν ἐς Πελλάναν [2]) κομίσαντα εἶναι. ἐν ταύτῃ τῇ νησίδι ἀγάλματα Διοσκούρων χαλκᾶ, μέγεθος ποδιαῖα, ἐν ὑπαίθρῳ τῆς νησίδος ἐστίν. ταῦτα ἡ θάλασσα ἀποκινεῖν οὐκ ἐθέλει [3]) κατακλύζουσα ὥρᾳ χειμῶνος τὴν πέτραν. τοῦτό τε δὴ θαῦμά ἐστι· καὶ οἱ μύρμηκες αὐτοὶ λευκότερον [4]) ἢ ὡς μυρμήκων τὸ χρῶμα φαίνουσι. τὴν δὲ χώραν οἱ Μεσσήνιοι ταύτην αὑτῶν φασιν εἶναι τὸ ἀρχαῖον· ὥς τε καὶ τοὺς Διοσκούρους μᾶλλόν τι αὑτοῖς, καὶ οὐ Λακεδαιμονίοις, προσήκειν νομίζουσι. Πέφνου 3
δὲ σάδια εἴκοσιν ἀπέχει Λεῦκτρα. ἐφ' ὅτῳ μὲν δή ἐστιν ὄνομα τῇ πόλει Λεῦκτρον, οὐκ οἶδα· εἰ δ' ἄρα ἀπὸ Λευκίππου τοῦ Περιήρους, ὡς οἱ Μεσσήνιοί φασι, τούτου μοι δοκοῦσιν εἵνεκα οἱ ταύτῃ θεῶν μάλιστα Ἀσκληπιὸν τιμᾶν, ἅτε Ἀρσινόης παῖδα εἶναι τῆς Λευκίππου νομίζοντες. λίθου δέ ἐστιν Ἀσκληπιοῦ τε ἄγαλμα, καὶ Ἰνοῦς ἑτέρωθι. πεποίηται δὲ καὶ Κασσάνδρας τῆς Πριάμου ναὸς καὶ ἄγαλμα, Ἀλεξάνδρας ὑπὸ τῶν ἐγχωρίων καλουμένης [5]· καὶ Ἀπόλλωνος Καρνείου ξόανά ἐστι κατὰ ταυτὰ, καθὰ δὴ καὶ Λακεδαιμονίων νομίζουσιν οἱ Σπάρτην ἔχοντες. ἐπὶ δὲ τῆς ἀκροπόλεώς ἐστιν ἱερὸν καὶ ἄγαλμα Ἀθηνᾶς. καὶ Ἔρωτός ἐστιν ἐν Λεύκτροις ναὸς καὶ ἄλσος· ὕδωρ δὲ ὥρᾳ χειμῶνος διαῤῥεῖ τὸ ἄλσος· τὰ δὲ φύλλα τῷ ἤρι ἀπὸ τῶν δένδρων πίπτοντα οὐκ ἂν ὑπὸ τοῦ ὕδατος οὐδὲ

2) Πελλάναν] Vid. supra C. 21.

3) οὐκ ἐθέλει] ἐθέλειν, velle, absonum est a mari; quare *Kuhn.* idem, quod οὐ δύναται, valere putat. Sed sine dubio legendum οὐ σθένει.

4) λευκότερον] Cod. Mosc. bene exhibet λευκότεροι.

5) Ἀλεξάνδρας — καλ.] Vid. supra C. 19.

4 οὐδὲ πλεονάσαντος παρενεχθείη. Ὁ δὲ οἶδα ἐν τῇ πρὸς θαλάσσῃ χώρᾳ τῆς Λευκτρικῆς ἐπ' ἐμοῦ συμβάν, γράφω. ἄνεμος πῦρ ἐς ὕλην ἐνεγκὼν τὰ πολλὰ ἠφάνισε τῶν δένδρων· ὡς δὲ ἀνεφάνη τὸ χωρίον ψιλόν, ἄγαλμα ἐνταῦθα ἱδρυμένον εὑρέθη Διὸς Ἰθωμάτα [6]). τοῦτο οἱ Μεσσήνιοί φασι μαρτύριον εἶναί σφισι, τὰ Λεῦκτρα τὸ ἀρχαῖον τῆς Μεσσηνίας εἶναι. δύναιτο δ' ἂν καὶ Λακεδαιμονίων τὰ Λεῦκτρα ἐξαρχῆς οἰκούντων
5 ὁ Ἰθωμάτας Ζεὺς παρ' αὐτοῖς ἔχειν τιμάς. Καρδαμύλη δὲ, ἧς καὶ Ὅμηρος [7]) μνήμην ἐποιήσατο ἐν Ἀγαμέμνονος ὑποσχέσεσι δώρων, Λακεδαιμονίων ἐστὶν ὑπήκοος τῶν ἐν Σπάρτῃ, βασιλέως Αὐγούστου τῆς Μεσσηνίας ἀποτεμομένου. ἀπέχει δὲ Καρδαμύλη θαλάσσης μὲν ὀκτὼ σταδίους, Λεύκτρων δὲ ἑξήκοντα. ἐνταῦθα οὐ πόρρω τοῦ αἰγιαλοῦ τέμενος ἱερὸν τῶν Νηρέως θυγατέρων ἐστίν. ἐς γὰρ τοῦτο ἀναβῆναι τὸ χωρίον φασὶν ἐκ τῆς θαλάσσης αὐτὰς Πύρρον ὀψομένας τὸν Ἀχιλλέως, ὅτε ἐν Σπάρτῃ ἐπὶ τὸν Ἑρμιόνης ἀπῄει γάμον. ἐν δὲ τῷ πολίσματι Ἀθηνᾶς τε ἱερὸν, καὶ Ἀπόλλων ἐστὶ Καρνεῖος, καθὰ Δωριεῦσιν ἐπιχώ-
6 ριον. Πόλιν δὲ ὀνομαζομένην ἐν τοῖς ἔπεσιν Ἐνόπην τοῖς Ὁμήρου [8]), Μεσσηνίους ὄντας, ἐς δὲ τὸ συνέδριον συντελοῦντας τὸ Ἐλευθερολακώνων, καλοῦσιν ἐφ' ἡμῶν Γερηνίαν. ἐν ταύτῃ τῇ πόλει Νέστορα οἱ μὲν τραφῆναι λέγουσιν, οἱ δὲ ἐς τοῦτο ἐλθεῖν φεύγοντα τὸ χωρίον, ἡνίκα Πύλος ἡλίσκετο ὑπὸ Ἡρακλέους [9]).
7 Ἐνταῦθα ἐν τῇ Γερηνίᾳ Μαχάονος τοῦ Ἀσκληπιοῦ μνῆμα

6) Διὸς Ἰθωμάτα] Vid. L. IV. C. 3. in fine et C. 33. ab init.

7) Ὅμηρος] Il. I. v. 150. et 292.

8) Ὁμήρου] Il. I. v. 292.

9) ἡνίκα Πύλος — Ἡρακλέους] Vid. Apollod. L. II. C. 7. 3.

μνῆμα καὶ ἱερόν ἐστιν ἄγιον· καὶ ἀνθρώποις νόσων ἰάματα παρὰ τῷ Μαχάονί ἐστιν εὑρέσθαι. καὶ Ῥόδον μὲν τὸ χωρίον τὸ ἱερὸν ὀνομάζουσιν, ἄγαλμα δὲ τοῦ Μαχάονος χαλκοῦν ἐστιν ὀρθόν. ἐπίκειται δέ οἱ τῇ κεφαλῇ στέφανος, ὃν οἱ Μεσσήνιοι κίφος καλοῦσι τῇ ἐπιχωρίῳ φωνῇ. Μαχάονα δὲ ὑπὸ Εὐρυπύλου τοῦ Τηλέφου τελευτῆσαί φησιν ὁ τὰ ἔπη ποιήσας, τὴν μικρὰν Ἰλιάδα [10]). διὸ καὶ τάδε αὐτοῖς [11]) οἶδα περὶ τὸ Ἀσκληπιεῖον τὸ ἐν Περγάμῳ γινόμενα. ἄρχονται μὲν ἀπὸ Τηλέφου τῶν ὕμνων, προσδιδοῦσι [12]) δὲ οὐδὲν ἐς τὸν Εὐρύπυλον, οὐδὲ ἀρχὴν ἐν τῷ ναῷ θέλουσιν ὀνομάζειν αὐτὸν [13]), οἷα ἐπισάμενοι φονέα ὄντα Μαχάονος. ἀνασώσασθαι δὲ Νέσορα λέγεται τοῦ Μαχάονος τὰ ὀστᾶ. Ποδαλείριον δὲ, ὡς ὀπίσω πορθήσαντες Ἴλιον ἐκομίζοντο, ἁμαρτεῖν τοῦ πλοῦ, καὶ ἐς Σύρον τῆς Καρικῆς [14]) ἠπείρου φασὶν ἀποσωθέντα οἰκῆσαι. Τῆς δὲ χώρας τῆς Γερηνίας ὄρος Καλάθιον 8
ἐστιν, καὶ ἐν αὐτῷ Κλαίας ἱερὸν, καὶ σπήλαιον παρ' αὐτὸ τὸ ἱερὸν, ἔσοδον μὲν στενὴν, τὰ δὲ ἔνδον παρε-

10) ὁ τὰ ἔπη π., τὴν μικρὰν Ἰλιάδα] De hoc carmine, cycli epici parte, ejusque auctore, qui a veteribus *Lesches* Lesbius constanter perhibetur, copiosissime egit Salmas. exercit. p. 847 — 858.

11) τάδε αὐτοῖς] Non est, quo αὐτοῖς commode referri possit; pro eo *Kuhn.* scribendum conjecit αὖθις, *iterum.*

12) προσδιδοῦσι] Valkenar. ad Herod. L. VIII. s. 26. p. 631. προσάδουσι emendandum censet.

13) οὐδὲ ἀρχὴν — ὀνομάζειν αὐτὸν] Similiter nomen Achillis, qui Tennem interfecerat, in hujus templo proferri Tenedii nefas habuere. De quo vid. Diodor. L. V. in fine p. 348.

14) Σύρον τῆς Καρικῆς] Steph. hanc urbem Σύρναν et Σύρνον vocat, eamque a Podalirio conditam una cum nominis origine refert.

παρεχόμενα [15]) θέας ἄξια. Γερηνίας δὲ ὡς ἐς μεσόγαιαν ἄνω τριάκοντα ἀπέχει σταδίους Ἀλαγονία. καὶ τὸ πόλισμα κατηρείθμησαν ἤδη καὶ τοῦτο ἐν Ἐλευθερολάκωσιν. Θέας δὲ αὐτόθι ἄξια Διονύσου καὶ Ἀρτέμιδός ἐστιν ἱερά.

15) παρεχόμενα] Saepius librarii imperiti et scioli ultimas syllabas vocum, quae ad antecedentia pertinent, ad sonum et habitum ultimarum subsequentium perperam conformarunt et sic lectionem depravarunt. Ex quo fonte etiam παρεχόμενα manasse, et παρεχόμενον scribendum esse, dubium non est. Σπήλαιον enim huc est revocandum, *quod* (antrum) *angustum quidem exhibet aditum, interiora vero spectatu digna.*

НБ ОНУ імені І.І.Мечникова

ΠΑΥΣΑ-

ΠΑΥΣΑΝΙΟΥ

ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΕΩΣ

ΜΕΣΣΗΝΙΚΑ.

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

MESSENICA SEU LIB. IV.

CAPUT I.

De Messeniorum finibus, saltu Choerio — Messene Triopae filia, quae regioni nomen dedit — regia Messeniorum urbe Andania — primis Messeniae regibus et magnarum dearum initiis a Caucone allatis et a Lyco, Pandionis filio, perfectis — Methapo, omnis generis sacrorum auctore.

Μεσσηνίοις δὲ πρὸς τὴν σφετέραν τὴν ἀπονεμηθεῖσαν ὑπὸ τοῦ βασιλέως [1]) εἰς τὸ Λακωνικὸν ὅροι κατὰ τὴν Γερηνίαν [2]) εἰσὶν, ἐφ' ἡμῶν ὀνομαζομένη Χοίριος νάπη. Ταύτην τὴν χώραν ἔρημον οὖσαν οὕτω σχεῖν [3]) τοὺς πρώτους λέγουσιν οἰκήτορας. ἀποθανόντος Λέλεγος, ὃς ἐβασίλευεν ἐν τῇ νῦν Λακωνικῇ, τότε δὲ ἀπ' ἐκείνου Λελεγία καλουμένη, Μύλης μὲν πρεσβύτερος ὢν τῶν παίδων ἔσχε τὴν ἀρχήν· Πολυκάων δὲ νεώτερός τε ἦν ἡλικίᾳ, καὶ δι' αὐτὸ ἰδιώτης, ἐς ὃ Μεσσήνην τὴν Τριόπα τοῦ Φόρβαντος ἔλαβε γυναῖκα ἐξ Ἄργους. Φρονοῦσα [4]) δὲ ἡ Μεσσήνη διὰ 2

1) ὑπὸ τοῦ βασιλέως] a Caesare Augusto, uti patet ex L. III. C. 26.

2) Γερηνίαν] Xyland. reposuit pro γερουσίαν, quam mendosam lectionem Codd. Vind. I. et II. ac Mosc. quoque exhibent.

3) σχεῖν] Cod. Vind. ἔχειν.

4) Φρονοῦσα] Pro μέγα φρονοῦσα. Vid. not. ad L. I. C. 12.

τὸν πατέρα ἀξιώματι καὶ δυνάμει τῶν τότε προέχοντα Ἑλλήνων, οὐκ ἠξίου τὸν ἄνδρα ἰδιωτεύειν. ἀθροίσαντες δὲ ἔκ τε Ἄργους δύναμιν καὶ ἐκ Λακεδαίμονος, ἀφίκοντο ἐς ταύτην τὴν χώραν, καὶ συμπάσῃ μὲν ἐτέθη τῇ γῇ Μεσσήνη [5]) τὸ ὄνομα ἀπὸ τῆς Πολυκάο-
3 νος γυναικός. Πόλεις δὲ ἄλλαι τε ἐκτίσθησαν, καὶ ἔνθα τὰ βασίλεια κατεσκευάσθη σφίσιν, Ἀνδανία. πρὸ δὲ τῆς μάχης, ἣν Θηβαῖοι πρὸς Λακεδαιμονίους ἐμαχέσαντο ἐν Λεύκτροις, καὶ τοῦ οἰκισμοῦ Μεσσήνης της ἐφ' ἡμῶν ὑπὸ τῇ Ἰθώμῃ, πόλιν οὐδεμίαν πω κληθῆναι πρότερον δοκῶ Μεσσήνην. εἰκάζω δὲ οὐχ ἥκιστα Ὁμήρου τοῖς ἔπεσιν. ἐν μὲν γὰρ καταλόγῳ [6]) τῶν ἐς Ἴλιον ἀφικομένων Πύλον καὶ Ἀρήνην καὶ ἄλλας καταλέγων, οὐδεμίαν πόλιν Μεσσήνην ἐκάλεσεν· ἐν Ὀδυσσείᾳ δὲ δηλοῖ μὲν καὶ ἐν τῷδε ἔθνος καὶ οὐ πόλιν τοὺς Μεσσηνίους ὄντας·

Μῆλα γὰρ ἐξ Ἰθάκης Μεσσήνιοι ἄνδρες ἄειραν.

Σαφέστερον δὲ ἔτι περὶ τοῦ τόξου λέγων τοῦ Ἰφίτου·

Τῷ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν,
Οἴκῳ ἐν Ὀρτιλόχοιο.

τοῦ γὰρ Ὀρτιλόχου τὸν οἶκον ἐν τῇ Μεσσήνῃ πόλισμα εἶρηκε τὰς Φηράς· καὶ τόδε ἐξηγήσατο αὐτὸς ἐν τῇ Πεισιστράτου [7]) παρὰ Μενέλαον ἀποδημίᾳ·

Ἐς Φηρὰς δ' ἵκοντο Διοκλῆος ποτὶ δῶμα,
Υἱέος Ὀρτιλόχοιο.

Πρῶτοι

5) Μεσσήνη] Dedi pro Μεσσήνῃ, nimis enim dura est constructio cum dativo, et exempla quae istam comprobare possint, nominum primae declinationis sunt, quorum nominat. et dativ. eadem est forma.

6) ἐν μὲν γὰρ καταλόγῳ] Il. B. v. 591. Alter locus Μῆλα γὰρ etc. est Odyss. Φ. v. 18., tertius Τῷ δ' ἐν etc. Odyss. Φ. v. 15.

7) ἐν τῇ Πεισιστράτου etc.] Odyss. Γ. v. 487.

Πρῶτοι δ' οὖν βασιλεύουσιν ἐν τῇ χώρᾳ ταύτῃ Πολυ- 4
κάων τε ὁ Λέλεγος καὶ Μεσσήνη γυνὴ τοῦ Πολυκάονος.
παρὰ ταύτην τὴν Μεσσήνην τὰ ὄργια νομίζων τῶν
μεγάλων θεῶν Καύκων ἦλθεν ἐξ Ἐλευσῖνος, ὁ Κελαι-
νοῦ [8]) τοῦ Φλυοῦ. Φλυὸν δὲ αὐτὸν Ἀθηναῖοι λέγουσι
παῖδα εἶναι γῆς· ὁμολογεῖ δέ σφισι καὶ ὕμνος Μου-
σαίου Λυκομίδαις [9]) ποιηθεὶς ἐς Δήμητρα. τὴν δὲ
τελετὴν τῶν μεγάλων θεῶν [10]) Λύκος ὁ Πανδίονος πολ-
λοῖς ἔτεσιν ὕστερον Καύκωνος προήγαγεν ἐς πλέον τι-
μῆς· καὶ Λύκου δρυμὸν ἔτι ὀνομάζουσιν, ἔνθα ἐκά-
θηρε τοὺς μύστας. καὶ ὅτι μὲν δρυμός ἐστιν ἐν τῇ γῇ
ταύτῃ Λύκου καλούμενος, Ῥιανῷ τῷ Κρητί [11]) ἐστι
πεποιημένον·

Πάρ τε τρηχὺν Ἐλαιὸν, ὑπὲρ δρυμόν τε Λύκοιο.

Ὡς δὲ ὁ Πανδίονος οὗτος ἦν Λύκος, δηλοῖ τὰ ἐπὶ τῇ 5
εἰκόνι ἔπη τῇ Μεθάπου. μετεκόσμησε γὰρ καὶ Μέ-
θαπος τῆς τελετῆς ἐστιν ἄ. ὁ δὲ Μέθαπος γένος μὲν
ἦν Ἀθηναῖος, τελετῆς καὶ ὀργίων καὶ παντοίων [12]) συν-
θέτης. οὗτος καὶ Θηβαίοις τῶν Καβείρων τὴν τελετὴν [13])

8) Κελαινοῦ] *Amaſ.*, qui interpretatur *Clini filius*, aliam lectionem ſecutus eſſe videtur.

9) Λυκομίδαις] Scribendum eſſe Λυκομήδαις, uti et paullo infra Λυκομηδῶν pro Λυκομιδῶν, ex iis pater, quae diximus ad L. I. C. 22.

10) μεγάλων θεῶν] *Cereris et Proſerpinae.*

11) Ῥιανῷ τῷ Κρητί] Poëta ex *Bene*, Cretae urbe, Eratoſthenis aequalis, qui praeter alia bellum Meſſenicum carmine perſcripſit; vid. Pauſan. L. IV. C. 6. et Suid., qui plura de illo, ejusque carmen Ἡρακλειάδα memorat. Nonnullos ex ejus carminibus verſus laudant Pauſan. L. IV. C. 17. in fine et Athen. Deipn. L. XI. p. 499. D.

12) τελετῆς καὶ ὀργ. καὶ παντ.] Cod. Vind. τελετῆς δὲ καὶ ὀργ. καὶ π. Cum *Kuhn.* autem corrigendum arbitror: τελετῆς τε καὶ ὀργ. παντοίων.

13) τῶν Καβείρων τὴν τελετὴν] Vid. L. IX. C. 25. et not. ad L. I. C. 4. Conf. Clem Alex. p. 12. D., ubi pro τελευτὴν Καβειρικὴν ſcribendum τελετὴν Καβειρικήν.

κατεσήσατο. ἀνέθηκε δὲ καὶ ἐς τὸ κλήσιον [14]) τὸ Λυκομιδῶν εἰκόνα ἔχουσαν ἐπίγραμμα, ἄλλα τε λέγον, καὶ ὅσα ἡμῖν ἐς πίστιν συντελεῖ τοῦ λόγου·

Ἥγνισα δὲ Ἑρμοῖο δόμους τε κέλευθα [15])
Πατρὸς καὶ πρωτογόνου κούρας. ὅθι φασὶ
Μεσσήνην θεῖναι μεγάλαισι θεαῖσιν ἀγῶνα
Φλυάδεω κλεινοῖο γόνου Καυκωνιάδαο.
Θαύμασα δ', ὡς σύμπαντα Λύκος Πανδιόνιος φὼς
Ἀθθίδος ἱερὰ ἔργα παρ' Ἀνδανίῃ θέτο κεδνῇ.

τοῦτο τὸ ἐπίγραμμα δηλοῖ μὲν, ὡς παρὰ τὴν Μεσσήνην ἀφίκοιτο ὁ Καύκων ἀπόγονος ὢν Φλυοῦ, δηλοῖ δὲ καὶ τὰ ἐς τὸν Λύκον τε ἄλλα, καὶ ὡς ἡ τελετὴ τὸ ἀρχαῖον ἦν ἐν Ἀνδανίᾳ. καί μοι τοῦτο εἰκὸς ἐφαίνετο, τὴν Μεσσήνην μὴ ἑτέρωθι, ἀλλὰ ἔνθα αὐτή τε καὶ Πολυκάων ᾤκουν, κατασήσασθαι τὴν τελετήν.

14) κλήσιον] Amas. *septum*. Cod. Mosc. κλίσιον. *Sylb.* emendandum putat κλείσιον, *claustrum*. Mihi quidem genuina lectio esse videtur κλίσιον, de quo vid Hesych. κλίσιον, πανδοκεῖον etc. et ibi not.

15) Ἑρμοῖο δόμους τε κέλευθα] Cod. Vind. δόμους κέλευθά το. *Kuhn.* post δόμους aliquid deesse suspicatur, ita forte supplendum, μεγάλης τε κέλευθα ματρὸς, per *Mercurii* vero *domum Cerycum* Atticorum a Mercurio oriundorum familiam intelligendam esse conjicit, de quibus vid. L. I. C. 38. Κόρης πρωτογόνης ara memoratur a Paus. L. I. C. 31. In sequentibus Καυκωνιάδαο corruptum esse videtur, cum de Caucone ipso loquatur inscriptio.

CAPUT

CAPUT II.

Polycaonis filiorum nulla a veteribus fit mentio — de Periere, Melaneo et Oechalia — Perieris filiis Messeniae imperium obtinentibus et Arene urbe — Lyco, qui magnarum dearum initia tradidit, et Apharei filiis — tribus feminis, quae ad tumulos maritorum sese interfecerunt.

Πυθέσθαι δέ που δὴ πάνυ [1]) ἐθελήσας, οἵ τινες παῖδες Πολυκάονι ἐγένοντο ἐκ Μεσσήνης, ἐπεξελεξάμην τάς τε Ἠοίας καλουμένας καὶ τὰ ἔπη τὰ Ναυπάκτια, πρὸς δὲ αὐτοῖς ὁπόσα Κιναίθων καὶ Ἄσιος ἐγενεαλόγησεν. οὐ μὴν ἔς γε ταῦτα ἦν σφίσιν οὐδὲν πεποιημένον· ἀλλὰ Ὕλλου μὲν τοῦ Ἡρακλέους θυγατρὶ Εὐαίχμῃ συνοικῆσαι Πολυκάονα υἱὸν Βούτου λεγούσας τὰς μεγάλας οἶδα Ἠοίας, τὰ δὲ ἐς τὸν Μεσσήνης ἄνδρα καὶ τὰ ἐς αὐτὴν Μεσσήνην πάρεῖταί σφισι. Χρόνῳ δὲ ὕστερον, ὡς ἦν τῶν Πολυκάονος οὐδεὶς ἔτι ἀπογόνων ἐς γενεὰς πέντε (ἐμοὶ δοκεῖν) προελθόντων, καὶ οὐ πλέονας, Περιήρη τὸν Αἰόλου βασιλέα ἐπάγονται. παρὰ τοῦτον ἀφίκετο, ὡς οἱ Μεσσήνιοί φασι, Μελανεύς, τοξεύειν ἀνὴρ ἀγαθὸς, καὶ διὰ τοῦτο Ἀπόλλωνος εἶναι νομιζόμενος· καί οἱ τῆς χώρας τὸ Καρμάσιον [2]), τότε δὲ Οἰχαλίαν κληθεῖσαν, ἀπένειμεν ὁ Περιήρης ἐνοικῆσαι· γενέσθαι δὲ ὄνομα Οἰχαλίαν

1) που δὴ πάνυ] Valken. ad Herod. p. 254. nulla necessitate coactus emendat σπουδῇ πάνυ.

2) Καρμάσιον] Camerar. legit Καρνάσιον, sicuti infra est C. 33. καλουμένη τὸ ἀρχαῖον Οἰχαλία, τὸ δὲ ἐφ' ἡμῶν Καρνάσιον etc. et L. VIII. C. 35. init. Καρνάσιον — τὸ Μεσσηνίων. Quod verum loci nomen mihi esse videtur. De pluribus *Oechaliis* vid. Strab. L. X. p 688. et Eustath. ad Il. B. v. 596.

λίαν τῇ πόλει Φασὶν ἀπὸ τοῦ Μελανέως τῆς γυναικός. Θεσσαλοὶ δὲ καὶ Εὐβοεῖς (ἥκει γὰρ δὴ ἐς ἀμφισβήτησιν τῶν ἐν τῇ Ἑλλάδι τὰ πλείω) λέγουσιν, οἱ μέν, ὡς τὸ Εὐρύτιον (χωρίον δὲ ἔρημον ἐφ' ἡμῶν ἐστι τὸ Εὐρύτιον) πόλις τὸ ἀρχαῖον ἦν, καὶ ἐκαλεῖτο Οἰχαλία· τῷ δὲ Εὐβοέων λόγῳ [3]) Κρεώφυλος ἐν Ἡρακλείᾳ [4]) πεποίηκεν ὁμολογοῦντα. Ἑκαταῖος δὲ ὁ Μιλήσιος ἐν Σκίῳ μοῖραν τῆς Ἐρετρικῆς [5]) ἔγραψεν εἶναι Οἰχαλίαν. ἀλλὰ γὰρ οἱ Μεσσήνιοι τά τε ἄλλα δοκοῦσί μοι μᾶλλον εἰκότα ἐκείνων λέγειν, καὶ οὐχ ἥκιστα τῶν ὅσων εἵνεκα τῶν Εὐρύτου, ἃ δὴ καὶ ἐν τοῖς ἔπειτά μου λόγοις ἐπέξειμι [6]). Περιήρει δὲ ἐγεγόνεσαν ἐκ Γοργοφόνης τῆς Περσέως Ἀφαρεὺς καὶ Λεύκιππος. καὶ ὡς ἀπέθανε Περιήρης, ἔσχον οὗτοι τὴν Μεσσηνίων ἀρχήν· κυριώτερος δὲ ἔτι Ἀφαρεὺς ἦν. οὗτος βασιλεύσας πόλιν ὤκισεν Ἀρήνην ἀπὸ τῆς Οἰβάλου θυγατρὸς,

3 τῷ δὲ Εὐβοέων λόγῳ] Palmer. Exerc p. 386. non temere monet totum hunc Euboeorum sermonem deesse, nec locum integrum videri. Sed forte hic sermo iis continetur, quae mox ex Hecataeo refert Pausanias.

4) Κρεώφυλος ἐν Ἡρακλείᾳ] *Creophylus* poëta Samius fuit, qui Homerum hospitio excepisse et ab eo carmen, Οἰχαλίας ἅλωσιν, accepisse ferebatur; vid. Suid. et Strab. L. XIV. p 946. In Athen. Deipn. L. VIII. p 361. C. aliud Creophyli carmen memoratur, Ἐφεσίων ὅροι; nullus autem veterum scriptorum *Heracleae* Creophyli mentionem fecit. Quare cum Meinagio sentio, qui in not. ad Diogen. Laërt. L. VIII. s. 2. hic pro ἐν Ἡρακλείᾳ scribendum putat ἐν Οἰχαλίᾳ.

5) Ἑκαταῖος — ἐν Σκίῳ μοῖραν τ. Ἐρ.] De *Hecataeo*, historico, ejusque scriptis vid. not. ad L. III. C. 25. Vox Σκίῳ, quam interpretes de quodam Hecataei libello sic inscripto explicarunt, mihi suspecta est. Sed forte scribendum sit ἐν Σκίῳ, μοίρᾳ τῆς Ἐρ.

6) ἐν τοῖς ἔπειτά — ἐπέξειμι] Vid. L. III. C. 33. Cod. Mosc. exhibet ἐν τοῖς ἔπειτά που λόγοις ἐπέξεισί μοι, quae, si pro λόγοις scribas λόγος, Pausaniae loquendi rationi convenienter sese habent.

τρὸς, αὐτοῦ δὲ γυναικὸς τῆς αὐτῆς καὶ ἀδελφῆς ὁμομητρίας· καὶ γὰρ Οἰβάλῳ συνῴκησε Γοργοφόνη· καί μοι δὶς ἤδη τὰ ἐς αὐτὴν ὁ λόγος ἔν τε τῇ Ἀργολίδι ἐδήλωσε καὶ ἐν τῇ Λακωνικῇ συγγραφῇ [7]). ὁ δ' οὖν Ἀφαρεὺς πόλιν τε ἔκτισεν ἐν τῇ Μεσσηνίᾳ τὴν Ἀρήνην, καὶ Νηλέα τὸν Κρηθέως τοῦ Αἰόλου, Ποσειδῶνος δὲ ἐπίκλησιν [8]), ἀνεψιὸν ὄντα αὐτῷ, φεύγοντα ἐξ Ἰωλκοῦ Πελίαν, ἐδέξατο οἴκῳ, καὶ τῆς γῆς οἱ ἔδωκε τὰ ἐπὶ θαλάττῃ, ἐν οἷς ἄλλαι τε ἦσαν πόλεις καὶ ἡ Πύλος, ἔνθα καὶ ὤκησε καὶ τὸ βασίλειον κατεσήσατο ὁ Νηλεύς. Ἀφίκετο δὲ ἐς τὴν Ἀρήνην καὶ Λύκος 4
ὁ Πανδίονος, ὅτε καὶ αὐτὸς τὸν ἀδελφὸν Αἰγέα ἐξ Ἀθηνῶν ἔφευγε· καὶ τὰ ὄργια ἐπέδειξε τῶν μεγάλων θεῶν Ἀφαρεῖ καὶ τοῖς παισὶ καὶ τῇ γυναικὶ Ἀρήνῃ. ταῦτα δέ σφισιν ἐπεδείκνυτο ἀγαγὼν ἐς τὴν Ἀνδανίαν, ὅτι [9]) καὶ τὴν Μεσσήνην ὁ Καύκων ἐμύησεν ἐνταῦθα. Ἀφαρεῖ δὲ τῶν παίδων πρεσβύτερος μὲν καὶ ἀνδρειότερος Ἴδας, νεώτερος δὲ ἦν Λυγκεὺς, ὃν ἔφη Πίνδαρος [10]) (ὅτῳ πιρὰ) οὕτως ὀξὺ ὁρᾶν, ὡς καὶ διὰ σελέχους θεᾶσθαι δρυῶνος. Λυγκέως μὲν δὴ παῖδα οὐκ 5
ἴσμεν γενόμενον, Ἴδα δὲ Κλεοπάτραν θυγατέρα ἐκ Μαρπήσσης, ἣ Μελεάγρῳ συνῴκησεν. ὁ δὲ τὰ ἔπη ποιήσας τὰ Κύπρια Πρωτεσιλάου φησὶν, ὃς, ὅτε κατὰ τὴν Τρωάδα ἔσχον Ἕλληνες, ἀποβῆναι πρῶτος ἐτόλμησε, Πρωτεσιλάου τούτου τὴν γυναῖκα, Πολυδώραν μὲν τὸ ὄνομα, θυγατέρα δὲ Μελεάγρου φησὶν εἶναι τοῦ Οἰνέως. εἰ τοίνυν ἐστὶν ἀληθὲς, αἱ

7) δὶς ἤδη — συγγραφῇ] Vid. L. II. C. 21. et L. III. C. 1.

8) Νηλέα — Ποσειδῶνος δὲ ἐπίκλ.] Vid. Apollodor. L. I. C. 9. 8. Conf. Pausan. L. X. C. 29.

9) ὅτι] Cod. Mosc. ὅτε.

10) Πίνδαρος] Nem. X. 112. sq.

αἱ γυναῖκες αὗται τρεῖς [11]) οὖσαι τὸν ἀριθμὸν, ἀπὸ Μαρπήσσης ἀρξάμεναι, προαποθανοῦσι πᾶσαι τοῖς ἀνδράσιν ἑαυτὰς ἐπικατέσφαξαν.

CAPUT III.

Apharei domo exstincta, Messeniorum regnum ad Nestorem pervenit — de Aesculapii filiorum expeditione contra Ilium — Nelei posteri ab Heraclidis ejiciuntur et Cresphontes cum Aristodemi filiis de Messenia sortitus fraude illa potitur — de Cresphontis et ceterorum regum urbibus regiis, atque illius nece — Cresphontis filius superstes, Aepytus, ab Arcadibus in regnum restituitur, ejusque posteri Aepytidae appellantur — de Glauco, Aepyti filio, ejusque posteris regnum Messen. obtinentibus.

Ἐπεὶ δὲ τοῖς Ἀφαρέως παισὶ πρὸς τοὺς Διοσκούρους ἐγένετο ἀνεψιοὺς ὄντας μάχη περὶ τῶν βοῶν [1]), καὶ τὸν μὲν Πολυδεύκης ἀπέκτεινεν, Ἴδαν δὲ ἐπέλαβε τὸ χρεὼν κεραυνωθέντα, ὁ μὲν Ἀφαρέως οἶκος γένους παντὸς ἠρήμωτο τοῦ ἄρρενος· ἐς δὲ Νέστορα τὸν τοῦ Νηλέως περιῆλθε Μεσσηνίων ἡ ἀρχὴ τῶν τε ἄλλων, καὶ ὅσων πρότερον ἐβασίλευεν Ἴδας, πλὴν ὅσοι τοῖς
2 Ἀσκληπιοῦ παισὶν αὐτῶν ὑπήκουον. Καὶ γὰρ τοὺς Ἀσκληπιοῦ παῖδας στρατεῦσαί φασιν ἐς Ἴλιον Μεσσηνίους ὄντας, Ἀρσινόης γὰρ Ἀσκληπιὸν τῆς Λευκίππου,

11) αἱ γυναῖκες αὗται τρεῖς] Scil. Marpessa, Cleopatra et Polydora. De *Marpessa* vid. Apollod. L. I. C. 7. 9. et ibi not. p. 109., de *Cleopatra* Apollod. L. I. C. 8. 3. p. 37., de uxore Protesilai (Laodamia) Hygin. fab. 104.

1) μάχη περὶ τῶν βοῶν etc.] Vid. Apollod. L. III. C. 11. 2. et ibi not.

που, καὶ οὐ Κορωνίδος παῖδα εἶναι· καὶ Τρίκκαν [2]) δὲ καλοῦσιν ἔρημον ἐν τῇ Μεσσηνίᾳ χωρίον· καὶ ἔπη τῶν Ὁμήρου [3]) καταλέγουσιν, ἐν οἷς τὸν Μαχάονα ὁ Νέστωρ τῷ ὁἷῳ βεβλημένον περιέπων ἐστὶν εὐνοϊκῶς· οὐκ ἂν οὖν αὐτὸν μὴ [4]) ἐς γείτονα καὶ ἀνθρώπων βασιλέα ὁμοφύλων προθυμίαν τοσήνδε γε ἐπιδείξασθαι. τοῖς δὲ καὶ μάλιστα ἤδη βεβαιοῦνται τὸν ἐς τοὺς Ἀσκληπιάδας λόγον ἀποφαίνοντες ἐν Γερηνίᾳ Μαχάονος μνῆμα, καὶ τὸ ἐν Φεραῖς τῶν Μαχάονος παίδων ἱερόν. Διαπολεμηθέντος δὲ τοῦ πρὸς Ἴλιον πολέ- 3
μου, καὶ Νέστορος, ὡς ἐπανῆλθεν οἴκαδε, τελευτήσαντος, Δωριέων κόλος, καὶ ἡ κάθοδος Ἡρακλειδῶν γενομένη δύο γενεαῖς ὕστερον, ἐξέβαλε τοὺς Νηλέως ἀπογόνους ἐκ τῆς Μεσσηνίας. καί μοι ταῦτα ἐγένετο ἤδη τῷ λόγῳ προσθήκη τῷ ἐς Τισαμενόν [5]). πλὴν τοσόνδε ἔτι δηλώσω. Τημένῳ τῶν Δωριέων Ἄργος ἐφέντων ἔχειν, Κρεσφόντης γῆν σφᾶς ᾔτει τὴν Μεσσηνίαν, ἅτε καὶ αὐτὸς Ἀριστοδήμου πρεσβύτερος. Ἀριστόδημος μὲν οὖν ἐτύγχανεν ἤδη τεθνεώς· Θήρας δὲ ὁ Αὐτεσίωνος τῷ Κρεσφόντῃ μάλιστα ἠναντιοῦτο, τὸ μὲν ἀνέκαθεν Θηβαῖός τε καὶ ἀπόγονος πέμπτος Πολυνείκους τοῦ Οἰδίποδος, τότε δὲ ἐπετρόπευεν Ἀριστοδήμου τοὺς παῖδας, θεῖος ὢν πρὸς μητρός· Αὐτεσίωνος γὰρ θυγατέρα Ἀριστόδημος ἔγημεν ὄνομα Ἀργείαν. Κρεσφόντης δὲ (γενέσθαι γάρ οἱ ἤθελε τὴν

2) Τρίκκαν] ubi Aesculapius natus ferebatur; vid. Strab. L. XIV. p. 957.

3) ἔπη τῶν Ὁμήρου etc.] Vid. Il. Λ. v. 596. sq.

4) μὴ] μὴ hic pro nisi positum esset. Sed forte ὅτι ante μὴ excidit et scribendum est ὅτι μή.

5) τῷ λόγῳ — Τισαμενόν] Vid. L. II. C. 18.

τὴν Μεσσηνίαν πάντως μοῖραν) Τημένου δεῖται, παρεσκευασμένος [6]) τοῦτον τῷ κλήρῳ δῆθεν ἐφίησι. Τήμενος δὲ ἐς ὑδρίαν, ἐνόντος ἐν αὐτῇ καὶ ὕδατος, καθίησι [7]) τῶν Ἀριστοδήμου παίδων καὶ Κρεσφόντου τοὺς πάλους ἐπὶ διῃρημένοις [8]), μοῖραν ἀναιρεῖσθαι τῆς χώρας προτέρους, ὁποτέρων ἂν πάλος ἀνέλθῃ πρότερον. τοὺς μὲν δὴ πάλους ὁ Τήμενος ἐπεποίητο ἀμφοτέρους, ἀλλὰ τοῖς μὲν Ἀριστοδήμου παισὶ ξηρᾶς ὑπὸ ἡλίου, Κρεσφόντῃ δὲ ὀπτῆς πυρί· ὅτε δὴ τῶν Ἀριστοδήμου παίδων πάλος κατέτηκτο, καὶ ὁ Κρεσφόντης οὕτω λαχὼν γῆν αἱρεῖται τὴν Μεσσηνίαν. Μεσσηνίων δὲ τῶν ἀρχαίων οὐκ ἐγένετο ὑπὸ τῶν Δωριέων ὁ δῆμος ἀνάστατος, ἀλλὰ βασιλεύεσθαί τε συγχωροῦσιν ὑπὸ Κρεσφόντου, καὶ ἀναδάσασθαι πρὸς τοὺς Δωριέας τὴν γῆν. ταῦτα δέ σφισιν εἶκειν παρίστατο ὑπεροψία πρὸς [9]) τοὺς βασιλεύοντας, ὅτι ἦσαν ἐξ

6) τὴν Μεσσηνίαν πάντως μοῖραν) T. δ., παρεσκ.] Vulgatam τὴν Μεσσηνίαν, quam Xylander damnaverat, et τῆς Μεσσηνίας reſcripſerat, reſtitui, utpote quae ſanior eſt et a Cod. Moſc. quoque exhibetur. Cresphontem enim non partem Meſſeniae, ſed ipſam Meſſeniam ſibi petiiſſe, ex Apollodoro et Polyaeno conſtat. Mallem vero hic parentheſin finire voce πάντως, et μοῖραν ſequentibus jungere: *regni portionem a Temeno petit.* Dein inter δεῖται et παρεσκευασμ. excidiſſe κλῆ nullus dubito. Sic bene cohaeret ſententia, quae haec eſt: *Cresphontes vero (omni enim modo Meſſeniam ſibi adquirere cupiebat) regni portionem a Temeno petit, et poſtquam hunc ſubornaſſet, illam* (ſc. portionem) *ſorti committit.* Pro πάντως Cod. Moſc. dat πάντων, quod vix admitti poteſt.

7) καθίησι] Cum *Kuhnio* ſentio, qui mavult καθήσι, *demittit in urnam.*

8) ἐπὶ διῃρημένοις] *de partibus conſtitutis* (de regionibus in partes diviſis). Male et temere *Sylb.* ſcribendum conjicit ἐπὶ διῃτημένοις, quod vertit: *hoc ſuper ea re lato arbitrio.*

9) ὑπεροψία πρὸς etc.] *contemtus ſuorum regum in his cedere ſuaſit. Kuhn.* corrigit ὑπεροψίᾳ, cum παρίσαται et

παρίσατο

ἐξ Ἰωλκοῦ τὸ ἀνέκαθεν ὁμιλίαι [10]). γυναῖκα δὲ ἔσχε Κρεσφόντης Μερόπην τὴν Κυψέλου, βασιλεύοντος τότε Ἀρκάδων· ἀφ' ἧς ἄλλοι τε δὴ παῖδες ἐγένοντο αὐτῷ καὶ νεώτατος Αἴπυτος. Τὰ δὲ βασίλεια, 4
ἔνθα αὐτὸς καὶ οἱ παῖδες ἔμελλον οἰκήσειν, ᾠκοδομήσατο ἐν Στευκλήρῳ [11]). τὸ μὲν γὰρ ἀρχαῖον οἱ βασιλεῖς οἵ τε ἄλλοι καὶ ὁ Περιήρης ᾤκουν ἐν Ἀνδανίᾳ, κτίσαντος δὲ Ἀφαρέως Ἀρήνην, αὖθις Ἀφαρεὺς καὶ οἱ παῖδες ἐνταῦθα ᾤκησαν· ἐπὶ δὲ Νέστορος καὶ τῶν ἀπογόνων ἐν Πύλῳ τὰ βασίλεια ἦν· Κρεσφόντης δὲ ἐν Στευκλήρῳ τὸν βασιλέα οἰκεῖν κατεστήσατο. Διοικούμενον δὲ αὐτὸν τὰ πολλὰ ἐς χάριν τοῦ δήμου μᾶλλον, οἱ τὰ χρήματα ἔχοντες αὐτόν τε Κρεσφόντην ἐπαναστάντες καὶ τοὺς υἱοὺς ἀποκτείνουσι τοὺς λοιπούς. Ὁ δὲ Αἴπυτος (παῖδα γὰρ ἔτι ὄντα ἔτρεφεν αὐτὸν ὁ 5
Κύψελος) περιγίνεται μόνος τοῦ οἴκου, καὶ ὡς ἀνὴρ ἐγένετο, οἱ Ἀρκάδες κατάγουσιν αὐτὸν ἐς Μεσσήνην· συγκατήγαγον δὲ καὶ οἱ λοιποὶ βασιλεῖς τῶν Δωριέων, οἵ τε Ἀριστοδήμου παῖδες καὶ Σίμος ὁ Τημένου [12]).

Αἴπυ-

παρίσατο semper fere impersonaliter denotent *in mentem venit, subit.* Alii et cum iis *Amaſ.* legunt ὑποψία, quod conſtructioni cum πρὸς et ſenſui magis convenit.

10) ὁμιλίαι] Cum ad hanc vocem, quae alieno loco et corrupta eſt, ſanandam Libri ſcripti nullam medelam afferant, virorum doctorum conjecturis contenti eſſe debemus. *Sylb.* emendat οἱ Νηλεῖδαι ex C. 2. hujus Libri, ubi Neleus ex Iolco fugiſſe et ab Aphareo partem regni Meſſen. accepiſſe dicitur, atque ex C. 3. init., ubi regnum Meſſen. ad Neſtorem, Nelei filium, perveniſſe legimus. *Kuhn.* mavult Μινύαι, quippe qui ex Orchomeno coloniam in Iolcum miſerint; vid. Strab. L. IX. p. 635. et ſcholia Apollon. L. I. v. 230, quae circa Iolcum habitantes *Minyas* appellatos eſſe referunt.

11) Στευκλήρῳ] Strabo, qui L. VIII. p. 555. idem refert, Στενύκλαρον habet.

12) Σίμος ὁ Τημένου] Inter Temeni filios L. II. C. 19. 26. 28. non eſt Σίμος, ſed Κείσος, nec apud

Αἴπυτος δὲ ὡς ἐβασίλευσεν, ἐτιμωρήσατο μὲν τοῦ πατρὸς τοὺς Φονέας, ἐτιμωρήσατο δὲ καὶ ὅσοι τοῦ Φόνου παραίτιοι καθειστήκεσαν. προσαγόμενος δὲ τοὺς μὲν ἐν τέλει τῶν Μεσσηνίων θεραπείαις, ὅσοι δὲ ἦσαν τοῦ δήμου, δωρεαῖς, ἐς τοσοῦτο προέβη τιμῆς, ὡς καὶ τοὺς ἀπογόνους Αἰπυτίδας ἀντὶ Ἡρακλειδῶν κλη-
6 θῆναι. Γλαύκῳ δὲ τῷ Αἰπύτου βασιλεύσαντι μετὰ Αἴπυτον, τὰ μὲν ἄλλα ἐξήρκεσε μιμήσασθαι τὸν πατέρα ἔν τε τοῖς κοινοῖς καὶ πρὸς τοὺς ἰδιώτας, εὐσεβείᾳ δὲ ἐς πλέον προέβη. καὶ γὰρ τοῦ Διὸς τὸ ἐπὶ τῇ κορυφῇ τῆς Ἰθώμης τέμενος, ἄνευ τῶν Πολυκάονος καὶ Μεσσήνης [13]), οὐκ ἔχον παρὰ τοῖς Δωριεῦσί πω τιμάς, Γλαῦκος ἦν ὁ καὶ τούτοις σέβειν κατασησάμενος· καὶ Μαχάονι τῷ Ἀσκληπιοῦ πρῶτος ἔθυσεν ἐν Γερηνίᾳ· γέρα δὲ ἀπένειμε Μεσσήνη τῇ Τριόπα τὰ νομιζόμενα ἥρωσιν. Ἴσθμιος δὲ ὁ Γλαύκου καὶ ἱερὸν τῷ Γοργάσῳ καὶ Νικομάχῳ τὸ ἐν Φεραῖς [14]) ἐποίησεν. Ἰσθμίου δὲ γίνεται Δωτάδας, ὃς, ἐπίνεια καὶ ἄλλα τῆς Μεσσηνίας παρεχομένης, τὸ ἐν Μοθώνῃ

apud Apollodorum; de variantibus Temeni filiorum nominibus vid. not. ad Paus. L. II. C. 28. *Simus*, rex Arcadiae, Phiali fil., memoratur a Pausan. L. VIII. C. 5.

13) ἄνευ τῶν Π. καὶ Μεσσ.] *Amajacus*, cujus interpretatio ab his verbis prorsus abhorret, alia legisse videtur, et Cod. Cas. hunc locum admodum corruptum esse judicat. Scilicet quid ad τῶν referendum sit, non tam facile statuere possis. *Kuhn.* sacra intelligenda putat a Polycaone et uxore instituta, de quibus C. 1. Potius ex subsequentibus τιμὰς revocandum mihi videtur ad τῶν etc., ut sententia sit: *quod* (templum), *praeter quod a Polycaone et Messene cultum fuerit, nullos apud Dorienses honores habuit.*

14) Γοργάσῳ κ. Νικομάχῳ τὸ ἐν Φεραῖς] Istos Machaonis filios fuisse, C. 30. docet. Pro Φεραῖς scribendum est Φηραῖς vel Φαραῖς, utraque enim scriptura est in Pausania L. IV. C. 1. et 30., et a Stephano agnoscitur v. Φαραί.

Μοθώνῃ [15]) κατεσκευάσατο. Συβότας δὲ ὁ Δωτάδα τῷ τε ποταμῷ κατεχήσατο τῷ Παμείσῳ [16]) κατὰ ἔτος ἕκαστον θύειν τὸν βασιλεύοντα, καὶ Εὐρύτῳ τῷ Μελανέως ἐναγίζειν ἐν Οἰχαλίᾳ πρὸ τῆς τελετῆς τῶν μεγάλων θεῶν, ἀγομένης ἔτι ἐν Ἀνδανίᾳ.

CAPUT IV.

Phinta regnante Messenii primum chorum in Delum mittunt et prima inter Messenios et Lacedaemonios discordia exoritur — ejus causa narratur — Phintae filiis regnantibus primum bellum Messenicum suscipitur — de bubus Polycharis ab Euaephno venditis, causa belli, narratio.

Ἐπὶ δὲ Φίντα τοῦ Συβότα πρῶτον Μεσσήνιοι τότε τῷ Ἀπόλλωνι ἐς Δῆλον θυσίαν καὶ ἀνδρῶν χορὸν ἀποστέλλουσι. τὸ δέ σφισιν ἆσμα προσόδιον [1]) ἐς τὸν θεὸν ἐδίδαξεν Εὔμηλος· εἶναί τε ὡς ἀληθῶς Εὐμήλου νομίζεται μόνα τὰ ἔπη ταῦτα. ἐγένετο δὲ καὶ πρὸς Λακεδαιμονίους ἐπὶ τῆς Φίντα βασιλείας διάφορα πρῶτον, ἀπὸ αἰτίας ἀμφισβητουμένης μὲν καὶ

15) Μοθώνῃ] Num verior scriptura Μεθώνῃ sit, incertum est. Pausan. enim constanter scribit Μοθώνη C. 18. 23. 24., et C. 35. saxum, quod portum efficiebat, *Mothon* appellatum, nomen dedisse sibi videri affirmat. In Strabone autem, Ptolemaeo, Stephano et Plinio Μεθώνη reperitur.

16) Παμείσῳ] Infra C. 31. et 34. est Πάμισος, uti et in Strabone Πάμισος et Παμισσός.

1) προσόδιον] *carmen, quo pompa ad deum accedens eum compellabat*, vid. Suid., Hesych. et schol. ad Aristoph. Aves v. 854. A Pausania L. V. C. 19. ejusdem Eumeli prosodii mentio fit, ubi tamen, sicuti et ab Hesychio, scribitur προσῳδιον. Suidas utramque scripturam exhibet.

2 καὶ ταύτης, γενέσθαι δὲ οὕτω λεγομένης. Ἔστιν ἐπὶ τοῖς ὅροις τῆς Μεσσηνίας [2]) ἱερὸν Ἀρτέμιδος, καλουμένης Λιμνάτιδος· μετεῖχον δὲ αὐτοῦ μόνοι Δωριέων οἵ τε Μεσσήνιοι καὶ οἱ Λακεδαιμόνιοι. Λακεδαιμόνιοι μὲν δή φασιν, ὡς παρθένους αὐτῶν παραγομένας ἐς τὴν ἑορτὴν, αὐτάς τε βιάσαιντο ἄνδρες τῶν Μεσσηνίων, καὶ τὸν βασιλέα σφῶν ἀποκτεῖναι [3]) πειρώμενον κωλύειν, Τήλεκλον Ἀρχελάου [4]) τοῦ Ἀγησιλάου τοῦ Δορύσσου τοῦ Λαβώτα τοῦ Ἐχεστράτου τοῦ Ἄγιδος. πρός τε δὴ τούτοις τὰς βιασθείσας τῶν παρθένων διεργάσασθαι λέγουσιν αὐτὰς ὑπὸ αἰσχύνης. Μεσσήνιοι δὲ τοῖς ἐλθοῦσι σφῶν ἐς τὸ ἱερὸν πρωτεύουσιν ἐν Μεσσήνῃ κατὰ ἀξίωμα, τούτοις φασὶν ἐπιβουλεῦσαι Τήλεκλον (αἴτιον δὲ εἶναι τῆς χώρας τῆς Μεσσηνίας τὴν ἀρετὴν), ἐπιβουλεύοντα δὲ ἐπιλέξαι Σπαρτιατῶν, ὁπόσοι πω γένεια οὐκ εἶχον. τούτους δὲ ἐσθῆτι καὶ κόσμῳ τῷ λοιπῷ σκευάσαντα ὡς παρθένους, ἀναπαυομένοις τοῖς Μεσσηνίοις ἐπεισαγαγεῖν, δόντα ἐγχειρίδια· καὶ τοὺς Μεσσηνίους ἀμυνομένους, τούς τε ἀγενείους νεανίσκους καὶ αὐτὸν ἀποκτεῖναι [5]) Τήλεκλον· Λακεδαιμονίους δὲ (οὐ γὰρ ἄνευ τοῦ κοινοῦ ταῦτα βουλεῦσαι σφῶν τὸν βασιλέα) συνειδότας, ὡς ἄρξαιεν ἀδικίας, τοῦ φόνου σφᾶς τοῦ Τηλέκλου δίκας οὐκ

2) τοῖς ὅροις τῆς M.] Cod. Mosc. τοῖς ὅροις τοῖς M.

3) ἀποκτεῖναι] pro ἀποκτείναιεν, ex immutatae constructionis ratione Pausaniae familiari; nisi malis legere ἀποκτείναιεν. Mox pro πειρώμενον Cod. Mosc. τὸν πειρώμενον. De Telecli caede, causa belli, conf. Strab. L. VI. p. 427.

4) Ἀρχελάου] Cod. Mosc. mendose Ἀρχαλάδου. Xyland. pro Ἀρχελάδου recte restituit Ἀρχελάου ex L. III. C. 2., sicuti etiam Ἄγιδος pro mendosa lectione Ἄσιδος.

5) αὐτὸν ἀποκτεῖναι] Dedi ex Cod. Mosc. pro vulgata ἀποκτεῖναι αὐτόν.

οὐκ ἀπαιτῆσαι. ταῦτα μὲν οὖν ἑκάτεροι λέγουσι· πειθέσθω δὲ ὡς ἔχει τις ἐς τοὺς ἑτέρους σπουδῆς.

Γενεᾷ δὲ ὕστερον βασιλεύοντος ἐν Λακεδαίμονι 3
Ἀλκαμένους τοῦ Τηλέκλου, τῆς δὲ οἰκίας τῆς ἑτέρας Θεοπόμπου τοῦ Νικάνδρου τοῦ Χαρίλλου τοῦ Πολυδέκτου τοῦ Εὐνόμου τοῦ Πρυτάνιδος τοῦ Εὐρυπῶντος, Μεσσηνίων δὲ Ἀντιόχου καὶ Ἀνδροκλέους τοῦ Φίντα [6]), Λακεδαιμονίων καὶ Μεσσηνίων ἐξήρθη τὸ ἐς ἀλλήλους μῖσος. καὶ ἦρξαν οἱ Λακεδαιμόνιοι πολέμου, ἐπιγενομένης ἀφορμῆς σφισιν, ἐθελέχθρως μὲν ἔχουσι καὶ πολεμῆσαι πάντως ἐγνωκόσιν, οὐ μόνον ἀποχρώσης, ἀλλὰ καὶ τὰ μάλιστα εὐπροσώπου· μετὰ δὲ εἰρηνικωτέρας γνώμης κἂν διελύθη δικαστηρίου γνώσει. τὰ δὲ συμβάντα ἔσχεν οὕτω. Πολυχάρης Μεσσήνιος 4
τά τε ἄλλα οὐκ ἀφανὴς ἦν, καὶ νίκην Ὀλυμπιάσιν ἀνῃρημένος. τετάρτην Ὀλυμπιάδα ἦγον Ἠλεῖοι, καὶ ἀγώνισμα ἦν σταδίου μόνον, ὅτε ὁ Πολυχάρης ἐνίκησε. τούτῳ τῷ ἀνδρὶ ἐγένοντο βοῦς [7]), καὶ (οὐ γὰρ ἐκέκτητο ἰδίαν γῆν, ὡς νομὰς ταῖς βουσὶν ἱκανὰς εἶναι) Σπαρτιάτῃ σφᾶς δίδωσιν Εὐαίφνῳ βόσκεσθαί τε ἐν ἐκείνου, καὶ μοῖραν εἶναι καὶ Εὐαίφνῳ τοῦ καρποῦ τῶν βοῶν. ἦν δὲ ἄρα τοιόσδε τις ὁ Εὔαιφνος, κέρδη τε ἄδικα ἐπίπροσθεν ἢ πιστὸς εἶναι ποιούμενος, καὶ ἄλλως αἰμύλος· ὃς καὶ τότε καταπλεύσας [8]) ἐς τὴν Λα-

6) τοῦ φίντα] Mallem τῶν φίντα, uti *Sylb.* forte legendum esse jam adnotavit.

7) τούτῳ τῷ ἀ. ἐγ. βοῦς etc.] Historia narratur quoque in Excerpt. ex Diodor. de virt. et vit. p. 547. 548. ed. Wesseling.

8) καταπλεύσας] Optime *Kuhn.* corrigit καταπλεύσασι, *mercatoribus, qui navibus appulerant in Laconiam.* Euaephnus enim jam in Laconica terra degebat.

κωνικὴν ἐμπόροις ἀποδωσόμενος [9]) βοῦς τὰς Πολυχάρους, ἦλθεν αὐτὸς ὡς Πολυχάρην ἄγγελος· ἐλθὼν δὲ ἀποβάντας ἔλεγεν ἐς τὴν χώραν λῃστὰς καὶ βιασαμένους αὐτὸν λείαν [10]) βοῦς τε ἄγεσθαι καὶ βουκόλους. ἕως δὲ οὗτος παρέπειθεν ἐν τούτῳ, τῶν τις βουκόλων ἀποδιδράσκει τοὺς ἐμπόρους· ἐπανήκων δὲ καταλαμβάνει τε αὐτοῦ παρὰ τῷ δεσπότῃ τὸν Εὔαιφνον, καὶ Πολυχάρους ἐναντίον ἤλεγχεν. ἁλισκόμενος δὲ καὶ οὐκ ἔχων ἀπαρνήσασθαι, πολλὰ μὲν αὐτὸν Πολυχάρην, πολλὰ δὲ καὶ τοῦ Πολυχάρους τὸν παῖδα ἱκέτευεν εἶναί οἱ συγγνώμην. ἐν γὰρ τῇ ἀνθρωπίνῃ φύσει καὶ ἄλλων ἐόντων, ἐφ' οἷς βιαζόμεθα ἄδικοι γίνεσθαι, τὰ κέρδη μεγίστην ἀνάγκην ἔχει. τιμὴν δὲ, ἥντινα εἰλήφει τῶν βοῶν, λόγῳ τε ἀπέφαινε, καὶ τὸν παῖδα ἠξίου τὸν Πολυχάρους ἔπεσθαί οἱ κομιούμενον. ὡς δὲ προϊόντες ἐγίγνοντο ἐν τῇ Λακωνικῇ, ἔργον ἐτόλμησεν Εὔαιφνος ἀνοσιώτερον τοῦ προτέρου· φονεύει τοῦ Πολυχάρους τὸν υἱόν. ὁ δὲ ὡς καὶ ταῦτα ἔγνω πεπονθὼς, φοιτῶν ἐς τὴν Λακεδαίμονα τοῖς βασιλεῦσιν ἦν καὶ τοῖς ἐφόροις δι' ὄχλου [11]), πολλὰ μὲν τὸν παῖδα ἀνακλαίων, καταριθμούμενος δὲ, οἷα ὑπὸ Εὐαίφνου πεπονθὼς ἦν, ὃν αὐτὸς ξένον ἐποιήσατο, καὶ πρὸ πάντων Λακεδαιμονίων ἐπίστευσεν. ὡς δέ οἱ συνεχῶς ἰόντι ἐπὶ τὰς ἀρχὰς οὐδεμία ἐγίγνετο τιμωρία, ἐνταῦθα παρετράπη τε ὁ Πολυχάρης ἐκ τοῦ νοῦ, καὶ τῷ θυμῷ χρώμενος, ἅτε ἔχων ἀφειδῶς ἤδη καὶ αὐτοῦ, πάντα

9) ἀποδωσόμενος] Ex subsequentibus liquet, boves jam venditas fuisse; quare, *Kuhnio* monente, ἀποδομένος legere praestat.

10) λείαν] Cod. Mosc. λίαν, quod ad vocem βιασαμένους revocandum esset.

11) δι' ὄχλου] Uterque Cod. mendose διόλου.

πάντα τινα, ὃν λάβοι Λακεδαιμονίων, ἐτόλμα φονεύειν. Λακεδαιμόνιοι μὲν δὴ Πολυχάρους τε εἵνεκα οὐκ ἐκδοθέντος σφίσι, καὶ διὰ τὸν Τηλέκλου φόνον, καὶ πρότερον ἔτι ὑπόπτως ἔχοντες διὰ τὸ Κρεσφόντου κακούργημα ἐς τὸν κλῆρον, πολεμῆσαι λέγουσι.

CAPUT V.

De iis, quae Messenii contradicentes narrant et quibus Lacedaemoniorum avaritiam coarguunt — Messenii de Polycrate tradendo deliberantes in partes et pugnam discedunt, in qua Androcles interficitur — Euphaë Messeniorum regnum obtinente Lacedaemonii, bello haud indicto, clam Ampheam, Messenior. urbem, oppugnant et capiunt — de Athenienſium illius temporis magiſtratibus.

Μεσσήνιοι δὲ περὶ Τηλέκλου ἀντιλέγουσι τὰ εἰρημένα ἤδη μοι, καὶ Αἴπυτον τὸν Κρεσφόντου συγκαταχθέντα ἀποφαίνουσιν ὑπὸ Ἀριστοδήμου τῶν παίδων· ὃ μήποτ' ἂν ποιῆσαι σφᾶς Κρεσφόντῃ γε ὄντας διαφόρους. Πολυχάρη δὲ ἐκδοῦναι μὲν ἐπὶ τιμωρίᾳ Λακεδαιμονίοις οὐ φασιν, ὅτι μηδὲ ἐκεῖνοι σφίσιν Εὔαιφνον· ἐθέλειν μέν τοι παρὰ Ἀργείοις συγγενέσιν οὖσιν ἀμφοτέρων ἐν Ἀμφικτυονίᾳ δίδοναι δίκας, ἐπιτρέπειν δὲ καὶ τῷ Ἀθήνησι δικαστηρίῳ, καλουμένῳ δὲ Ἀρείῳ πάγῳ, ὅτι δίκας τὰς φονικὰς τὸ δικαστήριον τοῦτο ἐδόκει δικάζειν ἐκ παλαιοῦ. Λακεδαιμονίους δὲ οὐ δι' αὐτὰ [1]) πολεμῆσαί φασιν, ὑπὸ πλεονεξίας δὲ τῇ σφετέρᾳ τε ἐπιβουλεῦσαι, καὶ ἄλλα ἐργάσασθαι· προφέροντες μέν

1) δι' αὐτὰ] Cod. Moſc. διὰ ταῦτα.

μέν σφισι τὰ Ἀρκάδων [2]), προφέροντες δὲ καὶ τὰ Ἀργείων [3]), ὡς οὔποτε ἐσχήκασι κόρον ἀποτεμνόμενοι τῆς χώρας αἰεί τι ἑκατέρων· Κροίσῳ τε αὐτοῖς δῶρα ἀποσειλαντι γενέσθαι φίλους βαρβάρων πρώτους [4]). ἀφ' οὗ γε τούς τε ἄλλους τοὺς ἐν τῇ Ἀσίᾳ κατεδουλώσατο Ἕλληνας, καὶ ὅσοι Δωριεῖς ἐν τῇ Καρικῇ κατοικοῦσιν ἠπείρῳ. ἀποφαίνουσι δὲ καὶ ἡνίκα οἱ Φωκέων δυνάσαι [5]) τὸ ἱερὸν τὸ ἐν Δελφοῖς κατειλήφασιν, ἰδίᾳ τε κατὰ ἄνδρα τοὺς βασιλεύοντας ἐν Σπάρτῃ καὶ τῶν ἄλλων τοὺς ἐπ' ἀξιώματος, καὶ κοινῇ τῶν τε ἐφόρων τὴν ἀρχὴν καὶ τὴν γερουσίαν μετασχόντας τῶν τοῦ θεοῦ. πρὸ δὲ δὴ πάντων, ὡς οὐδένων τοὺς Λακεδαιμονίους κέρδους εἵνεκα ὀκνήσαντας τὴν συμμαχίαν [6]) ὀνειδίζουσι σφίσι πρὸς Ἀπολλόδωρον τὸν ἐν Κασσανδρείᾳ τυραννήσαντα. ἀνθ' ὅτου δὲ Μεσσήνιοι τὸ ὄνειδος ἤγηνται τοῦτο οὕτω πικρὸν, οὔ μοι τῷ λόγῳ τῷ παρόντι ἦν ἐπεισάγεσθαι. ὅτι γὰρ μὴ τὸ Μεσσηνίων τὸ ἔμψυχον [7]) καὶ χρόνου μῆκος, ὃν ἐπολέμησαν, διαφθορὰ [8]) ἐγένετο, τῆς Ἀπολλοδώρου τυραννίδος ἔς τε τὰς συμφο-

2) τὰ Ἀρκάδων] Vid. L. III. C. 7.

3) τὰ Ἀργείων] Vid. L. II. C. 20 init.

4) Κροίσῳ — πρώτους] Vid. Herodot. L. I. ſ. 69. et de Dorienſibus in Aſia ſubactis Herod. L. I. ſ. 6.

5) ἡνίκα οἱ Φωκέων δυνάσαι etc.] Vid. L. III. C. 10. Inde ad τῶν τοῦ θεοῦ ſupplendum eſt χρημάτων.

6) τὴν συμμαχίαν] Paulo durius haec vox bis ſumenda eſſet; illam enim ad ὀκνήσαντας et ad ὀνειδίζουσι referri, ſententia poſtulat. Quae ut planior evadat, *Kuhn.* poſt σφισι inſerendum putat τήν. Equidem poſt ὀκνήσαντας potius συμμαχίαν excidiſſe et ſic legendum eſſe cenſerem: οὐδένων — ὀκνήσαντας συμμαχίαν, τὴν συμμαχίαν ὀνειδ. etc. De Apollodoro, Caſſandriae tyranno, vid. Perizon. ad Aelian. V. H. L. XIV. C. 41.

7) τὸ Μεσσην. τὸ ἔμψυχον] Cod. Moſc. τῶν Μεσσην., et *Camerar.* legit εὔψυχον.

8) διαφθορὰ] *Hartung.* legit ἀδιάφορα. *Sylb.* et *Kuhn.* recte

συμφορὰς, οὐ πολλῷ τινι ἀποδέοι, ἃ οἱ Κασσανδρεῖς πεπόνθασι. ταῦτα μὲν οὖν δὴ αἴτια ἑκάτεροι τοῦ πολέμου γενέσθαι λέγουσι.

Τότε δὲ πρεσβεία Λακεδαιμονίων ἥκουσα ἐζήτει 2
Πολυχάρη. οἱ δὲ τῶν Μεσσηνίων βασιλεῖς τοῖς μὲν πρέσβεσιν ἀπεκρίναντο, ὅτι βουλευσάμενοι μετὰ τοῦ δήμου τὰ δόξαντα ἐπιστελοῦσιν ἐς Σπάρτην, αὐτοὶ δὲ, ἐκείνων ἀπελθόντων, ἐς ἐκκλησίαν τοὺς πολίτας συνῆγον. αἱ δὲ γνῶμαι διάφοροι παρὰ πολὺ ἐγένοντο· Ἀνδροκλέους μὲν, ἐκδιδόναι Πολυχάρην, ὡς ἀνόσιά τε καὶ πέρα δεινῶν εἰργασμένον [9]· Ἀντίοχος δὲ ἄλλα τε ἀντέλεγε, καὶ τὸ ἁπάντων οἰκτιστον, εἰ Πολυχάρης ἐν ὀφθαλμοῖς πείσεται τοῖς Εὐαίφνου, καταριθμούμενος, ὅσα καὶ οἷα ἦν ἀνάγκη παθεῖν. τέλος δὲ ἐς τοσοῦτο προήχθησαν οἵ τε Ἀνδροκλεῖ καὶ οἱ τῷ Ἀντιόχῳ συσπεύδοντες, ὥστε καὶ τὰ ὅπλα ἔλαβον. οὐ μὴν ἐς μακράν γε προῆλθέ σφισιν ἡ μάχη· περιόντες γὰρ ἀριθμῷ καὶ πολὺ [10]) οἱ σὺν Ἀντιόχῳ, τόν τε Ἀνδροκλέα καὶ τῶν περὶ αὐτὸν τοὺς λόγου μάλιστα ἀξίους ἀποκτείνουσιν. Ἀντίοχος δὲ βασιλεύων ἤδη μόνος, ἔπεμπεν ἐς Σπάρτην, ὡς ἐπιτρέπειν ἐθέλοι τοῖς δικασηρίοις, ἃ ἤδη λέλεκταί μοι. Λακεδαιμόνιοι δὲ

cte corrigunt διάφορα, uti et *Amaſ.* habet. Sic, verborum diſtinctione emendata, haec exhibetur ſententia: *excepto eo, quod Meſſeniorum animoſitas et belli diuturnitas diverſa fuere, calamitates certe, quas Caſſandrenſes a Polydori Tyrannide perpeſſi ſunt, non multum inferiores erant* (ſc. malis Meſſeniorum).

9) πέρα δεινῶν εἰργασμένον] *Hartung.* πέρα δικῶν, quod ferri poteſt. πέρα δεινῶν eſt *plus quam atrocia, quae quaſi atrocitatis limites excedunt.*

10) κῃ πολὺ] ſc. περιόντες. Redundare videri poſſit κῃ, vel pro eo ſcribendum eſſe κατά. Sed eadem dictio eſt in Pauſ. L. IV. C. 21. ἀριθμῷ κῃ πολὺ οἱ Λακεδ. περιῆσαν, et C. 25. init.

οὐ λέγονται τοῖς κομίσασι τὰ γράμματα ἀποκρίνα-
3 σθαι. Μησὶ δὲ οὐ πολλοῖς ὕστερον Ἀντιόχου τελευ-
τήσαντος, Εὐφαὴς ὁ Ἀντιόχου παρέλαβε τὴν ἀρχήν.
Λακεδαιμόνιοι δὲ οὔτε κήρυκα ἀποστέλλουσι προερουν-
τα Μεσσηνίοις πόλεμον, οὔτε προαπειπάμενοι τὴν φι-
λίαν, κρύφα δὲ καὶ μάλιστα ὡς ἐδύναντο ἐν ἀπορρήτῳ
παρασκευασάμενοι, προομνύουσιν ὅρκον, μήτε τοῦ
πολέμου μῆκος, ἢν μὴ δι' ὀλίγου κριθῇ, μήτε τὰς
συμφορὰς, εἰ μεγάλαι πολεμοῦσι γένοιντο, λογισά-
μενοι ἀποστρέψειν σφᾶς, πρὶν ἢ κτήσαιντο χώραν τὴν
Μεσσηνίαν δορυάλωτον. ταῦτα προομόσαντες, ἔξο-
δον νύκτωρ ἐποιοῦντο ἐπὶ Ἄμφειαν, Ἀλκαμένην τὸν
Τηλέκλου τῆς στρατιᾶς ἡγεμόνα ἀποδείξαντες. ἡ δὲ
Ἄμφεια πρὸς τῇ Λακωνικῇ πόλισμα ἦν ἐν τῇ Μεσση-
νίᾳ, μεγέθει μὲν οὐ μέγα, ἐπὶ λόφου δὲ ὑψηλοῦ κεί-
μενον, καὶ ὑδάτων πηγὰς εἶχεν ἀφθόνους· ἐδόκει δὲ
καὶ ἄλλως εἰς τὸν πάντα πόλεμον ὁρμητήριόν σφισιν,
ἐπιτήδειον ἡ Ἄμφεια εἶναι. καὶ τό τε πόλισμα αἱ-
ροῦσι πυλῶν ἀνεῳγμένων, καὶ φυλακῆς οὐκ ἐνούσης,
καὶ τῶν Μεσσηνίων τοὺς ἐγκαταλειφθέντας [11]) φο-
νεύουσι, τοὺς μὲν ἔτι ἐν ταῖς εὐναῖς, τοὺς δὲ, ὡς ἤ-
σθοντο [12]), πρός τε ἱερὰ θεῶν καὶ βωμοὺς καθημέ-
νους ἱκέτας· ὀλίγοι δὲ καὶ οἱ διαφυγόντες ἐγένοντο.
4 Ταύτην Λακεδαιμόνιοι πρώτην ἐπὶ Μεσσηνίους ἔξοδον
ἐποιήσαντο, ἔτει δευτέρῳ τῆς ἑνάτης ὀλυμπιάδος, ἣν
Ξενοδόκος Μεσσήνιος ἐνίκα στάδιον. Ἀθήνησι δὲ οὐκ
ἦσάν

11) ἐγκαταλειφθέντας] *Amas.* legit ἐγκαταληφθέντας, interpretatus *intus deprehensos.* Quae lectio praestare mihi videtur ob subsequentia τοὺς μὲν etc., et firmatur illa C. 7. in fine τῶν ἐγκαταληφθέντων ἐν Ἀμφείᾳ τὰ πάθη.

12) τοὺς δὲ, ὡς ἤσθοντο etc.] *alios, qui, cum hostes adesse audivissent, supplices confederant ad* etc.

ἦσάν πω τότε οἱ τῷ κλήρῳ κατ' ἐνιαυτὸν ἄρχοντες. τοὺς γὰρ ἀπὸ Μελάνθου [13]), καλουμένους δὲ Μεδοντίδας, κατ' ἀρχὰς μὲν ἀφείλοντο ὁ δῆμος τῆς ἐξουσίας τὸ πολύ, καὶ ἀντὶ βασιλείας μετέσησεν [14]) ἐς, ἀρχὴν ὑπεύθυνον· ὕστερον δὲ καὶ προθεσμίαν ἐτῶν δέκα ἐποίησαν αὐτοῖς τῆς ἀρχῆς. τότε δὲ ὑπὸ τὴν κατάληψιν τῆς Ἀμφείας Αἰσιμήδης [15]) Ἀθηναῖος ἦρχεν ὁ Αἰσχύλου πέμπτον ἔτος.

CAPUT VI.

De belli Messenici denominatione ejusque scriptoribus — de Aristomene ejusque aetate — Messenii, Amphea capta, ad Stenyclerum concionem populi habent, et bellum parant.

Πρὶν δὲ ἢ συγγράφειν με τὸν πόλεμον, καὶ ὁπόσα πολεμοῦσιν ἑκατέροις ὁ δαίμων παθεῖν ἢ δρᾶσαι παρεσκεύασε, διακρῖναί τε ἔργα καὶ ἡλικίας πέρι ἠθέλησα ἀνδρὸς Μεσσηνίου [1]). τὸν γὰρ πόλεμον τοῦτον

13) Μελάνθου] De hoc vid. L. II. C. 18. in fine; conf. L. VII. C. 1. in fine. *Medontidae* appellati sunt a Medonte, Melanthi nepote, primo Archonte.

14) μετέσησεν] Minime cum *Sylb.* emendandum est μετέσησαν. Nam δῆμος, πλῆθος et similia a Pausania non plurali solum, sed etiam in eadem sententia numero singulari et plurali simul junguntur. Sic C. 9. prope finem τὸ πλῆθος — ὥρμησεν ἀποκτενοῦντες., C. 35. τά τε ἄλλα ὁ δῆμος ὕβριζε καὶ — ὑπερεώρων, C. 11. ἐνταῦθα ὁ στρατὸς — ἐχρῶντο, C. 19. init. δύναμιν ὡς συνεξαιρήσοντας, C. 25. in fine τὸ δὲ πολὺ αὐτῶν διεκπίπτουσι. Mox pro ἐποίησαν Cod. Mosc. ἐποίησεν exhibet.

15) Αἰσιμήδης] Amas. *Aesimides*. Bene, ut mihi videtur; nam L. I. C. 3. inter Melanthi posteros memoratur Clidicus, filius Αἰσιμίδου.

1) διακρῖναί τε ἔργα καὶ ἡλικίας πέρι ἠθέλησα ἀνδρὸς Μεσσην.] Hic

γενόμενον μὲν Λακεδαιμονίων καὶ τῶν συμμάχων πρὸς Μεσσηνίους καὶ τοὺς ἐπικούρους, ὀνομασθέντα δὲ οὐκ ἀπὸ τῶν ἐπιστρατευσάντων, ὥσπερ γε ὁ Μηδικὸς καὶ ὁ Πελοποννήσιος, Μεσσήνιον δὲ ἀπὸ τῶν συμφορῶν, καθὰ δὴ καὶ τὸν ἐπὶ Ἰλίῳ κληθῆναι Τρωϊκὸν, καὶ οὐχ Ἑλληνικὸν ἐξενίκησε, τοῦτον δὴ γὰρ τῶν Μεσσηνίων τὸν πόλεμον Ῥιανός τε ἐν τοῖς ἔπεσιν ἐποίησεν ὁ Βηναῖος, καὶ ὁ Πριηνεὺς Μύρων[2]· λόγοι δὲ πεζοὶ Μύρωνός ἐστιν ἡ συγγραφή. συνεχῶς μὲν δὴ τὰ πάντα ἐξ ἀρχῆς ἐς τοῦ πολέμου τὴν τελευτὴν οὐδετέρῳ διήνυσαι, μέρος δὲ, ὡς ἑκάτερος ἠρέσκετο. ὁ μὲν τῆς τε Ἀμφείας τὴν ἅλωσιν, καὶ τὰ ἐφ' ἑξῆς[3] συνέθηκεν, οὐ πρόσω τῆς Ἀριστοδήμου τελευτῆς· Ῥιανὸς δὲ τοῦδε μὲν τοῦ πρώτου τῶν πολέμων οὐδὲ ἥψατο ἀρχήν. ὁπόσα δὲ χρόνῳ συνέβη τοῖς Μεσσηνίοις ἀποσᾶσιν ἀπὸ Λακεδαιμονίων, ὁ δὲ καὶ ταῦτα μὲν οὐ τὰ πάντα ἔγραψε, τῆς μάχης δὲ τὰ ὕστερα, ἣν ἐμαχέσαντο ἐπὶ τῇ
2 Τάφρῳ τῇ καλουμένῃ μεγάλῃ[4]). Ἄνδρα τε Ἀριστομένην[5]) Μεσσήνιον (τούτου γὰρ δὴ ἕνεκα τὸν πάντα ἐποιη-

Hic πέρι, si cum voce ἡλικίας jungas, insolenter nomini postpositum, sin ad ἀνδρὸς referas, non duriter solum a suo nomine, verbo interposito, sejunctum, sed paene prorsus supervacuum est. Neminem illud offendisse miror, et vocem πέρι ut corruptam putem, eo magis adducor, quod Cod. Mosc. depravatam exhibet lectionem ὅσ ερ ἠθέλησαν. Illum Messenium virum esse Aristomenem, ex sequentibus patet.

2) Ῥιανός τε — ὁ Βηναῖος, καὶ ὁ Πριηνεὺς Μύρων] De Rhiano vid. supra not. ad C. 1. et de Myrone vid. Athen. Deipn. L. VI. p. 271. F. et L. XIV. p. 857. D., ubi ex ejus Messenicis quaedam proferuntur.

3) τὰ ἐφ' ἑξῆς] Cod. Mosc. τὰ ἑξῆς.

4) ἐπὶ τῇ Τάφρῳ τῇ κ. μεγάλῃ] Hanc pugnam attigit quoque C. 17. init. Conf. de ea Polyb. L. IV. C. 33.

5) Ἄνδρα τε Ἀρ.] Mallem Ἄνδρα δὲ Ἀρ.

ἐποιησάμην Ῥιανοῦ καὶ Μύρωνος λόγον), ὃς καὶ πρῶτος καὶ μάλιστα τὸ Μεσσήνης ὄνομα ἐς ἀξίωμα προήγαγε, τοῦτον τὸν ἄνδρα ἐπεισήγαγε μὲν ὁ Πριηνεὺς ἐς τὴν συγγραφὴν [6]), Ῥιανῷ δὲ ἐν τοῖς ἔπεσιν οὐδὲν Ἀριστομένης ἐστὶν ἀφανέστερος, ἢ Ἀχιλλεὺς ἐν Ἰλιάδι Ὁμήρῳ. διάφορα οὖν ἐπὶ τοσοῦτον εἰρηκότων, προέσθαι μὲν τὸν ἕτερόν μοι τῶν λόγων, καὶ οὐχ ἅμα ἀμφοτέρους, ὑπελείπετο. Ῥιανὸς δέ μοι ποιῆσαι μᾶλλον ἐφαίνετο εἰκότα εἰς τὴν Ἀριστομένους ἡλικίαν. Μύρωνα δὲ ἐπί τε ἄλλοις καταμαθεῖν ἐστιν οὐ προορώμενον, εἰ ψευδῆ τε καὶ οὐ πιθανὰ δόξει λέγειν, καὶ οὐχ ἥκιστα ἐν τῇδε τῆς Μεσσηνίας συγγραφῇ. πεποίηκε γὰρ, ὡς ἀποκτείνειε Θεόπομπον τὸν Λακεδαιμονίων βασιλέα Ἀριστομένης, ὀλίγον πρὸ τῆς Ἀριστοδήμου τελευτῆς. Θεόπομπον δὲ οὔτε μάχης γιγνομένης οὔτε ἄλλως προαποθανόντα ἴσμεν, πρὶν ἢ διαπολεμηθῆναι τὸν πόλεμον. οὗτος δὲ ὁ Θεόπομπος ἦν καὶ ὁ πέρας ἐπιθεὶς τῷ πολέμῳ. μαρτυρεῖ δέ μοι καὶ τὰ ἐλεγεῖα τῶν Τυρταίου [7]) λέγοντα·

Ἡμετέρῳ βασιλῆϊ θεοῖσι φίλῳ Θεοπόμπῳ,
Ὅν διὰ Μεσσήνην εἵλομεν εὐρύχορον.

ὁ τοίνυν Ἀριστομένης δόξῃ γε ἐμῇ γέγονεν ἐπὶ τοῦ πολέμου τοῦ ὑστέρου, καὶ τὰ ἐς αὐτὸν, ἐπειδὰν ἐς τοῦτο ὁ λόγος ἀφίκηται, τηνικαῦτα ἐπέξειμι [8]).

Οἱ

6) ἐπεισήγαγε — ἐς τὴν συγγραφὴν] Hic illa deesse, quae Myron de Aristomene dixerit, *Kuhn.* temere suspicatur. Pausanias enim dicit, Myronem *attigisse* (inseruisse) tantum Aristomenem, Rhianum vero hunc *Achilli assimilasse*, ideoque pluribus laudibus evexisse.

7) τὰ ἐλεγεῖα τῶν Τυρταίου] Vid. Tyrtaei Carmina a Klotzio edita p. 126. Pro εἵλομεν Cod. Mosc. dat ἕλομεν.

8) τηνικαῦτα ἐπέξειμι] Vid. Cap.

3 Οἱ δὲ Μεσσήνιοι τότε ὡς τὰ περὶ τὴν Ἀμφειαν ἤκουον παρ' αὐτῶν τῶν ἀποσωθέντων ἐκ τῆς ἁλώσεως, συνελέγοντο ἐς Στενύκληρον ἀπὸ τῶν πόλεων. ἀθροισθέντος δὲ ἐς ἐκκλησίαν τοῦ δήμου, καὶ ἄλλοι τῶν ἐν τέλει καὶ τελευταῖος ὁ βασιλεὺς παρεκελεύετο, μήτε τῆς Ἀμφείας ἐκπεπλῆχθαι [9]) τὴν πόρθησιν, ὡς τὸν πάντα ἤδη κεκριμένον δι' αὐτῆς πόλεμον, μήτε ὡς τῆς σφετέρας κρείσσονα τῶν Λακεδαιμονίων δεδοικέναι τὴν παρασκευήν· μελέτην μὲν γὰρ ἐκείνοις τῶν πολεμικῶν ἐκ χρόνου πλείονος, σφίσι δὲ εἶναι τήν τε ἀνάγκην ἰσχυροτέραν ἀνδράσιν ἀγαθοῖς γίγνεσθαι, καὶ τὸ εὐμενέστερον ἔσαι [10]) παρὰ τῶν θεῶν ἀμύνουσι τῇ οἰκείᾳ, καὶ οὐκ ἀδικίας ἄρχουσι.

Cap. 15. sq. Ceterum Capitis novi distinctio hic notanda fuisset, minime ad verba Τοιαῦτα ὁ Εὐφ.

9) ἐκπεπλῆχθαι] Cod. Mosc. καταπεπλῆχθαι.

10) ἔσαι] Ob immutatam constructionis rationem hoc ab omisso ὡς vel ὅτι penderet. Sed forte ἔσεσθαι emendandum sit. Mox τῇ οἰκείᾳ, scil. γῇ, vel χώρᾳ, uti initio Capit. sequ. τὴν μὲν χώραν οὐκ ἐλυμ., ἅτε δὴ νομίζοντες οἰκείαν.

CAPUT

CAPUT VII.

Lacedaemonii in Messeniam incursiones faciunt, et praedam agunt — Euphaës, rex Messenior., exercitum una cum servis contra hostes educit, et proelium conseritur — anno proximo Lacedaemonii denuo exercitum contra Messenios ducunt, et hi adversa acie in hostes contendunt — utriusque exercitus duces oratione suos exhortantur.

Τοιαῦτα ὁ Εὐφαὴς εἰπὼν διέλυε τὸν σύλλογον. τὸ δὲ ἀπὸ τούτου πάντας ἔσχεν ἤδη τοὺς Μεσσηνίους ἐν ὅπλοις [1]), τούς τε οὐκ εἰδότας ἐπαναγκάζων διδάσκεσθαι τὰ πολεμικά, καὶ τοῖς ἐπισταμένοις ἐπιμελεστέραν ἢ πρότερον τὴν ἄσκησιν εἶναι. Λακεδαιμόνιοι δὲ καταδρομὰς ἐποιοῦντο ἐς τὴν Μεσσηνίαν, καὶ τὴν μὲν χώραν οὐκ ἐλυμαίνοντο, ἅτε δὴ νομίζοντες οἰκείαν, οὐδὲ δένδρα ἔκοπτον, οὐδὲ οἰκήματα κατέβαλον· οἱ δὲ λείαν, εἰ περιτύχοιεν, ἤλαυνον, καὶ σῖτον καὶ τὸν ἄλλον καρπὸν ἀφῃροῦντο. πρὸς δὲ τὰς πόλεις ποιούμενοι προσβολὰς, εἷλον μὲν οὐδεμίαν, ἅτε καὶ τείχεσιν ὠχυρωμένας καὶ δι' ἀκριβείας φρουρουμένας, λαμβάνοντες δὲ τραύματα, ἀπεχώρουν ἄπρακτοι, καὶ τελευτῶντες οὐκέτι ἀπεπειρῶντο τῶν πόλεων. ἐλήσευον δὲ καὶ οἱ Μεσσήνιοι τά τε ἐπιθαλάσσια τῆς Λακωνικῆς, καὶ ὅσαι γεωργίαι περὶ τὸ Ταΰγετον ἦσαν. Τετάρτῳ δὲ ἔτει [2]) μετὰ τῆς Ἀμφείας τὴν ἄ- 2

λωσιν

1) ἐν ὅπλοις] Ex Aldinae lectione ἐνόπλοις *Sylb.* forte ἐνόπλους legendum esse conjicit. Similiter ἔχειν constructum C. 8. init. τούς τε γὰρ περιοίκους etc.

2) Τετάρτῳ δὲ ἔτει] *Amas.* legit μηνὶ, interpretatus: *quartus jam mensis exierat.* Illud Amasaeo incuria excidisse putat *Sylburg.*, sed mihi sane IV. anno-

λωσιν Εὐφαὴς τῷ θυμῷ χρήσασθαι τῷ Μεσσηνίων προθυμούμενος ἀπαμαζόντων ἐς τοὺς Λακεδαιμονίους ταῖς ἐργαῖς, καὶ ἅμα τὴν ἄσκησιν ἤδη σφίσιν αὐτάρκη νομίζων εἶναι, προεῖπεν ἔξοδον, συνακολουθεῖν δὲ καὶ τοὺς οἰκέτας προσέταξε, φέροντας ξύλα καὶ ἄλλα, ὅσα πρόσφορα ἐς ποίησιν χαρακώματος. ἐπυνθάνοντο δὲ καὶ οἱ Λακεδαιμόνιοι παρὰ τῶν ἐν [3]) Ἀμφείᾳ φρουρῶν τοὺς Μεσσηνίους ἐξιόντας. ἐξεστρατεύοντο οὖν καὶ οὗτοι. καὶ ἦν γὰρ ἐν τῇ Μεσσηνίᾳ χωρίον, ἄλλως μὲν ἐς ἀγῶνα ἐπιτήδειον, χαράδρα δὲ προεβέβλητο αὐτοῦ βαθεῖα. ἐνταῦθα τοὺς Μεσσηνίους παρέταξεν ὁ Εὐφαὴς, ἀποδείξας στρατηγὸν Κλέοννιν [4]) τῆς τε ἵππου καὶ τῶν ψιλῶν, οἳ συναμφότεροι ἐλάσσους πεντακοσίων ἦσαν, ὧν Πυθάρατος καὶ Ἀντανδρος ἡγοῦντο. ὡς δὲ συνῆει τὰ στρατόπεδα, τοῖς μὲν ὁπλίταις καὶ ἀφειδῶς ὅμως καὶ ἀκρατέστερον ὑπὸ τοῦ μίσους φερομένοις ἐπὶ ἀλλήλους οὐ παρέσχεν ἐλθεῖν ἐς χεῖρας ἡ χαράδρα διείργουσα· τὸ δ' ἱππικὸν καὶ οἱ ψιλοὶ συμμίσγουσι μὲν κατὰ τὸ ὑπὲρ τὴν χαράδραν [5]). ἦσαν δὲ οὔτε πλῆθος, οὔτε ἐμπειρίᾳ διαφέροντες οὐδέτεροι, καὶ διὰ τοῦτο ἰσόῤῥοπος ἡ μάχη σφίσιν ἐγένετο. ὅσῳ [6]) δὲ οὗτοι συνεσήκασιν, ἐν τοσούτῳ τοὺς οἰκέτας ἐκέλευεν ὁ Εὐφαὴς, πρῶτον μὲν τὰ κατὰ νῶτον τοῦ στρατοπέδου φράξασθαι τοῖς σαυροῖς, μετὰ

annorum tempus nimis longum fuisse videtur ad Messenios armis exercendos, uti statim subjicitur.

3) ἐν] Ex Cod. Mosc. pro vulgata forma poëtica εἰν.

4) Κλέοννιν] Cod. Mosc. Κλέονιν, ita et in sequentibus.

Quidam interpretum hic interpungendum, et paullo infra ὧν ante Πυθάρ. tollendum censent.

5) ὑπὲρ τὴν χαράδραν] Cod. Mosc. ὑπὸ τὴν χαράδραν.

6) ὅσῳ] Forte ἐν ὅσῳ, uti C. 9. ἐν ὅσῳ — ἐν τόσῳ.

μετὰ δὲ [7]) τὰ πλευρὰ ἀμφότερα. ἐπεὶ δὲ ἤ τε νὺξ ἐπέλαβε καὶ ἡ μάχη διελέλυτο, τότε ἤδη καὶ τὰ πρὸ τοῦ στρατοπέδου κατὰ τὴν χαράδραν ἐφράξαντο. ὥστε ἐπισχούσης ἡμέρας, τῆς τε προνοίας τοῦ Εὐφαοῦς τοὺς Λακεδαιμονίους ἐπιπίπτει [8]) λογισμὸς, εἶχόν τε οὔτε ὅπως μάχεσθαι χρὴ πρὸς τοὺς Μεσσηνίους μὴ προϊόντας ἐκ τοῦ χάρακος, προκαθῆσθαί [9]) τε ἀπεγίνωσκον, ἀπαράσκευοι τοῖς πᾶσιν ὁμοίως ὄντες. καὶ τότε μὲν ἀποχωροῦσιν οἴκαδε. Ἐνιαυτῷ δὲ ὕστερον κακιζόντων 3
σφᾶς τῶν γεγηρακότων, καὶ δειλίαν τε ὁμοῦ προφερόντων καὶ τοῦ ὅρκου τὴν ὑπεροψίαν, οὕτω δευτέραν ἐκ τοῦ προφανοῦς ἐπὶ Μεσσηνίους στρατείαν ἐποιοῦντο. ἡγοῦντο δὲ οἱ βασιλεῖς ἀμφότεροι, Θεόπομπός τε ὁ Νικάνδρου, καὶ Πολύδωρος ὁ Ἀλκαμένους· Ἀλκαμένης δὲ οὐκ ἔτι περιῆν. ἀντεστρατοπεδεύοντο δὲ καὶ οἱ Μεσσήνιοι, καὶ πειρωμένων μάχης τῶν Σπαρτιατῶν ἄρχειν, ἀντεπεξήεσαν. Λακεδαιμονίοις δὲ ἡγεῖτο Πολύδωρος μὲν κατὰ τὸ κέρας τὸ ἀριστερὸν, Θεόπομπος δὲ ἐπὶ τῷ δεξιῷ, τὸ μέσον δὲ εἶχεν Εὐρυλέων, τὰ μὲν παρόντα Λακεδαιμόνιος, τὰ ἐξ ἀρχῆς δὲ ἀπὸ Κάδμου, καὶ ἐκ Θηβῶν, Αἰγέως τοῦ Οἰολύκου τοῦ Θήρα τοῦ Αὐτεσίωνος ἀπόγονος πέμπτος. τοῖς δὲ Μεσσηνίοις κατὰ μὲν τὸ δεξιὸν τῶν Λακεδαιμονίων ἀντεστάσσοντο Ἀνταν δρός τε καὶ Εὐφαὴς, τὸ δὲ ἕτερον κέρας τὸ κατὰ τὸν Πολύδωρον Πυθάρατος εἶχε· Κλέοννις

7) μετὰ δὲ] Absolute positum, *deinde*, uti C. 9. et saepius. Sic C. 8. πρὸς δὲ καὶ τ. π., *insuper etiam numero.*

8) τοὺς Λακ. ἐπιπίπτει λογισμὸς] Cum ἐπιπίπτειν hic insolenter accusativo junctum sit, *Sylburg.* ingenioſe ſuſpicatur, ſcribendum eſſe ἐκπλήττει.

9) προκαθῆσθαι] *Amaſ.* legiſſe videtur προσκαθῆσθαι, quod cum Kuhnio probandum duco.

4 Κλέοννις δὲ τὸ μέσον. Συνιέναι δὲ ἤδη μελλόντων, ἐπεὶ παριόντες οἱ βασιλεῖς προέτρεπον [10]) τοὺς αὐτῶν, πρὸς μὲν δὴ τοὺς Λακεδαιμονίους βραχεῖαν κατὰ τὸ ἐπιχώριον τὴν παράκλησιν ἐποιεῖτο ὁ Θεόπομπος, τοῦ τε ὅρκου τοῦ κατὰ τῶν Μεσσηνίων ἀναμιμνήσκων, καὶ ὡς καλὸν σφίσι τὸ φιλοτίμημα, τῶν πατέρων, οἳ τοὺς περιοίκους κατεδουλώσαντο, φανῆναι λαμπρότερα εἰργασμένους, καὶ χώραν εὐδαιμονεστέραν προσκεκτημένους [11]). Εὐφαὴς δὲ μακρότερα μὲν εἶπεν, ἢ ὁ Σπαρτιατης, οὐ πλείω δὲ οὐδ' οὗτος, ἢ ἐφιέντα ἑώρα τὸν καιρόν. οὐ γὰρ περὶ γῆς μόνον οὐδὲ κτημάτων τὸν ἀγῶνα ἀπέφαινε γενησόμενον, εἰδέναι δὲ ἔφη σαφῶς, ἃ νικωμένους ἐπιλήψεται· γυναῖκας μὲν γὰρ ἀχθήσεσθαι καὶ τέκνα ἐν ἀνδραπόδων μέρει, τοῖς δὲ ἐν ἡλικίᾳ τὸ ἐλαφρότατον ἔσεσθαι θανατον, ἢν μετ' αἰκίας μὴ γένηται· συλήσεσθαι δέ σφισι καὶ τὰ ἱερά, καὶ τας πατρίδας ἐμπρήσεσθαι· λέγειν δὲ οὐκ εἰκάζων, μάρτυρα δὲ ἐν ἀρχῇ πᾶσιν εἶναι τῶν ἐγκαταληφθέντων ἐν Ἀμφείᾳ τὰ πάθη· πρό τε δὴ τηλικούτων κακῶν κέρδος εἶναι καλῶς τινα ἀποθανεῖν· πολὺ δὲ εἶναι ῥᾷον ἀηττήτοις οὖσιν ἔτι, καὶ τὰς τόλμας [12]) καθεσηκόσιν ἐξ ἴσου, προθυμίᾳ τοὺς ἀντιτεταγμένους ὑπερβαλεῖν, ἢ προαποβαλόντας τὸ φρόνημα ἐπανορθοῦσθαι τὰ ἐπταισμένα. τοιαῦτα μὲν ὁ Εὐφαὴς εἶπεν.

10) προέτρεπον] Cod. Mosc. προείπεμπον. Male.

11) καὶ ὡς καλὸν — προσκεκτημένους] Recte *Sylburg.* interpretatur: *et praeclarum ipsorum facinus fore, si patribus, qui finitimos in servitutem redegissent, splendidiora edidisse et feliciorem suis finibus adjecisse viderentur regionem.*

12) καὶ τὰς τόλμας etc.] scil. κατὰ τ. τ., *et quum audacia pares essent.*

CAPUT

CAPUT VIII.

De proelio a Messeniis cum Lacedaemoniis commisso et fortiter utrinque factis narratio.

Ἐπεὶ δὲ ἑκατέροις ἐσήμηναν οἱ ἡγεμόνες, Μεσσήνιοι μὲν δρόμῳ τῷ ἐς τοὺς Λακεδαιμονίους ἐχρῶντο, καὶ ἀφειδῶς αὑτῶν εἶχον, ἅτε ἄνθρωποι θανατῶντες ὑπὸ τοῦ θυμοῦ· καὶ αὐτὸς ἕκαστος πρῶτος ἔσπευδεν ἄρξαι μάχης. ἀντεπήεσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι σπουδῇ καὶ οὗτοι, πρόνοιαν δὲ ὅμως ἐποιοῦντο, μὴ διαλυθῆναί σφισι τὴν τάξιν. ὡς δὲ πλησίον ἐγίγνοντο, ἀπειλαῖς ἐχρῶντο τῶν τε ὅπλων τῇ κινήσει καὶ ἐνορῶντες ἐς ἀλλήλους δεινὸν, ἔς τε λοιδορίας προήγοντο· οἱ μὲν, οἰκέτας αὐτῶν ἤδη τοὺς Μεσσηνίους, καὶ οὐδὲν ἐλευθερωτέρους ἀποκαλοῦντες τῶν εἰλώτων· οἱ δὲ, ἐκείνους τῷ τε ἐγχειρήματι ἀνοσίους (ἐπεὶ πλεονεξίας εἵνεκα ἐπὶ ἄνδρας συγγενεῖς ἐπίασι) καὶ θεῶν ἀσεβεῖς, ὅσοι Δωριεῦσι πατρῷοι, τῶν τε ἄλλων καὶ μάλιστα Ἡρακλέους. ἤδη τε ὁμοῦ τοῖς ὀνείδεσι καὶ ἔργων ἥπτοντο, ἀθρόοι τε πρὸς ἀθρόους ὠθισμῷ χρώμενοι μάλιστα οἱ Λακεδαιμόνιοι, καὶ ἀνὴρ ἀνδρὶ ἐπιόντες. τέχνῃ μὲν οὖν ἐς τὰ πολεμικὰ ὁμοῦ καὶ μελέτῃ πολὺ οἱ Λακεδαιμόνιοι προέσχον, πρὸς δὲ καὶ τῷ πλήθει. τούς τε γὰρ περιοίκους ὑπηκόους ἤδη καὶ συνακολουθοῦντας εἶχον. Ἀσιναῖοί τε καὶ Δρύοπες, γενεᾷ πρότερον ὑπὸ Ἀργείων ἐκ τῆς σφετέρας ἀνεστηκότες, καὶ ἥκοντες ἐς τὴν Λακεδαίμονα ἱκέται, κατ' ἀνάγκην συνεστρατεύοντο. πρὸς δὲ τοὺς ψιλοὺς τῶν Μεσσηνίων τοξότας Κρῆτας ἐπήγοντο μισθωτούς. Μεσσηνίους δὲ ἐς ἅπαντα ἐς τὸ ἴσον ἥ τε ἀπόνοια [1]) καὶ

1) Μεσσηνίους δὲ ἐς ἅπαντα ἐς τὸ ἴσον ἥ τε ἀπ. etc.] Si hic reliqua sana sunt, pro Μεσσηνίους scribendum est Μεσσηνίοις et

καὶ τὸ ἐς τὸν θάνατον εὔθυμον, καὶ ὁπόσα μὲν πάσχοιεν, ἀναγκαῖα μᾶλλον τοῖς πατρίδα σεμνύνουσιν[2]), ἢ δεινὰ ἐνόμιζον. ἃ δὲ ἔδρων, αὐτοί τε ἡγοῦντο εἰργάσθαι μειζόνως, καὶ τοῖς Λακεδαιμονίοις συμβαίνειν χαλεπώτερα. καὶ οἱ μὲν αὐτῶν προεκπηδῶντες τῆς τάξεως, τολμήματα λαμπρὰ ἀπεδείκνυντο, τοῖς δὲ καὶ ἐπικαίρως τετρωμένοις καὶ ἐμπνέουσιν ὀλίγον, ὅμως ἡ ἀπόνοια ἤκμαζεν. παρακλήσεις τε ἐγίγνοντο, καὶ οἱ μὲν ζῶντες καὶ ἔτι ἄτρωτοι τοὺς τραυματίας παρώξυνον, πρὶν ἢ τὴν ἐσχάτην τινὶ ἐφεστηκέναι μοῖραν, ἀντιδράσαντα, ὅ τι καὶ δύναιτο, σὺν ἡδονῇ δέχεσθαι τὸ πεπρωμένον· οἱ δὲ ὁπότε αἴσθοιντο οἱ τραυματίαι τὴν ἰσχὺν σφᾶς ὑπολείπουσαν, καὶ τὸ πνεῦμα οὐ παραμένον, διεκελεύοντο τοῖς δρῶσι[3]), μὴ χείρονας ἢ αὐτοὶ γίγνεσθαι, μηδὲ ἐς ἀνωφελὲς τῇ πατρίδι καὶ τὴν ἐκείνων τελευτὴν καταξῆσαι. Λακεδαιμόνιοι δὲ πρότερον τῇ μὲν ἐς ἀλλήλους δεήσει οὐκ ἐχρῶντο, καὶ ἐς τὰ παράδοξα τῶν τολμημάτων, οὐ κατὰ ταυτὰ ἑτοίμως τοῖς Μεσσηνίοις εἶχον· ἅτε δὲ εὐθὺς ἐκ παίδων τὰ πολεμικὰ ἐπισάμενοι, βαθυτέρᾳ τε τῇ φάλαγγι ἐχρῶντο, καὶ τοὺς Μεσσηνίους ἤλπιζον οὔτε χρόνον

et post τὸ ἴσον vel inserendum vel supplendum est ἦν. *Messeniis in omnibus pariter aderat* et etc. Sed *Amaſ.* pro ἐς ἅπαντα verbum legisse videtur, vertens: *Messenios — incitabat.* Forte scriptum fuerit: Μεσσηνίοις δὲ ἀπήντα ἐς τὸ ἴσ. etc.

2) σεμνύνουσιν] In Cod. Casaub. hic conjecturas ἀκαμύνουσι vel ἀπομνημονεύουσι notatas esse, *Kuhn.* dicit. Nec infitiandum est, de auxilio patriae ferendo potius hic agi, quam de patria celebranda et exornanda. Quare equidem συναμύνουσιν scribendum esse suspicari ausim, licet ἀμύνειν rarius dativo jungatur.

3) τοῖς δρῶσι] *res gerentibus, pugnantibus. Amaſ.* τοῖς ζῶσι legisse videtur, quod *Kuhn.* probat. *Sylb.* mavult τοῖς ὀρῶσι. Sed vulgata his praeferenda; nam paullo supra ὀρᾷν et ἀντιδρᾷν de *pugnantibus* dicitur.

χρόνον τὸν ἴσον καρτερήσειν ἀντιτεταγμένους, οὔτε πρὸς τὸν ἐν τοῖς ὅπλοις κάματον, ἢ τὰ τραύματα ἀνθέξειν. Ἰδία μὲν τοιαῦτα ἐν ἑκατέρῳ τῷ στρατεύματι ἔς τε τὰ 2
ἔργα ἦν, καὶ ἐς τὰς γνώμας τῶν μαχομένων· κοινὰ δὲ ἐπ' ἀμφοτέρων [4]), οὔτε γὰρ ἱππείαις οἱ φονευόμενοι καὶ χρημάτων ὑποσχέσεσιν ἐχρῶντο, τάχα μέν που μὴ πείσειεν διὰ τὸ ἔχθος ἀπεγνωκότες, τὸ δὲ πλεῖστον ἀπαξιοῦντες, ὡς οὐ τὰ πρότερά γε κακιοῦσιν [5]). οἵ τε ἀποκτείναντες ἀπείχοντο καὶ αὐχήματος ὁμοίως καὶ ὀνειδῶν, οὐκ ἔχοντές πω βεβαίαν οὐδέτεροι τὴν ἐλπίδα, εἰ κρατήσουσι. παραδοξότερα δὲ ἀπέθνησκον οἱ τῶν κειμένων σκυλεύειν τινὰ ἐπιχειροῦντες. ἢ γὰρ τοῦ σώματος γυμνόν τι ὑποφήναντες ἠκοντίζοντο καὶ ἐτύπτοντο, οὐ προορώμενοι διὰ τὴν ἐν τῷ παρόντι ἀσχολίαν, ἢ καὶ ὑπὸ τῶν σκυλευομένων [6]) ἔτι ἐμπνεόντων διεφθείροντο. Ἐμάχοντο δὲ καὶ οἱ βα- 3
σιλεῖς ἀξίως λόγου. Θεόπομπος δὲ καὶ ἀκρατέστερον ὥρμητο ὡς αὐτὸν ἀποκτενῶν Εὔφαῆ. Εὔφαὴς δὲ ὀρῶν ἐπιόντα, εἶπεν ἄρα πρὸς τὸν Ἀντανδρον, οὐδὲν εἶναι τὰ Θεοπόμπου διάφορα ἢ ὁ πρόγονος αὐτοῦ Πολυνείκης ἐτόλμησε [7]). Πολυνείκην τε γὰρ στρατιὰν ἐπὶ τὴν

4) ἐπ' ἀμφοτέρων] Cod. M. ἀπ' ἀμφοτέρων.

5) τάχα μέν που μὴ πείσειεν — κακιοῦσιν] πείσειεν, quod corruptum esse, luculenter patet, minime, uti *Sylburg.* corrigit, cum πείσειαν vel πείσαιεν mutandum, sed, si quid sentio, scribendum est πείσειν, qui infinitiv. ab ἀπεγνωκότες pendet, et sententiam reddit planam: *forte quidem eos flectere ob odium desperantes, praecipue tamen illud dedignantes, ne priorā fortiter facta quasi damnarent* (seu *infamiae maculā aspergerent*, uti *Loescher.* et *Sylb.* interpretantur).

6) ὑπὸ τῶν σκυλ.] Cod. M. ἀπὸ τῶν σκυλ. Crebra, scilicet est harum vocum permutatio.

7) ἢ ὁ πρόγονος — ἐτόλμησε] Post ἢ excidit ἃ, et scribendum ἢ ἃ ὁ πρ. etc, uti et *Amas.* ista interpretatus est. Forte vituperandus sim, quod istam vocu-

πατρίδα ἀγαγόντα ἐξ Ἄργους ἀποκτεῖναι τὸν ἀδελφὸν αὐτοχειρὶ, καὶ ἀποθανεῖν ὑπὸ ἐκείνου, Θεόπομπόν τε ἐθέλειν ἐς τὸ ἴσον καταστῆσαι μιάσματος ἀπὸ Λαΐου [8]) καὶ Οἰδίποδος τὸ Ἡρακλειδῶν γένος· οὐ μέν τοι χαίροντά γε ἀπὸ τῆς μάχης διακριθήσεσθαι. τοιαῦτα ἐπιλέγων, ἀντεπῆκε καὶ οὗτος. ἐνταῦθα ἥ τε πᾶσα μάχη κεκμηκότων ὅμως ἐς τὸ ἀκμαιότατον αὖθις ἤρθη, καὶ τοῖς τε σώμασιν ἀνερρώννυντο, καὶ τὸ ἀφειδὲς ἐς τὸν θάνατον παρ' ἀμφοτέρων ηὐξάνετο, ὥστε εἰκάσαι ἄν τις τοῦ ἔργου τότε σφᾶς πρῶτον ἅπτεσθαι. τέλος οἱ [9]) περὶ τὸν Εὐφαῆ τῆς τε ἀπονοίας τῷ ὑπερβάλλοντι, μανίας ὄντες ἐγγύτατα, καὶ ὑπ' ἀνδραγαθίας (πᾶν γὰρ δὴ τὸ περὶ τὸν βασιλέα οἱ λογάδες τῶν Μεσσηνίων ἦσαν) βιάζονται τοὺς ἀντιτεταγμένους, καὶ αὐτὸν τὸν Θεόπομπον ἀπώσαντο, καὶ Λακεδαιμονίων τοὺς καθ' αὑτοὺς ἐτρέψαντο. τὸ δὲ ἕτερον κέρας τοῖς Μεσσηνίοις ἐταλαιπώρει, Πυθάρατός τε γὰρ [10]) ὁ στρατηγὸς ἐτεθνήκει, καὶ αὐτοὶ διὰ τὴν ἀναρχίαν ἀτακτότερον καὶ ἀθύμως εἶχον οὐδ' οὗτοι [11]). Φεύγουσι δὲ, οὔτε τοῖς Μεσσηνίοις ὁ Πολύδωρος, οὔτε οἱ περὶ τὸν Εὐφαῆ τοῖς Λακεδαιμονίοις ἠκολούθησαν. Εὐφαεῖ γὰρ καὶ τοῖς περὶ αὐτὸν αἰρετώ-

voculam non in textum receperim.

8) ἀπὸ Λαΐου etc.] Cod. M. τοῖς ἀπὸ etc. Bene. Sic τοῖς, quod a praecedente syllaba τος facile absorberi potuit, ab ἴσον pendet et oratio planior est.

9) τέλος οἱ] Cod. Mosc. τέλος δὲ οἱ. Haud male.

10) Πυθάρ. τε γὰρ] Reddidi γὰρ pro vulgata κῆ ex Cod. Mosc. et *Camerarii* lectione, re ipsa illud postulante.

11) κῆ αὐτοὶ — οὐδ' οὗτοι] Pro οὐδ', quod ipsi sententiae repugnat, *Loescher.* bene legit ἤδη. Forte locus hic etiam sanari possit, si post εἶχον interpungas, et οὕτω pro οὗτοι scribas: — εἶχον· οὐδ' οὕτω φεύγουσι δὲ, οὔτε etc.

αἱρετώτερα ἐφαίνετο ἀμύνειν τοῖς ἡττωμένοις· οὐ μέντοι Πολυδώρῳ γε οὐδὲ τοῖς περὶ αὐτὸν συμμίσγουσιν· ἐν σκότῳ γὰρ ἤδη τὰ γινόμενα ἦν. καὶ τοὺς Λακεδαιμονίους ἅμα εἶργε, μὴ πρόσω τοῖς ἀποχωροῦσιν ἑπακολουθεῖν, οὐχ ἥκιστα καὶ ἡ ἀπειρία τῶν τόπων. ἦν δὲ αὐτοῖς καὶ ἄλλως πάτριον σχολαιοτέρας τὰς διώξεις ποιεῖσθαι, μὴ διαλῦσαι τὴν τάξιν πλείονα ἔχοντας πρόνοιαν ἤ τινα ἀποκτεῖναι φεύγοντα. τὰ δὲ μέσα ἀμφοτέροις, ἦ Λακεδαιμονίων ὁ Εὐρυλέων, Μεσσηνίων δὲ Κλέοννις ἡγεῖτο, ἰσοπαλῶς μὲν ἠγωνίζοντο· διέλυσε δὲ ἀπ' ἀλλήλων καὶ τούτους ἐπελθοῦσα ἡ νύξ. Ταύτην τὴν μάχην παρ' ἀμφοτέρων ἥ μόνα ἥ μάλιστα ἐμαχέσαντο τὰ ὁπλιτικά. οἱ δὲ ἐπὶ τῶν ἵππων ὀλίγοι τε ἦσαν, καὶ οὐδὲν, ὥστε καὶ μνημονευθῆναι, διεπράξαντο. οὐ γάρ τοι ἀγαθοὶ τότε ἱππεύειν ἦσαν οἱ Πελοποννήσιοι. τῶν δὲ Μεσσηνίων οἱ ψιλοὶ, καὶ παρὰ Λακεδαιμονίοις Κρῆτες, οὐδὲ συνέμιξαν ἀρχήν· τῷ γὰρ πεζῷ τῷ σφετέρῳ κατὰ τρόπον ἔτι ἑκάτεροι τὸν ἀρχαῖον ἐπετάχθησαν. ἐς δὲ τὴν ἐπιοῦσαν μάχης μὲν οὐδέτεροι διενοοῦντο ἄρχειν, οὐδὲ ἰσάναι πρότεροι τρόπαιον. προϊούσης δὲ τῆς ἡμέρας, ὑπὲρ ἀναιρέσεως τῶν νεκρῶν ἐπεκηρυκεύοντο, καὶ, ἐπειδὴ παρ' ἀμφοτέρων συνεχωρήθη, θάψειν ἔμελλον ἤδη τὸ ἐντεῦθεν.

CAPUT IX.

Messenii post hanc pugnam calamitatibus afflicti in montem et urbem Ithomen secedunt — Delphos mittunt ad oraculum consulendum — ad oraculi effatum exsequendum virginem ex Aepytidarum genere quaerunt — Aristodemus filiam immolandam tradit, ac dein ipse illam interficit.

Τοῖς δὲ Μεσσηνίοις μετὰ τὴν μάχην πονηρὰ γίνεσθαι τὰ πράγματα ἤρχετο. δαπάνῃ τε γὰρ χρημάτων ἀπειρήκεσαν, ἀ τῶν πόλεων ἀνήλισκον ἐς τὰς Φρουράς, καὶ οἱ δοῦλοι πρὸς τοὺς Λακεδαιμονίους ηὐτομόλουν· τοῖς δὲ καὶ νόσος ἐνέπεσε· καὶ ταραχὰς μὲν παρέσχεν ὡς ἡ λοιμώδης [1]), οὐ μὴν ἐς ἅπαντάς γε ἐχώρησε. βουλευομένοις δὲ πρὸς τὰ πάροντα ἐδόκει, τὰ μὲν πολλὰ πολίσματα τὰ ἐς μεσόγαιαν πάντα ἐκλείπειν, ἐς δὲ τὸ ὄρος ἀνοικίζεσθαι τὴν Ἰθώμην. ἦν δὲ καὶ πόλισμα αὐτόθι οὐ μέγα, ὃ καὶ Ὁμηρόν φασιν ἔχειν ἐν καταλόγῳ [2]).

καὶ Ἰθώμην κλωμακόεσσαν.

ἐς τοῦτο τὸ πόλισμα ἀνῳκίζοντο, ἐπεκτείνοντες τὸν ἀρχαῖον περίβολον, ἔρυμα εἶναι πᾶσιν αὔταρκες. ἦν δὲ τὸ χωρίον καὶ ἄλλως ἐχυρόν· ἡ γὰρ Ἰθώμη μεγέθει τε οὐδενὸς ἀποδεῖ τῶν ὀρῶν, ὁπόσα ἐντός ἐστιν Ἰσθμοῦ, καὶ δύσβατος κατὰ τοῦτο μάλιστα ἦν. Ἐδόκει

1) παρίσχεν ὡς ἡ λοιμώδης] *Kuhn.* pro ὡς ἡ scribendum esse ὡσεὶ bene conjicit. Cod. Mosc. exhibet παρισχοῦσα δὲ ὡς ὁ etc. Forte vera lectio fuerit: νῷ ταραχὰς μὲν, παρασχοῦσα ὡσεὶ λοιμώδης etc.

2) Ὁμηρόν — ἐν καταλόγῳ] Il. B. v. 729. Pro κλωμακόεσσαν Cod. Mosc. exhibet κλιμακόεσσαν. Conf. Strabo L. IX. p. 668.

Ἐδόκει δὲ καὶ θεωρὸν πέμψαι σφίσιν ἐς Δελφούς. 2
ἀποστέλλουσιν οὖν Τίσιν τὸν Ἄλκιδος, καὶ ἀξιώματι
οὐδενὸς ὕστερον, καὶ ὅτι προσκεῖσθαι μαντικῇ μάλιστα
ἐνομίζετο. τοῦτον τὸν Τίσιν ἐπανιόντα ἐκ Δελφῶν
λοχῶσιν ἄνδρες Λακεδαιμονίων ἀπὸ τῆς ἐν Ἀμφείᾳ
Φρουρᾶς· λοχήσαντες δὲ (οὐ γὰρ ὑπεῖκεν αἰχμάλω-
τος γενέσθαι) περιμένοντα οὖν ἀμύνεσθαι καὶ ἀνθε-
στηκότα ἐτίτρωσκον· ἐς ὃ γίνεται βοὴ σφισιν ἐξ ἀφα-
νοῦς, Τὸν χρησμοφόρον μέθες. καὶ Τίσις μὲν, ὡς
ἀπεσώθη τάχιστα ἐς Ἰθώμην, καὶ τὴν μαντείαν παρὰ
τὸν βασιλέα ἀνήνεγκε, μετ' οὐ πολὺ ὑπὸ τῶν τραυ-
μάτων τελευτᾷ. τοὺς δὲ Μεσσηνίους συναθροίσας ὁ
Εὐφαὴς ἐπεδείκνυ τὸν χρησμόν [3]).

Κούρην [4]) ἄχραντον νερτέροισι δαίμοσι,
Κλήρῳ λαχοῦσαν Αἰπυτιδῶν [5]) ἀφ' αἵματος,
Θυηπολεῖτε νυκτέρουσιν ἐν σφαγαῖς.
Ἢν δὲ σφαγῇ τε, καὶ παρ' ἀλλοίου [6]), τότε
Θύειν, διδόντας ἐς σφαγὴν ἑκουσίως.

Ταῦτα τοῦ θεοῦ δηλώσαντος, αὐτίκα ἐκληροῦντο, ὅσαι 3
παρθένοι τοῦ Αἰπυτιδῶν γένους ἦσαν. καὶ ἐπελάμβανε

3) συναθροίσας — τὸν χρησμόν] Cod. Mosc. ἀθροίσας. In *Euseb.* de praep. evang. L. V. c. 27. p. 223. ed. Colon. hoc oraculum brevius his duobus versibus exhibetur:

Παρθένον Αἰπυτίδα κλῆρος καλεῖ, ἥντινα δοίης
Δαίμοσι νερτερίοις, καί κεν σώσειας Ἰθώμην.

4) Κούρην] Cod. Mosc. Κόρην, et mox Κλήρῳ omittit; pro νυκτέρουσιν ibi est νερτέροισιν.

5) Αἰπυτιδῶν] Vid. supra C. 3.

6) κεἰ παρ' ἀλλοίου] *Camer.* reposuit ἀλλοίου pro Ἀλλύου, quod in Aldina fuit, unde *Amas.* interpretatur *ad Hallyi undas.* Nec absimilis est lectio Cod. Mosc. ἀλύου. Ceterum ad horum posteriorum oraculi versuum sententiam planiorem reddendam *Goldhagen* in vers. germ. Paus. scribendum conjicit: χρὴ δ' ἂν σφαγῇ τε.

γὰρ Λυκίσκου θυγατέρα ὁ κλῆρος. ταύτην Ἐπήβολος [7]) ὁ μάντις ἀπηγόρευεν ὡς οὐ δέοι θύειν, οὐ γὰρ εἶναι Λυκίσκου, τὴν δὲ γυναῖκα, ἣ Λυκίσκῳ συνῴκησεν, ὡς τεκεῖν οὔκουν οἷά τε ἦν, ἐν τούτῳ τὴν παῖδα ὑποβάλλεσθαι [8]). ἐν ὅσῳ τε οὗτος ἀνεδίδασκε τὰ ἐς αὐτὴν, ἐν τόσῳ δὲ ὁ Λυκίσκος ἐπαγόμενος [9]) ἅμα
4 καὶ τὴν παρθένον ἠτομόλησεν ἐς Σπάρτην. Ἐχόντων δὲ ἀθύμως τῶν Μεσσηνίων, ὡς Λυκίσκον ἀποδράντα ἤσθοντο, ἐνταῦθά σφισιν Ἀριστόδημος ἀνὴρ καὶ γένους τοῦ Αἰπυτιδῶν [10]), καὶ Λυκίσκου τῇ τε ἄλλῃ δόξῃ, καὶ τὰ ἐς πόλεμον ἐπιφανέστερος, ἐδίδου τὴν θυγατέρα ἑκὼν θῦσαι. τὰ δὲ ἀνθρώπων [11]) οὐχ ἥκιστα τὸ πρόθυμον ἡ πεπρωμένη κατὰ ταυτὰ ἐπικρύπτει, καὶ ἡ ψηφῖδα ἐπιλαβοῦσα [12]) ἰλὺς ποταμοῦ· ὅπου καὶ τότε Ἀριστοδήμῳ διασώσασθαι Μεσσήνην ἀγώνισμα ποιου-
5 μένῳ τὸ ἐμπόδιον ἐπήγαγε τοιόνδε. Ἀνὴρ τῶν Μεσσηνίων (τὸ δὲ ὄνομα οὐ λέγουσιν) ἐρῶν ἔτυχε τοῦ Ἀριστοδήμου τῆς θυγατρὸς, τότε δὲ ἤδη ἔμελλε καὶ γυναῖκα ἕξεσθαι. οὗτος κατ' ἀρχὰς ἐς ἀμφισβήτησιν Ἀριστοδήμῳ προῆλθεν, ἐκεῖνον μὲν ἐγγυήσαντά οἱ μηκέτι εἶναι κύριον τῆς παιδὸς, αὐτὸς δὲ ἐγγυησάμενος κυριώτερος ἐκείνου γίνεσθαι. δεύτερα δὲ ὡς τοῦτο οὐχ ἑώρα

7) Ἐπήβολος] Cod. Mosc. Ἐπίβολος.

8) ὑποβάλλεσθαι] Cod. M. ὑποβαλέσθαι. Haud male.

9) ἐπαγόμενος] Forte scribendum sit ἀπαγόμενος, uti in Cod. Caf jam adnotatum est. Sed ἐπαγ. si jungatur verbis ἐς Σπάρτην, sententiae recte convenit.

10) γένους τοῦ Αἰπ.] Vulgata γένος nimis dura fuit, quam ut ferri posset; quare ex *Sylb.* emendatione γένους recepi; uti illud paullo infra est et C. 15.

11) τὰ δὲ ἀνθρ.] *in rebus humanis.* Attamen planior est sententia, si pro τὰ scribas τό, uti *Sylb.* recte monuit.

12) ἐπιλαβοῦσα] Cod. Mosc. ἐπιβαλοῦσα.

ἑώρα οἱ κατορθούμενον, ἐπ᾽ ἀναίσχυντον τρέπεται λόγον, συγγενέσθαι τε τῇ παιδὶ, καί τε κυεῖν [13]) ἐξ αὐτοῦ. τέλος δὲ ἐς τοσοῦτον Ἀριστόδημον προήγαγεν, ὡς ἐκμανέντα ὑπὸ τοῦ θυμοῦ τὴν θυγατέρα ἀποκτεῖναι. μετὰ δὲ ἀνέτεμνε, καὶ ἐπεδείκνυεν αὐτὴν οὐκ ἔχουσαν ἐν γαστρί. παρὼν δὲ Ἐπήβολος ἐκέλευεν ἄλλον τινὰ τὸν θυγατέρα ἐπιδώσοντα γενέσθαι· τῆς γὰρ τοῦ Ἀριστοδήμου πλέον εἶναί σφισιν ἀποθανούσης οὐδέν [14]). φονεῦσαι γὰρ τὸν πατέρα αὐτὴν, θεοῖς δὲ, οἷς ἡ Πυθία προσέταξεν, οὐ θῦσαι. τοιαῦτα εἰπόντος τοῦ μάντεως, τὸ πλῆθος τῶν Μεσσηνίων ὥρμησεν ἀποκτενοῦντες τὸν μνηστῆρα τῆς παιδὸς, ὡς Ἀριστοδήμῳ τε μίασμα εἰκαῖον [15]) προσάψαντα, καὶ σφίσι τῆς σωτηρίας τὴν ἐλπίδα ἀμφίβολον πεποιηκότα. ἦν δὲ ὁ ἀνὴρ οὗτος ἐς τὰ μάλιστα τῷ Εὐφαεῖ φίλος. πείθει τοὺς Μεσσηνίους Εὐφαὴς, τόν τε χρησμὸν ἔχειν τέλος, ἀποθανούσης τῆς παιδὸς, καὶ σφίσιν ἀποχρᾶν τὰ ὑπὸ Ἀριστοδήμου πεποιημένα. λεγοντος δὲ ταῦτα, ἔφασαν τὰ ὄντα λέγειν, ὅσοι τοῦ Αἰπυτιαδῶν [16]) γένους ἦσαν· ἀπεῖναι γάρ σφισι τὸ δέος τὸ ἐπὶ τῇ θυγατρὶ ἕκαστός τε ἔσπευδε, καὶ οἱ μὲν τοῦ βασιλέως τῇ παραινέσει πειθόμενοι τὴν ἐκκλησίαν διαλύουσι, καὶ ἀπ᾽ αὐτῆς πρός τε θυσίας καὶ θεῶν ἑορτὴν τρέπονται.

13) καί τε κυεῖν] Cod. M. καὶ κυεῖν. Bene.

14) πλέον εἶναί — οὐδέν] De hac dictione vid. not. ad L. I. C. 10.

15) εἰκαῖον] *temerarium. Amas.* legisse videtur οἰκεῖον interpretatus *parricidium.*

16) Αἰπυτιαδῶν] Ita et infra scribitur C. 15.; in superioribus fuit Αἰπυτιδῶν. Duplex scilicet hujusmodi verborum obvia est forma; sic Ἀγίδαι et Ἀγιάδαι, Βακχίδαι et Βακχιάδαι etc.

CAPUT X.

Sexto anno post Lacedaemonii contra Ithomen exercitum ducunt — cum Messeniis aequo Marte pugnant — in hac pugna Euphaës, rex Messen., vulneribus confectus moritur — Aristodemus rex a Messeniis electus bellum continuat.

Λακεδαιμόνιοι δὲ ἀκούσαντες τὸν γενόμενον Μεσσηνίοις χρησμὸν ἀθύμως διέκειντο καὶ αὐτοὶ, καὶ οἱ βασιλεῖς, ἔς τε τὰ λοιπὰ καὶ ἄρχειν ὀκνοῦντες μάχης.

Ἔτει δὲ ἕκτῳ [1]) μετὰ τὸν ἐξ Ἰθώμης Λυκίσκου δρασμὸν οἱ Λακεδαιμόνιοι (τὰ γὰρ ἱερὰ ἐγίνετο αὐτοῖς αἴσια) στρατεύουσιν ἐπὶ τὴν Ἰθώμην. οἱ δὲ Κρῆτες οὐκέτι παρόντες σφίσιν ἔτυχον· ὑστέρησαν δὲ καὶ οἱ τῶν Μεσσηνίων σύμμαχοι. δι' ὑποψίας γὰρ οἱ Σπαρτιάται καὶ ἄλλοις ἤδη Πελοποννησίων, καὶ Ἀρκάσιν ἦσαν καὶ Ἀργείοις μάλιστα. καὶ οἱ μὲν Ἀργεῖοι κρύφα ἔμελλον τῶν Λακεδαιμονίων ἀφίξεσθαι, καὶ ἰδίᾳ δὴ μᾶλλον μετὰ [2]) δόγματος κοινοῦ· τοῖς δὲ Ἀρκάσιν ἡ στρατεία μὲν ἀπείρητο [3]) ἐκ τοῦ φανεροῦ· παρέστυχον δὲ οὐδ' οὗτοι. τοὺς γὰρ Μεσσηνίους καὶ ἄνευ συμμάχων κινδυνεῦσαι προήγαγεν ἡ δόξα τοῦ
2 χρησμοῦ. Τὰ μὲν οὖν πολλὰ οὐδέν τι ἐγένετο διάφορα, ἢ καὶ ἐπὶ τῆς προτέρας μάχης· ἥ τε ἡμέρα καὶ τότε

1) ἕκτῳ] *Amaſ.* vertit *octavo*, ideoque ἑβδόῳ legiſſe videtur.

2) Μᾶ δὴ μᾶλλον μετὰ etc.] Poſt μᾶλλον inſerendum eſſe ἤ, quod excidit, *Kuhn.* recte monuit, ſententia illud flagitante.

3) ἀπείρητο] Non vulgatus hujus vocis ſignificatus, ſed paullo inſolentior hic locum habet; interpretandum enim: (expeditio) *indicta erat.* Sed forte οὐκ excidit, et ita ſcribendum eſt: ἀπείρητο οὐκ ἐκ. φ.

τότε μαχομένους προαπέλιπεν. οὐ μέν τοι βιασθῆναί γε οὐδέτερον κέρας, ἢ καὶ λόχον μνημονεύουσιν. ἐπεὶ μηδὲ τὴν τάξιν, ὡς ἀπ' ἀρχῆς ἐτάχθησαν, συμμεῖναί φασιν, ἀλλ' ἀφ' ἑκατέρων τοὺς ἀρίστους συνελθόντας ἐς τὸ μεσαίτατον, ἐνταῦθα τὸν πάντα ἔχειν πόνον. ὁ γὰρ Εὐφαὴς πλέον τι, ἢ βασιλέα εἰκὸς ἦν, προθυμούμενος, καὶ ἀφειδῶς τοῖς περὶ τὸν Θεόπομπον ἐγκείμενος, τραύματά τε πολλὰ καὶ οὐκ ἰάσιμα [4]) λαμβάνει. λειποψυχήσαντα δὲ αὐτὸν καὶ πεσόντα οἱ Λακεδαιμόνιοι καὶ ὀλίγον ὅμως ἐμπνέοντα ἐποιοῦντο παρ' αὐτοὺς ἑλκύσαι σπουδήν. ἐπήγειρε δὲ καὶ τοὺς Μεσσηνίους ἥ τε ἐς τὸν Εὐφαῆ [5]) προϋπάρχουσα εὔνοια καὶ τὰ ὀνείδη τὰ μέλλοντα· φονευομένοις τε ὑπὲρ τοῦ βασιλέως ἄμεινόν σφισιν ἐφαίνετο προΐεσθαι τὰς ψυχάς, ἢ ἐκεῖνον προεμένων [6]) ἀποσωθῆναί τινα. Τότε μὲν δὴ πεσὼν ὁ Εὐφαὴς τήν τε μάχην ἐπεμήκυνε καὶ προήγαγεν ἐς πλέον παρὰ ἑκατέρων τὰ τολμήματα· ὕστερον δὲ ἀνήνεγκε μέν, καὶ ἤσθετο, ὅτι οὐκ ἔλαττον ἐσχήκασιν ἐν τῷ ἔργῳ, ἡμέραις δὲ οὐ πολλαῖς ἀποθνήσκει, βασιλεύσας Μεσσηνίων τρία ἔτη καὶ δέκα, καὶ πολεμήσας Λακεδαιμονίοις τὸν πάντα τῆς βασιλείας χρόνον. Εὐφαεῖ δὲ οὐκ ὄντων παιδίων, τὸν αἱρεθέντα ὑπὸ τοῦ δήμου κατελείπετο ἔχειν τὴν ἀρχήν. Κλεόννίς τε καὶ Δᾶμις ἐς ἀμφισβήτησιν Ἀριστοδήμῳ προῆλθον, τά τε ἄλλα καὶ τὰ ἐς πόλεμον διαφέρειν νομιζόμενοι. τὸν δὲ Ἀνταν̃δρον οἱ πολέμιοι κατειργάσαντο 3 4

4) τραύματά τε πολλὰ καὶ οὐκ ἰάσιμα] Sic ex Cod. Mosc. et Camerar. lectione reſcripſi pro vulgatis τ. τε καὶ πολλά τε οὐκ ἰάσιμα.

5) ἐς τὸν Εὐφ.] Cod. Mosc. πρὸς τὸν Εὐφ.

6) ἐκεῖνον προεμ.] Vulgatum fuit ἐκείνων, pro quo ex *Kuhnii* conjectura ἐκεῖνον reponere, non haesitandum putavi.

σαντο ἐν τῇ μάχῃ, προκινδυνεύοντα Εὐφαοῦς. ἦσαν δὲ καὶ τῶν μάντεων αἱ γνῶμαι κατὰ ταῦτα [7]) ἀμφοτέρων, Ἐπηβόλου καὶ Ὀφιονέως, μὴ σφᾶς ἀνδρὶ ἐναγεῖ καὶ θυγατρὸς μίασμα ἐπικειμένῳ δοῦναι τὴν Λίπύτου καὶ τῶν ἀπογόνων τιμήν. ἡρέθη δὲ ὅμως καὶ ἐβασίλευσεν Ἀριστόδημος. ὁ δὲ Ὀφιονεὺς οὗτος ὁ τῶν Μεσσηνίων μάντις, τυφλὸς ὢν εὐθὺς ἐκ γενετῆς, μαντικήν τινα εἶχε τοιαύτην. πυνθανόμενος τὰ γινόμενα, ἑπάξοις ἰδίᾳ τε καὶ ἐν κοινῷ προέλεγεν οὕτω τὰ μέλλοντα. οὗτος μὲν τρόπον ἐμαντεύετο τὸν εἰρημένον. Ἀριστόδημος δὲ βασιλεύσας, τῷ τε δήμῳ διέμεινε τὰ εἰκότα χαρίζεσθαι προθυμούμενος, καὶ τοὺς ἐν τέλει τούς τε ἄλλους καὶ μάλιστα Κλέοννιν καὶ Δᾶμιν ἦγεν ἐν τιμῇ. διὰ θεραπείας δὲ εἶχε καὶ τὰ τῶν συμμάχων, Ἀρκάδων τε τοῖς δυνατοῖς, καὶ ἐς Ἄργος καὶ ἐς Σικυῶνα ἀποστέλλων δῶρα. τὸν δὲ πόλεμον ἐπὶ τῆς Ἀριστοδήμου βασιλείας ἐπολέμουν, λῃστείαις τε κατ' ὀλίγους ἀεὶ [8]) καὶ περὶ τὴν ὡραίαν [9]) καταδρομαῖς ἐς τὴν Ἑλλήνων [10]) χρώμενοι. Συνεστέβαλλον δὲ καὶ παρὰ τῶν Ἀρκάδων τοῖς Μεσσηνίοις ἐς τὴν Λακωνικήν. Ἀργεῖοι δὲ προαναφῆναι μὲν τὸ ἐς τοὺς Λακεδαιμονίους ἔχθος οὐκ ἠξίουν, γινομένου δὲ ἀγῶνος, παρεσκευάζοντο ὡς μεθέξοντες.

7) κατὰ ταῦτα] *quod ad haec attinet. Sylb.* mavult κατὰ ταυτά, *utriusque vatis eadem fuit sententia.*

8) κατ' ὀλίγους ἀεὶ] Cod. M. κατ' ὀλίγοι αἰεί.

9) περὶ τὴν ὡραίαν] Amas. *sub ipsa messis tempora.* Sed inusitata est vox ἡ ὡραία, et de mendo hic suspicari haud temerarium esse videtur. Forte scriptum fuerit περὶ τὴν ὀρείαν, *circa regionem montanam.*

10) ἐς τὴν Ἑλλήνων] Merito praeferenda est lectio *Camerar.* ἐς τὴν ἀλλήλων. Saepius voces Ἑλλήνων et ἀλλήλων ob litterarum affinitatem inter se permutatae deprehenduntur, uti L. V. C. 4., L. X. C. 10.

CAPUT

CAPUT XI.

Quinto anno regni Ariſtodemi Lacedaemoniis et Meſſeniis ſocii auxilio veniunt, et ſic proelium committitur — de hoc proelio, quo Lacedaemonii fugantur, narratio.

Πέμπτῳ δὲ ἔτει τῆς Ἀριστοδήμου [1]) μελλόντων ἐκ προῤῥήσεως [2]) συμβολὴν ποιήσεσθαι (τῷ τε γὰρ μήκει τοῦ πολέμου καὶ τοῖς δαπανήμασιν ἀπειρήκεσαν) οὕτω παρεγένοντο ἀμφοτέροις καὶ οἱ σύμμαχοι· Λακεδαιμονίοις μὲν Κορίνθιοι, Πελοποννησίων μόνοι· τοῖς δὲ Μεσσηνίοις οἵ τε Ἀρκάδες πανστρατιᾷ, καὶ Ἀργείων καὶ Σικυωνίων λογάδες. Λακεδαιμόνιοι μὲν οὖν Κορινθίοις καὶ τοῖς εἵλωσι καὶ ὅσοι περίοικοι συνεστρατεύοντο, τὸ μέσον ἐπιτρέψαντες, ἐπὶ τοῖς κέρασιν αὐτοί τε καὶ οἱ βασιλεῖς ἐτάσσοντο, βαθεῖα τε ὡς οὔπω πρότερον καὶ πυκνῇ τῇ φάλαγγι. τῷ δὲ Ἀριστοδήμῳ καὶ τοῖς περὶ αὐτὸν διετάχθη τὰ ἐς τὴν μάχην οὕτω. ὅσοι τῶν Ἀρκάδων ἢ τῶν Μεσσηνίων τὰ μὲν σώματα ἦσαν ἐῤῥωμένοι καὶ ἀγαθοὶ τὰς ψυχάς, ὅπλα δὲ οὐκ εἶχον ἰσχυρά, τούτοις τῶν ὅπλων τὰ χρησιμώτατα ἐπέλεξε, καὶ ὡς τὸ ἔργον ἤπειγεν, ὁμοῦ τοῖς Ἀργείοις καὶ Σικυωνίοις καὶ τούτοις [3]) ἔτασσε· τὴν δὲ φάλαγγα ἐπὶ πλέον ἤπλωσεν, ὡς μὴ κυκλωθεῖεν ὑπὸ τῶν ἐναντίων. προείδετο δὲ καὶ, ὅπως τεταγμένοις

1) τῆς Ἀριστοδήμου] ſcil. βασιλείας, quae vox num exciderit, an elliptica ratione ſupplenda ſit, disceptare non auſim.

2) ἐκ προῤῥήσεως] *ex edicto, proclamatione.* Προεῖδεν de iis dicitur, qui *proclamando aliquid edicunt, denuntiant;* de quo ſignificatu vid. Valkenar. ad Herodot. L. III. ſ. 61. p. 227. n. 21.

3) καὶ τούτοις] Mallem cum *Sylburgio* καὶ τούτους.

νοις σφίσι τὸ ὄρος ἡ Ἰθώμη κατὰ νώτου γίνοιτο. καὶ τούτοις μὲν Κλέοννιν ἐπέταξεν ἡγεμόνα, αὐτὸς δὲ καὶ ὁ Δᾶμις ὑπέμενον ἔχοντες τοὺς ψιλούς, σφενδονήτας μὲν ἢ τοξότας ὀλίγους· ὁ δὲ ὄχλος ὁ πολὺς τοῖς τε σώμασιν ἦσαν ἐς τὰς ἐπιδρομὰς καὶ ἀναχωρήσεις ἐπιτήδειοι, καὶ τῇ ὁπλίσει κοῦφοι· θώρακα γὰρ ἢ ἀσπίδα εἶχεν ἕκαστος. ὅσοι δὲ ἠπόρουν τούτων, περιεβεβλήντο αἰγῶν νάκας καὶ προβάτων, οἱ δὲ καὶ θηρίων δέρματα, καὶ μάλιστα οἱ ὀρεινοὶ τῶν Ἀρκάδων, λύκων τε καὶ ἄρκτων. ἀκόντια δὲ ἕκαστος πολλὰ, 2 οἱ δὲ καὶ λόγχας αὐτῶν ἔφερον. Οὗτοι μὲν ἐλόχων τῆς Ἰθώμης ἐνθα ἔμελλον ἥκιστα ἔσεσθαι σύνοπτοι. οἱ δὲ ὁπλῖται τῶν Μεσσηνίων καὶ συμμάχων τήν τε ἔφοδον τὴν πρώτην τῶν Λακεδαιμονίων ὑπέμειναν, καὶ μετὰ τοῦτο ἦσαν ἤδη καὶ τὰ ἄλλα ἀνδρεῖοι. ἀριθμῷ μὲν δὴ τῶν ἐναντίων ἀπελείποντο, λογάδες δὲ ὄντες ἐμάχοντο πρὸς δῆμον καὶ οὐχ ὁμοίως πρὸς κρείττους· ἢ καὶ μᾶλλον τῇ τε ἄλλῃ προθυμίᾳ καὶ ταῖς ἐμπειρίαις ἐπὶ πολὺ ἀντεῖχον. ἐνταῦθα καὶ ὁ στρατὸς τῶν Μεσσηνίων ὁ εὐζωνος, ἀφ' οὗ καὶ τούτοις ἤρθη τὰ σημεῖα, ἐχρῶντο [4]) ἐπὶ τοὺς Λακεδαιμονίους δρόμῳ, καὶ περισάντες ἠκόντιζον ἐς τὰ πλάγια. ὅσοις δὲ καὶ ἐπὶ πλέον μετῆν τόλμης, προσέθεόν τε καὶ ἔτυπτον ἐκ χειρός. Οἱ δὲ Λακεδαιμόνιοι, κίνδυνόν σφισι δεύτερον ἐν τῷ αὐτῷ, καὶ οὕτως ἀνέλπιστον ὁρῶντες παρόντα, ὅμως οὔτε ἐταράχθησαν [5]), ἐπιστρεφόμενοί τε ἐς τοὺς ψιλοὺς, ἀμύνεσθαι μὲν ἐπειρῶντο· διὰ δὲ τὴν κουφότητα οὐ χαλεπῶς ἀποφευγόντων, ἀπορίᾳ τοῖς Λακεδαιμο-

4) κἀ ὁ στρατὸς—ἐχρῶντο etc.] Vid. not. ad C. 5. v. μετέτησεν.

5) οὔτε ἐταράχθησαν] *Kuhn.* hic emendat οὔ τι ἐταρ. Sed οὔτε respondere videtur subsequenti ἐπιστρεφόμενοί τε.

δαιμονίοις, καὶ ἀπ' αὐτῆς ἤδη καὶ ὀργὴ γίνεται. πεφύκασι δέ πως οἱ ἄνθρωποι μάλιστα ἔχειν ἀκρατῶς πρὸς τὰ παρ' ἀξίαν. Καὶ δὴ καὶ τότε οἵ τε ἤδη τραύματα τῶν Σπαρτιατῶν εἰληφότες, καὶ ὅσοι κειμένων τῶν Σπαρτιατῶν[6]) ἐγίγνοντο πρὸς τὴν ἔφοδον τῶν ψιλῶν πρῶτοι, προεξέθεόν τε, ὁπότε ἴδοιεν ἐπιφερομένους τοὺς ψιλούς, καὶ ὑπὸ θυμοῦ μακροτέρας τὰς διώξεις ἐποιοῦντο ἀποχωρούντων. οἱ δὲ ψιλοὶ τῶν Μεσσηνίων ὡς τὸ πρῶτον ἤρξαντο, κατὰ χώραν τε μένοντας ἔτυπτον καὶ ἐσηκόντιζον, καὶ διωκόντων ἔφθανον ἀποφεύγοντες, καὶ πειρωμένοις ἀναστρέφειν αὖθις ἐπῄεσαν. ταῦτα δὲ ἔδρων σποράδην, καὶ ἄλλοι κατ' ἄλλο τῆς τῶν ἐναντίων τάξεως· οἵ τε ὁπλῖται τῶν Μεσσηνίων καὶ συμμάχων θρασύτερον ἐν τῷ τοιῷδε τοῖς κατὰ στόμα αὐτῶν ἐπέκειντο. Τέλος δὲ οἱ Λακεδαιμόνιοι τῷ τε χρόνῳ καὶ τοῖς τραύμασιν ἀπαγορεύοντες, καὶ ἅμα παρὰ τὸ εἰωθὸς ὑπὸ τῶν ψιλῶν ταρασσόμενοι, διαλύουσι τὴν τάξιν. τραπέντων δὲ ἐνταῦθα, σφίσι πλείω παρεῖχον κακὰ οἱ ψιλοί. τοὺς δὲ τῶν Λακεδαιμονίων διαφθαρέντας ἐν τῇ μάχῃ συλλαβεῖν μὲν οὐχ οἷά τε ἦν ἀριθμῷ· πείθομαι δὲ εἶναι καὶ αὐτοὺς πολλούς. ἡ δὲ οἴκαδε ἀναχώρησις τοῖς μὲν ἄλλοις καθ' ἡσυχίαν, Κορινθίοις δὲ ἔμελλεν ἔσεσθαι χαλεπή· διὰ πολεμίας γὰρ ἐγίνετο, ὁμοίως διά τε τῆς Ἀργείας πειρωμένοις καὶ παρὰ Σικυῶνα ἀνασωθῆναι.

3

6) κηὶ ὅσοι κειμένων τ. Σπαρτιατῶν etc.] *Sylburgii* explicatio vocis κειμένων, *ordinati, dispositi*, οἱ διατεθειμένοι, ab ejus usu et significatu prorsus abhorret; nec praestat *Kuhnii* interpretatio, *caesi humique jacentes, quibus succedebant alii.* κειμένων corruptum esse, cum ex ipsa sententia apparet, tum ex *Amasaei* interpretatione, qui veram lectionem servavit, vertens: *ceteris locum suum retinentibus.* Scilicet scribendum est: κηὶ ὅσοι ἐκεῖ μενόντων τῶν Σπαρτιατῶν etc., *et qui ex Spartanis locum suum obtinentibus primi* etc. Sic paullo infra est κατὰ χώραν τε μένοντας.

CAPUT

CAPUT XII.

Lacedaemonii hac pugna perculsi oraculum Delphicum consulunt — a Messeniis socios abducere studeut — Messenii quoque Delphicum oraculum consulunt — Lyciscus, qui Spartam aufugerat, ab Arcadibus capitur, et absolvitur — Messenii denuo Delphos mittunt ad Pythiam de belli eventu consulendam — Pythiae effatum Spartanis indicatur, qui Oebalo auctore fraudulenter in illo exsequendo praevertunt — Ophioneus, vates coecus, visum recipit.

Λακεδαιμονίους δὲ ἐλύπει μὲν καὶ τὸ γεγονὸς πταῖσμα τεθνεώτων ἐν τῇ μάχῃ πολλῶν τε καὶ ἀξίων λόγου. παρίστατο δὲ καὶ ἐς τὴν πᾶσαν ἐλπίδα τοῦ πολέμου σφίσιν ἀθύμως ἔχειν, καὶ διὰ τοῦτο θεωροὺς ἀποστέλλουσιν ἐς Δελφούς. τούτοις ἐλθοῦσιν ἡ Πυθία χρᾷ τάδε [1]).

Οὔ σε μάχης μόνον ἔργ' ἐφέπειν χερὶ Φοῖβος ἄνωγεν,
Ἀλλ' ἀπάτῃ μὲν ἔχει λείαν Μεσσηνίδα λαὸς [2]),
Ταῖς δ' αὐταῖς τέχναισιν ἁλώσεται, αἵσπερ ὑπῆρξεν.

πρὸς ταῦτα τοῖς βασιλεῦσι καὶ τοῖς ἐφόροις τέχνας μὲν προθυμουμένοις, οὐκ ἐγίνετο [3]) ἀνευρεῖν. οἱ δὲ Ὀδυσσέως τὸ ἔργον ἀπομιμούμενοι τὸ ἐπὶ Ἰλίῳ, πέμπουσιν

1) ἡ πυθία χρᾷ τάδε] *Euseb.* praep. evang. L. V. f. 27. p. 223. ed. Colon. hoc oraculum exhibet, ut mihi quidem videtur, paullo emendatius.

2) λείαν Μεσσηνίδα λαὸς] *Amas.* pro λείαν legit γαῖαν, uti etiam *Euseb.* l. c., qui porro pro λαὸς exhiber ἄλλος, et τέχναις τις pro τέχναισιν.

3) ἐγίνετο] Cod. Mosc. ἐγίνοντο, et mox pro τὸ ἔργον haud male dat τῶν ἔργων. Locus Homeri, qui tangitur, esse videtur Odyss. Δ. v. 255. sq.

πουσιν ἄνδρας ἑκατὸν ἐς Ἰθώμην συνιδόντας, ἃ μηχανῶνται, λόγῳ δὲ αὐτομόλους. ἦν δὲ καὶ Φυγὴ τῶν ἀνδρῶν ἐκ τοῦ Φανεροῦ κατεγνωσμένη. τούτους ἥκοντας ἔπεμπεν [4]) αὐτίκα Ἀριστόδημος, Λακεδαιμονίων Φήσας τὰ ἀδικήματα καινὰ εἶναι, τὰ δὲ σοφίσματα ἀρχαῖα. Ἁμαρτόντες δὲ οἱ Λακεδαιμόνιοι τοῦ ἐγχειρήματος, δεύτερα ἐπειρῶντο τῶν Μεσσηνίων διαλῦσαι τὸ συμμαχικόν. ἀντειπόντων δὲ τῶν Ἀρκάδων (παρὰ γὰρ τούτοις πρότερον ἀφίκοντο οἱ πρέσβεις), οὕτω τὴν ἐπ' Ἄργος ἐπέσχον πορείαν. Ἀριστόδημος δὲ πυνθανόμενος τὰ πρασσόμενα ὑπὸ τῶν Λακεδαιμονίων, πέμπει καὶ αὐτὸς ἐρησομένους τὸν θεόν. ἡ δὲ Πυθία σφίσιν ἔχρησε· 2 3

Κῦδός σοι πολέμοιο δίδοῖ θεός· ἀλλ' ἀπάτῃσι
Φράζου, μὴ Σπάρτης δόλιος λόχος ἐχθρὸς ἀνέλθῃ
Κρείσσων. εἰ γὰρ [5]) Ἄρης κείνων εὑήρεα τεύχη,
Καί τε χορῶν στεφάνωμα πικροὺς οἰκήτορας ἕξει,
Τῶν δύο συντυχίαις κρυπτοῦ λόχου ἐξαναδύντων.
Οὐ πρόσθεν δὲ τέλος τόδ' ἐπόψεται ἱερὸν ἦμαρ,
Πρὶν τὰ πάραλλα φύσιν τόξαν χρεὼν ἀφίκηται.

τότε

4) ἔπεμπεν] *Kuhn.* bene emendat ἀπέπεμπεν.

5) εἰ γὰρ] *Kuhn.* corrigit καὶ γὰρ, et καὶ τειχῶν pro καί τε χορῶν, nec non in fine oraculi φύσιν τόξαν mutandum censet cum φύσις δόξαν. Quae omnia sic interpretatur: *Namque Mars illorum bene compacta arma, et murorum corona acerbos incolas habebit, quum duo simul ex occultis latebris prorumpent. Sed hunc finem non ante videbit sacra dies, quam*

τότε μὲν δὴ Ἀριστόδημος καὶ οἱ μάντεις ἀπείρως εἶχον συμβάλλεσθαι τὸ εἰρημένον· ἔτεσι δὲ ὕστερον οὐ πολλοῖς ἀναφαίνειν τε καὶ ἐς τέλος ἔξειν ἔμελλεν ὁ θεός [6]).

4 Ἕτερα δὲ ἐν τῷ τότε τοῖς Μεσσηνίοις συνέβαινε τοιαῦτα. Λυκίσκου [7]) μετοικοῦντος ἐν Σπάρτῃ τὴν θυγατέρα ἐπέλαβεν ἀποθανεῖν, ἣν ἅμα ἀγόμενος ἔφυγεν ἐκ Μεσσήνης. πολλάκις δὲ αὐτὸν φοιτῶντα ἐπὶ τὸ μνῆμα τῆς παιδὸς λοχήσαντες ἱππεῖς τῶν Ἀρκάδων αἱροῦσιν. ἀναχθεὶς δὲ ἐς τὴν Ἰθώμην καὶ ἐς ἐκκλησίαν καταςὰς ἀπελογεῖτο, ὡς οὐ προδιδοὺς τὴν πατρίδα ἀποχωρήσαι, πειθόμενος δὲ τοῖς ῥηθεῖσιν ὑπὸ τοῦ μάντεως εἰς τὴν παῖδα ὡς οὖσαν οὐ γνησίαν. ταῦτα ἀπολογούμενος, οὐ πρότερον ἔδοξεν ἀληθῆ λέγειν, πρὶν ἢ παρῆλθεν εἰς τὸ θέατρον ἡ τὴν ἱερωσύνην τότε τῆς Ἥρας ἔχουσα. αὕτη δὲ τεκεῖν τε τὴν παῖδα ὡμολόγει, καὶ τῇ Λυκίσκου γυναικὶ ὑποβαλέσθαι δοῦναι. νῦν δὲ, ἔφη, τό τε ἀπόῤῥητον ἐκφαίνουσα [8]) ἥκω, καὶ παύσουσα ἐμαυτὴν ἱερουμένην. ταῦτα δὲ ἐλέγετο, ὅτι ἦν ἐν τῇ Μεσσήνῃ καθεσηκὸς, ἢν γυναικὸς ἱερουμένης ἢ καὶ ἀνδρὸς προαποθάνῃ τις τῶν παίδων, ἐς ἄλλον τὴν ἱερωσύνην μεταχωρεῖν. νομίζοντες οὖν τὴν γυναῖκα ἀληθῆ λέγειν, τῇ θεῷ τε εἵλοντο ἱερατευσομένην ἀντ' ἐκείνης, καὶ Λυκίσκον συγγνωσὰ

5 ἔφασαν εἰργάσθαι [9]). Μετὰ δὲ ταῦτα ἐδόκει σφίσι (καὶ

quam vice versa natura ad decretum fatum redierit. Sylb. pro τόξων conjecit τὸ πάροιθε.

6) ἔτεσι — καὶ ἐς τέλος ἔξειν ἔμελλεν ὁ θεός] Vid. infra C. 13., ubi ipsa Messeniorum interpretatio oraculi legitur. Pro ἔξειν *Kuhn.* bene emendat ἄξειν, *ad finem ducturus erat.*

7) Λυκίσκου] Vid. supra C. 9.

8) ἐκφαίνουσα] Cod. Mosc. ἐμφαίνουσα. Mox pro ἱερουμένην et ἱερουμένης *Kuhn.* mavult ἱερωμ., quae verbi forma Pausaniae est usitatior.

9) εἰργάσθαι] Cod. Mosc. εἰργά-

(καὶ γὰρ εἰκοστὸν ἔτος ἐπήει τῷ πολέμῳ) πέμπειν αὖθις ἐς Δελφοὺς ἐρησομένους ὑπὲρ νίκης. ἐρησαμένοις δὲ ἔχρησεν ἡ Πυθία·

Τοὺς τρίποδας περὶ βωμὸν Ἰθωμάτα Διὶ πρώτως
Στήσασι δεκάδων ἀριθμὸν δὶς πέντε, δίδωσι
Σὺν κύδει πολέμου γαῖαν Μεσσηνίδα δαίμων.
Ζεὺς γὰρ ἔνευσ' οὕτως. ἀπάτη δέ σε πρόσθε τίθησιν [10]),
Ἥ τ' ὀπίσω τίσις ἐστὶ, καὶ ἔνθεον ἐξαπατῶσα [11]).
Ἔρδ', ὅππῃ [12]) τὸ χρεών. ἄτη δ' ἄλλοισι πρὸ ἄλλων.

ταῦτ' ἀκούσαντες, γεγονέναι τε ἡγοῦντο ὑπὲρ αὐτῶν τὴν μαντείαν, καὶ σφίσι διδόναι τοῦ πολέμου κράτος. οὐ γὰρ, αὐτῶν γε ἐχόντων ἐντὸς τείχους τοῦ Ἰθωμάτα τὸ ἱερὸν, Λακεδαιμονίους προτέρους ἀναθέντας φθήσεσθαι. καὶ οἱ μὲν ξυλίνους κατασκευάσασθαι τρίποδας ἔμελλον· οὐ γάρ σφισι περιῆν χρήματα, ὡς χαλκοῦς ποιήσασθαι. Τῶν δέ τις Δελφῶν τὸν χρησμὸν ἐξήγγειλεν ἐς Σπάρτην. πυθομένοις δὲ ἐν κοινῷ μὲν οὐδέν σφισιν ἐξεγένετο ἀνευρεῖν σοφὸν, Οἴβαλος δὲ τὰ μὲν ἄλλα οὐ τῶν ἐπιφανῶν, γνώμην δὲ, ὡς ἐδήλωσεν, ἀγαθὸς, ποιησάμενος, ὡς ἔτυχε, πηλοῦ τρίποδας ἑκατὸν, τούτους τε ἀποκεκευμμένους ἐν πήρᾳ, 6

εἰργάσασθαι. Praeferrem fane ἐργάσασθαι.

10) ἀπάτη δέ σε πρ. τ.] *Goldhag.* in verſ. germ. σε pro σεο, σου poſitum putat et interpretatur: *fraus iſtos* (ſc. tripodas) *prior ponit, quam tu.*

11) καὶ ἔνθεον ἐξαπατῶσα] Pro ἔνθεον *Xyland.* ſcribendum ſuſpicatur οὐ θεὸν, alii εἰ θεόν. *Camerar.* ἐξαπατῶν legit.

12) Ἔρδ', ὅππῃ] *Kuhn.* conjicit ἔρξ', ὅππῃ etc., *ito, quo* etc.

καὶ δίκτυα ἅμα αὐτοῖς ἔφερεν ὡς ἀνὴρ θηρευτής, ἅτε δὲ ὢν ἀγνὼς καὶ Λακεδαιμονίων τοῖς πολλοῖς, ῥᾷον Μεσσηνίους ἐλάνθανεν. ἀναμίξας δὲ αὑτὸν ἀνδράσιν ἀγροίκοις, εἰσῆλθέ τε μετ' αὐτῶν ἐς τὴν Ἰθώμην, καὶ ὡς νυξ τάχιστα ἐπελάμβανεν, ἀναθεὶς τοὺς τρίποδας τῷ θεῷ τούτους δὴ τοὺς πηλίνους, αὖθις ἐς Σπάρτην ἐπαγγέλλων Λακεδαιμονίοις ᾤχετο. Μεσσηνίους δὲ, ὡς εἶδον, ἐτάραξε μεγάλως, καὶ εἴκαζον (ὥσπερ ἦν) παρὰ Λακεδαιμονίων εἶναι. παρεμυθεῖτο δὲ ὅμως αὐτοὺς ὁ Ἀριστόδημος λέγων ἄλλα τε, ἃ ἐν τοῖς παροῦσιν εἰκὸς ἦν, καὶ τοὺς ξυλίνους τρίποδας (ἐπεποίηντο γὰρ ἤδη) περὶ τοῦ Ἰθωμάτα τὸν
7 βωμὸν ἔσησε. Συνέβη δὲ καὶ Ὀφιονέα [13]) τὸν μάντιν τοῦτον τὸν ἐκ γενετῆς τυφλὸν ἀναβλέψαι, παραλόγως δὴ μάλιστα ἀνθρώπων. ἐπέλαβε γὰρ τῆς κεφαλῆς ἄλγημα αὐτὸν ἰσχυρὸν, καὶ ἀνέβλεψεν ἀπ' αὐτοῦ.

CAPUT XIII.

De iis, quae Meſſeniorum exitium portenderunt — Ariſtodemus de patriae ſalute deſperans ſeſe ipſum ad filiae tumulum interficit — Meſſenii non regem, ſed Damin ſummum imperatorem deligunt — obſidione et fame coacti Ithomen relinquunt — de tempore hujus belli Meſſenici finiti.

Τὰ δὲ ἐντεῦθεν (ἔῤῥεπε γὰρ ἤδη τὸ χρεὼν ἐς ἅλωσιν τῶν Μεσσηνίων) προεσήμαινεν αὐτοῖς τὰ μέλλοντα ὁ θεός. τό τε γὰρ τῆς Ἀρτέμιδος ἄγαλμα ὂν χαλκοῦν καὶ αὐτὸ καὶ τὰ ὅπλα, παρῆκε τὴν ἀσπίδα· καὶ Ἀριστοδήμου τῷ Διῒ τῷ Ἰθωμάτᾳ θύειν μέλλοντος τὰ ἱερεῖα, οἱ κριοὶ ἐπὶ τὸν βωμὸν αὐτόματοι καὶ βίᾳ τὰ κέρατα ἐνα-

13) Ὀφιονέα etc.] Vid. ſupra C. 10.

ἐναράξαντες ἀποθνήσκουσιν ὑπὸ τῆς πληγῆς [1]). τρίτον δὲ ἄλλο συνέβη σφίσιν. οἱ κύνες συνιόντες ἐς τὸ αὐτὸ κατὰ πᾶσαν νύκτα ὠρύοντο, τέλος δὲ καὶ ἀπεχώρησαν· ἀθρόοι πρὸς τὸ τῶν Λακεδαιμονίων στρατόπεδον. ταῦτά τε δὴ τὸν Ἀριστόδημον ἐτάρασσε, καὶ ὀνείρατος ὄψις ἐπιγενομένη τοιάδε. ἔδοξεν ἐξιέναι οἱ μέλλοντι ἐς μάχην, καὶ ὡπλισμένῳ, τῶν ἱερείων τὰ σπλάγχνα ἐπὶ τραπέζῃ προκεῖσθαι· τὴν δέ οἱ θυγατέρα ἐπιφανῆναι, μέλαιναν ἐσθῆτα ἔχουσαν καὶ φαίνουσαν τό τε στέρνον καὶ τὴν γαστέρα ἀνατετμημένα, ἀναφανεῖσαν δὲ, ἀπορρίψαι μὲν τὰ ἀπὸ τῆς τραπέζης, ἀφελέσθαι δὲ αὐτοῦ τὰ ὅπλα, ἀντὶ τούτων δὲ στέφανον ἐπιθεῖναι χρυσοῦν, καὶ ἱμάτιον ἐπιβαλεῖν λευκόν. ἔχοντος δὲ Ἀριστοδήμου τά τε ἄλλα ἀθύμως, καὶ τὸν ὄνειρον ἡγουμένου προλέγειν οἱ τοῦ βίου τελευτὴν, ὅτι οἱ Μεσσήνιοι τῶν ἐπιφανῶν τὰς ἐκφορὰς ἐποιοῦντο ἐστεφανωμένων καὶ ἱμάτια ἐπιβεβλημένων λευκὰ, ἀπαγγέλλει τις Ὀφιονέα τὸν μάντιν οὐχ ὁρᾶν ἔτι, ἀλλ' ἐξαίφνης γενέσθαι τυφλὸν, ὥσπερ γε καὶ ἦν τὸ ἐξαρχῆς. συνιᾶσι δὴ καὶ τοῦ χρησμοῦ τότε, ὡς τοὺς ἀναδύντας δύο ἐκ τοῦ λόχου, καὶ ἐς τὸ χρεὼν αὖθις ἐλθόντας, τοῦ Ὀφιονέως τοὺς ὀφθαλμοὺς εἶπεν ἡ Πυθία. Ἐνταῦθα Ἀριστόδημος 2
τά τε οἰκεῖα ἀναλογιζόμενος, ὡς οὐδὲν ὠφέλιμον [2]) γένοιτο φονεὺς θυγατρὸς, καὶ τῇ πατρίδι οὐχ ὁρῶν ἔτι ὑποῦσαν σωτηρίας ἐλπίδα, ἐπικατέσφαξεν ἑαυτὸν τῆς παιδὸς τῷ τάφῳ, τὰ μὲν εἰς ἀνθρώπου λογισμὸν ἥκοντα [3]), Μεσσηνίους σώσας, τῆς τύχης δὲ ἐς τὸ μηδὲν

1) ὑπὸ τῆς πληγῆς] Cod. Mosc. ἀπὸ τῆς πληγῆς.

2) ὡς οὐδὲν ὠφέλιμον] Forte praestet ὡς ἐς οὐδὲν ὠφέλιμον.

3) τὰ μὲν εἰς ἀνθρώπου λογισμὸν

μηδὲν ἀγαγούσης τά τε ἔργα αὐτοῦ καὶ τὰ βουλεύματα. ἀπέθανε δὲ βασιλεύσας ἔτη τε ἓξ, καὶ ἐκ τοῦ ἑβδόμου μῆνας ἐπιλαβὼν πολλούς. τοῖς δὲ Μεσσηνίοις ἀπεγνωκέναι τὰ πράγματα παρίσατο, ὥστε καὶ ὥρμησαν ἱκεσίαν ἐς τοὺς Λακεδαιμονίους ἀποστέλλειν· οὕτω σφόδρα κατέπληξεν αὐτοὺς ἡ τοῦ Ἀριστοδήμου τελευτή. καὶ τοῦτο μὲν ὁ θυμὸς ἐπέσχεν αὐ-
3 τοὺς μὴ ποιῆσαι. Συλλεγέντες δὲ εἰς ἐκκλησίαν, βασιλέα μὲν οὐδένα, Δᾶμιν δὲ στρατηγὸν αὐτοκράτορα εἵλοντο. ὁ δὲ Κλεόννίν τε αὐτῷ καὶ Φυλέα ἑλόμενος συνάρχοντας, παρεσκευάζετο ὡς καὶ ἐκ τῶν παρόντων συνάψων εἰς μάχην. ἐπηνάγκαζε γὰρ ἥ τε πολιορκία, καὶ οὐχ ἥκιστα ὁ λιμός, καὶ τὸ ἀπ' αὐτοῦ δέος, μὴ καὶ προδιαφθαρῶσιν ὑπὸ ἐνδείας. Ἀρετῇ μὲν δὴ καὶ τολμήμασιν οὐδέποτε ἀπεδέησε τὰ τῶν Μεσσηνίων· ἀπέθανον δὲ οἱ στρατηγοὶ σφισιν ἅπαντες, καὶ τῶν ἄλλων οἱ λόγου μάλιστα ἄξιοι. τὸ δὲ ἀπὸ τούτου μῆνας μέν που πέντε μάλιστα ἀντέ-
4 σχον. Περὶ δὲ τὸν ἐνιαυτὸν λήγοντα ἐξέλιπον τὴν Ἰθώμην, πολεμήσαντες ἔτη τὰ πάντα εἴκοσι, καθὰ καὶ Τυρταίῳ πεποιημένα εἰσίν [4]).

Εἰκοστῷ δ' οἱ μὲν κατὰ πίονα ἔργα λιπόντες
Φεῦγον Ἰθωμαίων ἐκ μεγάλων ὀρέων.

5 Ὁ δὲ πόλεμος ἔλαβεν οὗτος τέλος ἔτει πρώτῳ τῆς τετάρτης καὶ δεκάτης ὀλυμπιάδος [5]), ἣν Δάσμων Κορίν-
θιος

γισμὸν ἥκοντα] Scil. κατὰ τὰ etc., *quantum quidem in humanam intelligentiam cadere potest.*

4) καθὰ νῦν Τυρταίῳ πεποιημένα εἰσίν] Cod. Mosc. καθὰ ὀνὴ τ π. ἐτί. Bene sane. Vid. ...ntaei quae supersunt ed. Klotzii p. 119. Cum Pausania in his consentit Strabo L. VI. p. 428.

5) τῆς τετάρτης νῦν δεκάτης ὀλ.] Amas. *quartae et vicesimae Ol.* Numerum vero vulgatum rectum esse, Capitis 15. initium declarat.

θιος ἐνίκα στάδιον, Ἀθήνησι Μεδοντιδῶν τὴν ἀρχὴν ἔτι ἐχόντων τὴν δεκαέτην [6]), καὶ ἔτους Ἱππομένει τετάρτου τῆς ἀρχῆς ἠνυσμένου.

CAPUT XIV.

Messenii emigrantes in varias regiones discedunt — Lacedaemonii urbem Ithomen funditus evertunt, et terram Messen. distribuunt — de iis, quae Messeniis ipsis a Lacedaemoniis acciderunt — Messenii his malis vexati defectionis consilia ineunt — de Cleomene ejusque natalibus.

Μεσσηνίων δὲ ὅσοις μὲν ἔτυχον ἐν Σικυῶνι οὖσαι καὶ ἐν Ἄργει προξενίαι καὶ παρὰ τῶν Ἀρκάδων τισίν, οὗτοι μὲν ἐς ταύτας τὰς πόλεις ἀπεχώρησαν· ἐς Ἐλευσῖνα δὲ οἱ τοῦ γένους τῶν ἱερῶν [1]) καὶ θεαῖς ταῖς μεγάλαις τελοῦντες τὰ ὄργια. ὁ δὲ ὄχλος ὁ πολὺς κατὰ τὰς πατρίδας ἕκαστοι τὰς ἀρχαίας ἐσκεδάσθησαν. Λακεδαιμόνιοι δὲ πρῶτα μὲν τὴν Ἰθώμην καθεῖλον ἐς ἔδαφος· ἔπειτα καὶ τὰς λοιπὰς πόλεις ἐπιόντες ἤρουν. ἀνέθεσαν δὲ καὶ ἀπὸ τῶν λαφύρων τῷ Ἀμυκλαίῳ τρίποδας χαλκοῦς· Ἀφροδίτης ἄγαλμά ἐστιν ἑστηκὸς ὑπὸ τῷ τρίποδι τῷ πρώτῳ, Ἀρτέμιδος δὲ ὑπὸ τῷ δευτέρῳ, Κόρης δὲ ἡ Δήμητρος [2]) ὑπὸ τῷ τρίτῳ. ταῦτα μὲν δὴ 2

6) Μεδ. τὴν ἀρχὴν ἔτι ἐχόντων τὴν δεκαέτην] Pro vulgata δεκάτην dedi δεκαέτην, *decennalem*, ex conjectura *Loesch.*, *Sylburg.* et *Kuhnii*, quae postremis verbis Capitis 5. firmatur.

1) ἱερῶν] Vix dubium esse potest, quin ἱερέων, *sacerdotum*, scribendum sit, uti *Sylb.* recte monuit.

2) Κόρης δὲ ἡ Δήμητρος] *Amas.* pro ἡ legit κῆ, *Cereris et Proserpinae*. Supra L. III. C. 18., ubi eorundem tripodum mentio fit, legitur Κόρης τῆς Δήμητρος.

ἀνέθεσαν ἐνταῦθα. τῆς δὲ γῆς τῆς Μεσσηνίας Ἀσιναίοις μὲν ἀνεσηκόσιν ὑπὸ Ἀργείων διδόασιν ἐπὶ θαλάσσῃ ταύτην, ἣν καὶ νῦν ἔτι οἱ Ἀσιναῖοι νέμονται· τοῖς δὲ Ἀνδροκλέους [3]) ἀπογόνοις (ἦν γὰρ δὴ καὶ θυγάτηρ Ἀνδροκλεῖ καὶ παῖδες τῆς θυγατρὸς, φεύγοντες δὲ ὑπὸ τὴν τελευτὴν τοῦ Ἀνδροκλέους ᾤχοντο ἐς Σπάρτην) τούτοις τὴν Ὑαμίαν [4]) καλουμένην ἀπονέ-
3 μουσι. Τὰ δὲ ἐς αὐτοὺς Μεσσηνίους παρὰ Λακεδαιμονίων ἔσχεν οὕτως. πρῶτον μὲν αὐτοῖς ἐπάγουσιν ὅρκον, μήτε ἀποσῆναί ποτε ἀπ' αὐτῶν, μήτε ἄλλο ἐργάσασθαι νεώτερον μηδέν. δεύτερον δὲ φόρον μὲν οὐδένα ἐπέταξαν εἰρημένον, τῶν δὲ γεωργουμένων τροφῶν σφίσιν ἀποφέρειν ἐς Σπάρτην πάντα ἡμίσεα [5]). προείρητο δὲ καὶ ἐπὶ τὰς ἐκφορὰς τῶν βασιλέων καὶ ἄλλων τῶν ἐν τέλει καὶ ἄνδρας ἐκ τῆς Μεσσηνίας καὶ τὰς γυναῖκας ἐν ἐσθῆτι ἥκειν μελαίνῃ· καὶ τοῖς παραβᾶσιν ἀπέκειτο [6]) ποινή. τιμωρίαι δὲ, ἃς ὕβριζον ἐς τοὺς Μεσσηνίους, Τυρταίῳ πεποιημέναι εἰσίν [7]).

Ὥσπερ ὄνοι μεγάλοις ἄχθεσι τειρόμενοι,
Δεσποσύνοισι φέροντες ἀναγκαίης ὑπὸ λυγρῆς
Ἥμισυ πάνθ' ὅσσων καρπὸν ἄρουρα φέρει.

ὅτι δὲ καὶ συμπενθεῖν ἔκειτο αὐτοῖς ἀνάγκη, δεδήλωκεν ἐν τῷδε·

Δεσπότας οἰμώζοντες ὁμῶς, ἄλοχοί τε καὶ αὐτοί,
Εὖτέ τιν' οὐλομένη μοῖρα κίχοι θανάτου.

Τοιού-

3) Ἀνδροκλέους] De hoc vide supra C. 4. 5.

4) Ὑαμίαν] In Stephano legitur Ὑάμεια.

5) πάντα ἡμίσεα] Cod. Mosc. τὰ ἡμίσεα. Rem ipsam refert quoque Aelian. V. H. L. VI. C. 1. Mox pro προείρητο Cod. Mosc. exhibet προείρηται.

6) ἀπέκειτο] *Sylb.* bene conjecit ἐπέκειτο, *imposita erat.*

7) Τυρταίῳ πεπ. εἰσὶν] Cod. Mosc.

Τοιούτων οὖν τοὺς Μεσσηνίους [8]) καταιθαλοῦν, καὶ ἅμα ἐς τὰ μέλλοντα οὐδὲν ἐνορῶντες παρὰ τῶν Λακεδαιμονίων φιλάνθρωπον, πρὸς τέλη τῶν παρόντων [9]) τεθνάναι μαχομένους, ἢ καὶ τοπαράπαν ἐκ Πελοποννήσου φεύγοντας οἴχεσθαι νομίζοντες αἱρετώτερα, ἀφίστασθαι πάντως ἐγίγνωσκον. ἐνῆγον δὲ οὐχ ἧκιστα ἐς τοῦτο καὶ οἱ νεώτεροι, πολέμου μὲν ἔτι ἀπείρως ἔχοντες, λαμπροὶ δὲ ὄντες τὰ φρονήματα, καὶ ἀποθανεῖν προτιμῶντες ἐν ἐλευθέρᾳ τῇ πατρίδι, εἰ καὶ τὰ ἄλλα εὐδαιμόνως δουλεύειν παρείη. Ἐπεβάφη δὲ νέοις καὶ ἀλλαχοῦ τῆς Μεσσηνίας, οἱ δὲ ἄριστοι καὶ ἀριθμὸν πλεῖστοι περὶ τὴν Ἀνδανίαν, ἐν δὲ αὐτοῖς καὶ Ἀριστομένης, ὃς καὶ νῦν ἔτι ὡς ἥρως ἔχει παρὰ Μεσσηνίοις τιμάς· καί οἱ καὶ τὰ τῆς γενέσεως ἐπιφανέστερα ὑπάρξαι νομίζουσι. Νικοτελείᾳ γὰρ τῇ μητέρι αὐτοῦ δαίμονα ἢ θεὸν δράκοντι εἰκασμένον συγγενέσθαι λέγουσι. τοιαῦτα δὲ καὶ Μακεδόνας ἐπὶ Ὀλυμπιάδι [10]), καὶ ἐπὶ Ἀριστοδάμᾳ [11]) Σικυωνίους οἶδα εἰρη-

Ii 5

Mosc. hic, uti supra C. 13., pro εἰσιν dat ἐστίν. Vid. Tyrtaei quae superst. ed. Klotzii p. 122. et 125.

8) τοὺς Μεσσηνίους] Cod. Mosc. οἱ Μεσσήνιοι, quod a constructione non prorsus alienum est.

9) πρὸς τέλη τῶν παρόντων] *Amas.* haec verba omisit. Si locus vitio caret, cum *Loeschero* interpretandum puto, *ad finem rerum praesentium*, etiamsi hic vocis τέλη significatus insolentior sit. De *tributo* enim *pendendo*, quod *Sylb.* vult, hic minime cogitandum esse, structura verborum et paullo ante dicta declarant. Similiter τέλη pro *exitu*, *fine*, apud Plutarch. Alex. M. f. 51. τοιαῦτα τέλη τῶν πόνων κομιζόμενοι. Mihi vero verba πρὸς τέλη suspecta sunt, ita ut illa corrupta esse haud dubitem; illis tamen ex ingenio emendandis me imparem esse sentio.

10) ἐπὶ Ὀλυμπιάδι] Vid. Plutarch. Alex. Magn. f. 2.

11) ἐπὶ Ἀριστοδάμᾳ] Haec *Arati* mater ferebatur, et apud Sicyonios in templo Aesculapii draconi insidens expressa erat; vid. supra L. II. C. 10.

εἰρηκόλας· διάφορα δὲ τοσόνδε ἦν. Μεσσήνιοι γὰρ οὐκ ἐσποιοῦσιν Ἀριστομένην Ἡρακλεῖ παῖδα ἢ Διΐ, ὥσπερ Ἀλέξανδρον Ἄμμωνι οἱ Μακεδόνες, καὶ Ἄραλον Ἀσκληπιῷ Σικυώνιοι· Ἀριστομένει δὲ πατέρα Ἑλλήνων οἱ πολλοὶ Πύρρον φασὶν εἶναι. Μεσσηνίους δὲ οἶδα αὐτὸς ἐπὶ ταῖς σπονδαῖς [12]) Ἀριστομένην Νικομήδους καλοῦντας. οὗτος μὲν οὖν ἀκμάζων ἡλικίᾳ καὶ τόλμῃ, καὶ ἄλλοι τῶν ἐν τέλει παρώξυναν ἐπὶ τὴν ἀπόστασιν. ἐπράσσετο δὲ ταῦτα οὐκ εὐθὺς ἐκ τοῦ φανεροῦ, κρύφα δὲ ἐς Ἄργος καὶ παρὰ τοὺς Ἀρκάδας ἀπέστελλον, εἰ σφίσιν ἀπροφασίστως καὶ μηδὲν ἐνδεεστέρως ἢ ἐπὶ τοῦ πολέμου τοῦ προτέρου ἀμῦναι θελήσουσιν.

CAPUT XV.

De tempore belli Meſſenici ſecundi — proelium committitur aequo Marte ad Deras et Ariſtomenes imperator cum ſumma poteſtate eligitur — Lacedaemoniis ex oraculo ab Athenienſibus belli ducem petentibus Tyrtaeus mittitur — Meſſeniis et Lacedaemoniis ſocii auxilio veniunt et proelium paratur.

Ὡς δὲ τά τε ἄλλα ἐς τὸν πόλεμον ἕτοιμα ἦν αὐτοῖς, καὶ τὰ ἀπὸ τῶν συμμάχων προθυμότερα ἢ προσεδόκων (καὶ γὰρ Ἀργείοις ἤδη καὶ Ἀρκάσι λαμπρῶς τὸ ἐς τοὺς Λακεδαιμονίους ἔχθος ἐξῆπτο), οὕτως ἀπέσπασαν ἔτει τριακοστῷ μὲν καὶ ἐνάτῳ μετὰ Ἰθώμης ἅλωσιν, τετάρτῳ δὲ τῆς τρίτης ὀλυμπιάδος καὶ εἰκοστῆς [1]), ἣν

12) ἐπὶ ταῖς σπονδαῖς] h. e. *quum Ariſtomeni tanquam heroi libarent*, uti paullo ſupra dictum.

1) τετάρτῳ δὲ τῆς τρ. ὀλ. καὶ εἰκ.] De tempore belli ſecundi Meſſenici vid. Valeſ. ad Excerpt. ex Diodor. de virt. et vit. p. 547. not. 5.

ἦν Ἴκαρος Ὑπερησιεὺς ἐνίκα σάδιον. Ἀθήνῃσι δὲ οἱ κατ' ἐνιαυτὸν ἦσαν ἤδη τότε ἄρχοντες· καὶ Ἀθηναίοις Τλησίας ἦρχεν. ἐν δὲ Λακεδαιμονίοις τίνες ἔτυχον βασιλεύοντες, Τυρταῖος μὲν τὰ ὀνόματα οὐκ ἔγραψε· Ῥιανὸς δ' ἐποίησεν ἐν τοῖς ἔπεσιν, Λεωτυχίδην βασιλέα ἐπὶ τοῦδε εἶναι τοῦ πολέμου. Ῥιανῷ μὲν οὖν ἔγωγε οὐδαμῶς κατά γε τοῦτο συνθήσομαι· Τυρταῖον δὲ καὶ οὐ λέγοντα ὅμως εἰρηκέναι τις ἂν ἐν τῷδε ἡγεῖτο [2]). ἐλεγεῖα γὰρ ἐς τὸν πρότερον αὐτῷ ἐστι τὸν πόλεμον·

Ἀμφ' αὐτὴν δ' ἐμάχοντ' ἐννεακαίδεκ' ἔτη
Νωλεμέως αἰεὶ ταλασίφρονα θυμὸν ἔχοντες
Αἰχμηταὶ, πατέρων ἡμετέρων πατέρες.

δῆλα οὖν ἐστιν, ὡς ὕστερον τρίτῃ γενεᾷ τὸν πόλεμον οἱ Μεσσήνιοι τόνδε ἐπολέμησαν. ἀποδείκνυσί τε τοῦ χρόνου τὸ συνεχὲς βασιλεύοντας τηνικαῦτα ἐν Σπάρτῃ Ἀνάξανδρον Εὐρυκράτους τοῦ Ἀπολλοδώρου [3]), τῆς δὲ οἰκίας τῆς ἑτέρας Ἀναξίδαμον Ζευξιδάμου τοῦ Ἀρχιδάμου τοῦ Θεοπόμπου. κατέβην δὲ ἐς ἀπόγονον Θεοπόμπου τέταρτον, ὅτι Ἀρχίδαμος ὁ Θεοπόμπου προαπέθανε τοῦ πατρὸς, καὶ ἐς Ζευξίδαμον υἱιδοῦν ὄντα Θεοπόμπου περιῆλθεν ἡ ἀρχή [4]). Λεωτυχίδης δὲ μετὰ Δημαράτου βασιλεῦσαι φαίνεται [5]) τοῦ Ἀρίστωνος·

2) ἡγεῖτο] *Sylb.* mavult ἡγοῖτο. De Tyrtaei versibus vid. ejus fragm. ed. Klotzii p. 119.

3) Ἀπολλοδώρου] Scribendum esse Πολυδώρου, ex L. III. C. 3. patet.

4) Θεοπόμπου περιῆλθεν ἡ ἀρχή] Cod. Mosc. ἡ Θεοπόμπου περιῆλθεν ἀρχή.

5) μετὰ Δημαράτου βασιλεῦσαι φαίνεται] *Sylb.* post Δημαράτου subaudiendum τὴν βασιλείαν, vel pro μετὰ scribendum putat ἀντί. Emendandum potius esse μετὰ Δημάρατον, *post Demaratum*, dubium non est. Pro βασιλεῦσαι Cod. Mosc. exhibet βασιλεύσας, quod vulgatae praeferendum duco, quum participium cum φαίνεσθαι junctum saepius in Pausania sit obvium.

2 νος· Θεοπόμπου δὲ Ἀρίστων ἀπόγονος ἕβδομος. Τότε δὲ οἱ Μεσσήνιοι Λακεδαιμονίοις συμβάλλουσιν ἐν Δέραις καλουμέναις τῆς σΦετέρας, ἔτει πρώτῳ μετὰ τὴν ἀπόστασιν. ἀπῆσαν δὲ ἀμΦοτέροις οἱ σύμμαχοι· καὶ νίκη μὲν ἐγένετο οὐδετέρων σαΦής. Ἀριστομένην δὲ ἔργα Φασὶν ἀποδείξασθαι πλέον τι, ἢ ἄνδρα ἕνα εἰκὸς ἦν, ὥστε καὶ βασιλέα μετὰ τὴν μάχην ἠροῦντο αὐτόν· ἦν γὰρ καὶ γένους τῶν Αἰπυτιαδῶν· παραιτουμένου τε, οὕτω στρατηγὸν αὐτοκράτορα εἵλοντο. Ἀριστομένει δὲ παρίστατο, μηδ' ἂν ἄλλον ἀπαξιῶσαι [6]) παθεῖν τι ἐν πολέμῳ δράσαντα ἄξια μνήμης· αὐτῷ μέν τοι καὶ πρὸ παντὸς ἐνομίζετ' εἶναι ἔτι ἀρχομένου τοῦ πολέμου Λακεδαιμονίους καταπλήξαντα, Φαίνεσθαι καὶ ἐς τὰ μέλλοντά σΦισι Φοβερώτερον. ἅτε δὲ οὕτως ἔχων, ἀΦικόμενος νύκτωρ ἐν τὴν Λακεδαίμονα, ἀνατίθησιν ἀσπίδα πρὸς τὸν τῆς Χαλκιοίκου ναόν· ἐπεγέγραπτο δὲ, Ἀριστομένην ἀπὸ Σπαρτιατῶν διδόναι τῇ θεῷ.

3 Ἐγένετο δὲ καὶ Λακεδαιμονίοις μάντευμα ἐκ ΔελΦῶν, τὸν Ἀθηναῖον ἐπάγεσθαι σύμβουλον. ἀποστέλλουσιν οὖν παρὰ τοὺς Ἀθηναίους τόν τε χρησμὸν ἀπαγγελοῦντας, καὶ ἄνδρα αἰτοῦντας παραινέσοντα ἃ χρὴ σΦίσιν. Ἀθηναῖοι δὲ οὐδέτερα θέλοντες, οὔτε Λακεδαιμονίους ἄνευ μεγάλων κινδύνων προσλαβεῖν μοῖραν τῶν ἐν Πελοποννήσῳ τὴν ἀρίστην, οὐδὲ αὐτοὶ [7]) παρα-

6) Ἀρ. δὲ παρίστατο, μηδ' ἂν ἄλλον ἀπαξ. etc.] *Amasaei* interpretationem legisse sufficit, ut intelligas, illam a vero verborum sensu prorsus aberrare. Sententia vero in promtu est: *Aristomenem subiit, nec alium recusare aliquid in bello pati, memoranda patrantem.* Notum est illud Pindari Nem. Od. IV. v. 52. ῥέζοντά τι κἠ παθεῖν ἔοικε. Quam sententiam et alii scriptores tangunt.

7) οὐδὲ αὐτοὶ etc.] Cod. Mosc. οὐδ' αὐτοί. Mox pro πρὸς ταῦτα ἐξευρίσκ. mallem πρὸς ταῦτά τι ἐξευρίσκ.

παρακοῦσαι τοῦ θεοῦ, πρὸς ταῦτα ἐξευρίσκουσι. καὶ ἦν γὰρ Τυρταῖος διδάσκαλος γραμμάτων, νοῦν τε ἥκιστα ἔχειν δοκῶν, καὶ τὸν ἕτερον τῶν ποδῶν χωλός· τοῦτον ἀποσέλλουσιν ἐς Σπάρτην. ὁ δὲ ἀφικόμενος, ἰδίᾳ τε τοῖς ἐν τέλει, καὶ συνάγων ὁπόσους τύχῃ [8]), καὶ ἐλεγεῖα καὶ τὰ ἔπη σφίσι τὰ ἀνάπαιστα ᾖδεν. Ἐνιαυτῷ δὲ ὕστερον τοῦ περὶ τὰς Δέρας ἀγῶνος, ἡκόντων ἀμφοτέροις καὶ τῶν συμμάχων, παρεσκεύαζον [9]) ὡς μάχην συνάψοντες ἐπὶ τῷ καλουμένῳ Κάπρου σήματι. Μεσσηνίοις μὲν οὖν Ἠλεῖοι καὶ Ἀρκάδες, ἔτι δὲ ἐξ Ἄργους ἀφίκετο καὶ Σικυῶνος βοήθεια. παρῆσαν δὲ καὶ ὅσοι πρότερον τῶν Μεσσηνίων ἔφευγον ἑκουσίως, ἐξ Ἐλευσῖνός τε οἷς πάτριον δρᾶν τὰ ὄργια τῶν μεγάλων θεῶν, καὶ οἱ Ἀνδροκλέους ἀπόγονοι. καὶ γὰρ οἱ συσπεύσαντες μάλιστα σφισιν ἦσαν οὗτοι. Λακεδαιμονίοις δὲ ἦλθον Κορίνθιοι συμμαχήσοντες, καὶ Λεπρεατῶν τινες κατὰ ἔχθος τὸ Ἠλείων. Ἀσιναίοις δὲ ὅρκοι πρὸς ἀμφοτέρους ἦσαν. τὸ δὲ χωρίον τοῦτο Κάπρου σῆμα, ἔστι μὲν ἐν Στενυκλήρῳ τῆς Μεσσηνίας· Ἡρακλέα δὲ αὐτόθι ὅρκον ἐπὶ τομίων κάπρου τοῖς Νηλέως παισὶ δοῦναι καὶ λαβεῖν παρὰ ἐκείνων λέγουσιν. 4

Ὡς δὲ ἀμφοτέροις προεθύσαντο οἱ μάντεις [10]), Λακεδαιμονίοις μὲν Ἕκατος ἀπόγονός τε καὶ ὁμώνυμος Ἑκά- 5

8) ὁπόσους τύχῃ] scil. συνάγειν. Cod. Mosc. dat τύχοι.

9) παρεσκεύαζον] Mallem παρεσκευάζοντο.

10) Ὡς δὲ — οἱ μάντεις] Hic ὡς pro οὕτω positum esset, *sic vero, sic igitur* etc., aliter enim apodosis his verbis deesset. Sed supervacanea est ista explicandi ratio; perversa enim Capitis sequentis distinctio verbis illis apodosin abstulit, quae initio Cap. 16. continetur Scilicet hoc Caput inchoandum est verbis Ὡς δὲ ἀμφοτ. etc., quae sequentibus

Τότε

Ἑκάτου σὺν τοῖς Ἀριστοδήμου παισὶν ἐλθόντος ἐς Σπάρτην· τοῖς δὲ Μεσσηνίοις Θέοκλος. ἐγεγόνει δὲ ὁ Θέοκλος οὗτος ἀπὸ Εὐμάντιδος· Εὔμαντιν δὲ ὄντα Ἠλεῖον τῶν Ἰαμιδῶν Κρεσφόντης ἐπηγάγετο ἐς Μεσσήνην.

CAPUT XVI.

Sacris utrinque a vatibus factis, proelium initur — de Ariſtomenis rebus in hac pugna geſtis — Spartanos clade perculſos Tyrtaeus elegos canendo excitat — de honore Ariſtomeni a feminis habito, et illius clypeo — Ariſtomenes urbem Pharin expugnat et vulneratur — Caryatides virgines comprehendit, et magna accepta pecunia reddit.

Τότε δὲ παρόντων καὶ τῶν μάντεων σὺν φρονήματι, ἀμφότεροι μᾶλλον [1]) ἠπείγοντο ἐς τὴν μάχην. καὶ ἦν μὲν καὶ τὰ τῶν ἄλλων πρόθυμα, ὡς ἡλικίας ἕκαστος εἶχεν ἢ ῥώμης, μάλιστα δὲ Ἀνάξανδρός τε ὁ τῶν Λακεδαιμονίων βασιλεὺς, καὶ οἱ περὶ αὐτὸν τῶν Σπαρτιατῶν. παρὰ Μεσσηνίων δὲ οἱ Ἀνδροκλέους ἀπόγονοι, Φίντας καὶ Ἀνδροκλῆς, καὶ οἱ συντεταγμένοι σφίσιν

Τότε δὲ παρόντων — ἐς τὴν μάχην iuncta integra ſunt et plana. *Goldhagen* in verſ. germ. bene illud jam monuit, quod clarius patebit ex not. ſequ.

1) Τότε δὲ παρόντων — ἀμφότεροι μᾶλλον etc.] Haec ad poſtrema verba antecedentis Capitis, Ὡς δὲ ἀμφοτέροις etc., pertinere, jam ibi adnotavimus. Scilicet verba iſta Ὡς δὲ ἀμφ. etc., longiori parentheſi interpoſita, a protaſi ſejuncta Pauſanias ſuo more repetit, ſed verbis paululum immutatis, τότε δὲ παρόντων καὶ τ. μ. σ. φρονήματι, et apodoſin ſtatim addit ἀμφότεροι μᾶλλον ἠπ. ἐς τ. μάχην. Ceterum *Kuhn.* temere hic pro παρόντων emendat παρορμώντων, et verba σὺν φρονήματι ſequentibus ἀμφότεροι etc. jungenda cenſet.

σφίσιν ἐπειρῶντο ἄνδρες ἀγαθοὶ γίγνεσθαι. Τυρταῖος δὲ καὶ οἱ τῶν θεῶν ἱεροφάνται τῶν μεγάλων ἔργου μὲν ἥπτοντο οὐδενός, τοὺς τελευταίους δὲ τῆς ἑαυτῶν ἑκάτεροι στρατείας [2]) ἐπήγειρον. Κατὰ δὲ αὐτὸν Ἀρι- 2
σομένην εἶχεν οὕτω. λογάδες περὶ αὐτὸν ὀγδοήκοντα ἦσαν Μεσσηνίων, ἡλικίαν τε γεγονότες ἐκείνῳ τὴν αὐτὴν, καὶ ἕκαστος προτετιμῆσθαι μεγάλως νομίζων, ὅτι ἠξίωτο Ἀρισομένει συντετάχθαι· ἦσαν δὲ καὶ αἰσθέσθαι δι' ὀλίγου δεινοὶ, τά τε παρ' ἀλλήλων καὶ μάλιστα ἐκείνου καὶ ἀρχομένου τι δρᾶν καὶ ἔτι μέλλοντος [3]). οὗτοι μὲν πρῶτοι καὶ αὐτοὶ καὶ Ἀρισομένης πόνον εἶχον πολὺν κατ' Ἀνάξανδρον καὶ τῶν Λακεδαιμονίων τεταγμένοι τοὺς ἀρίστους· λαμβάνοντες δὲ τραύματα ἀφειδῶς, καὶ ἐς πᾶν προϊόντες ἀπονοίας, τῷ τε χρόνῳ καὶ τοῖς τολμήμασιν ἐτρέψαντο τοὺς περὶ Ἀνάξανδρον. τούτοις μὲν δὴ φεύγουσι [4]), διώκειν ἐπέταξεν ὁ Ἀρισομένης ἕτερον τῶν Μεσσηνίων λόχον· αὐτὸς δὲ ὁρμήσας πρὸς τὸ μάλιστα ἀνθεστηκὸς, ὡς ἐβιάσατο καὶ τούτους, ἐπ' ἄλλους ἐτράπετο αὖθις. ταχὺ δὲ καὶ τούτους ὠσάμενος, ἑτοιμότερον ἤδη πρὸς τοὺς ὑπομένοντας ἐπεφέρετο, ἐς ὃ πᾶσαν τῶν Λακεδαιμονίων τὴν τάξιν καὶ αὐτῶν τῶν συμμάχων συνέχεε· καὶ οὐχὶ σὺν αἰδοῖ φευγόντων, οὐδὲ ἀναμένειν θελόντων ἔτι ἀλλήλους, ἐπέκειτό σφισι φοβερώτερος, ἢ κατὰ ἀνδρὸς ἑνὸς εἶναι μανίαν [5]). ἔνθα δὴ καὶ

2) στρατείας] Ut alibi, etiam hic ſcribendum eſt στρατιᾶς, quod *Sylb.* jam monuit.

3) ἦσαν δὲ καὶ αἰσθέσθαι — μέλλοντος] *hi ſtatim quoque percipere valebant, quae a ſeſe invicem fierent, et praecipue quid ipſe Ariſtomenes aggrederetur et facturus eſſet.*

4) τούτοις μὲν δὴ φεύγουσι etc.] Hi dativi, qui a διώκειν regi nequeunt, abſolute ſunt poſiti, uti aliquoties in Pauſania.

5) ἢ κατὰ ἀ. ἑν. εἶναι μανίαν] Si μανίαν mendo caret, *furorem*

καὶ παρ' ἀχράδα [6]) πεφυκυῖάν που τοῦ πεδίου, παρὰ ταύτην Ἀριστομένην οὐκ εἴα [7]) παραθεῖν ὁ μάντις Θέοκλος· καθέζεσθαι γὰρ τοὺς Διοσκούρους ἔφασκεν ἐπὶ τῇ ἀχράδι. Ἀριστομένης δὲ εἴκων τῷ θυμῷ, καὶ οὐκ ἀκροώμενος τὰ πάντα τοῦ μάντεως, ὡς κατὰ τὴν ἀχράδα ἐγίνετο, ἀπόλλυσι τὴν ἀσπίδα, Λακεδαιμονίοις τε τὸ ἁμάρτημα τοῦ Ἀριστομένους παρέσχεν αὐτῶν ἀποσωθῆναί τινας ἐκ τῆς Φυγῆς [8]). διέτριψε
3 γὰρ τὴν ἀσπίδα ἀνευρεῖν πειρώμενος. Λακεδαιμονίων δὲ ἐχόντων ἀθύμως μετὰ τὴν πληγήν, καὶ ὡρμημένων καταθέσθαι τὸν πόλεμον, Τυρταῖός τε ἐλεγεῖα ᾄδων μετέπειθεν αὐτούς, καὶ ἐς τοὺς λόχους ἀντὶ τῶν τεθνεώτων κατέλεγεν ἄνδρας ἐκ τῶν εἰλώτων.
4 Ἀριστομένει δὲ, ὡς ἀνέτρεψεν ἐς τὴν Ἀνδανίαν, ταινίας αἱ γυναῖκες καὶ τὰ ὡραῖα ἐπιβάλλουσαι τῶν ἀνθρώπων, ἐπέλεγον ᾆσμα [9]) τὸ καὶ ἐς ἡμᾶς ἔτι ᾀδόμενον·

Ἐς

rem iracundum illo denotari putandum. Hesych. Μανία, ὀργή, θυμός, κότος. Nihilominus istam vocem corruptam esse suspicor et forte scribendum Ἰναλαν, *quam unius hominis virium esse posset.* Hesych. Ἰναία, δύναμις, et Ἰνῶδες, ἰσχυρόν.

6) ἀχράδα] *pirum silvestrem.* Etymol. Ἀχρὰς, ἀγρία ἄπιος. Vid. Perizon. ad Aelian. V. H. L. III. C. 39.

7) οὐκ εἴα] Pro his ante perperam scriptum fuisse οἰκεία, *Sylb.* notat.

8) ἐκ τῆς φυγῆς] Cod. M. ἐκ τῆς γῆς.

9) καὶ τὰ ὡραῖα ἐπιβάλλ. τῶν ἀνθρώπων, ἐπέλεγον ᾆσμα] Vox ἀνθρώπων hic interpretes torsit; quare *Camerar.* τὰ ὡραῖα — τῶν ἀνθίμων conjecit: quod tamen *Kuhn.* improbat, et parum ingeniose ἀνδρῶν ἐπέλεγον ᾆσμα legendum suadet. Equidem sine haesitatione emendo τὰ ὡραῖα — τῶν ἀνθῶν, *flores, quos illa tempestas ferebat.* Scilicet compendium scribendi ἀνθῶν, ἀνῶν pro ἀνθρώπων (vid. Lennep. ad Phalarid. epist. p. 73.) huic mendo locum dedit, et τὰ ὡραῖα τῶν ἀνθῶν pro τὰ ὡραῖα ἄνθη Pausanias scripsit, uti L. IV. C. 11. τῶν ἀνθῶν

Ἐς τε μέσον πεδίον Σ]ενυκλήριον ἔς τ' ὄρος ἄκρον
Εἶπετ' Ἀριστομένης τοῖς Λακεδαιμονίοις.

ἀνεσώσατο δὲ καὶ τὴν ἀσπίδα ἐκείνην, ἔς τε Δελφοὺς ἀφικόμενος, καὶ, ὡς οἱ προσέταξεν ἡ Πυθία, καταβὰς ἐς τὸ ἄδυτον ἱερὸν τοῦ Τροφωνίου τὸ ἐν Λεβαδείᾳ [10]). ὕστερον δὲ τὴν ἀσπίδα ἀνέθηκεν ἐς Λεβάδειαν Φέρων, ἣν δὴ καὶ αὐτὸς εἶδον ἀνακειμένην. ἐπίθημα [11]) δέ ἐστιν αὐτῆς ἀετὸς τὰ π]ερὰ ἑκατέρωθεν ἐκτετακὼς ἐς ἄκραν τὴν ἴτυν. Τότε δὲ Ἀριστομένης ὡς ἐπανῆκεν ἐκ Βοιωτίας εὑρών τε παρὰ τῷ Τροφωνίῳ καὶ κομισάμενος τὴν ἀσπίδα, αὐτίκα ἔργων μειζόνων ἤπ]ετο. συλλέξας δὲ ἄλλους τε τῶν Μεσσηνίων, καὶ τοὺς περὶ ἑαυτὸν ἅμα ἔχων λογάδας, Φυλάξας τε μετὰ ἑσπέραν, ἦλθεν ἐπὶ πόλιν τῆς Λακωνικῆς, τὸ μὲν ἀρχαῖον ὄνομα καὶ ἐν Ὁμήρου καταλόγῳ Φάριν [12]), ὑπὸ δὲ τῶν Σπαρτιατῶν καὶ προσοίκων καλουμένην [13]) Φαράς. ἐπὶ

ἀνθῶν τὰ κρίνα. *Fructus* vero *omnis generis sua anni parte maturi* Graecis dicuntur ὡραῖα, καρποὶ ὡραῖοι, vid. *Graev.* ad Hesiodi ἔργ. v. 32. Eundem honorem Aristomenis nepoti, Diagorae, habitum esse, Pausan. refert L. VI. C. 7.

10) καταβὰς ἐς τὸ ἄδυτον — Λεβαδείᾳ] De hoc vid. Pausan. L. IX. C. 39., in cujus fine Aristomenis scutum ibi servari narratur.

11) ἐπίθημα] *Camerar.* mavult ἐπίσημα, uti L. IX. C. 40. in fine de sepulcro, ἐπίσημα δὲ ἔπεστιν αὐτῷ λέων, ubi tamen forte ἐπίθημα scribendum sit, quod de sepulcro quoque dicitur L. V. C. 6. Clypei ἐπίθημα, gallus gallinaceus, memoratur etiam L. V. C. 25. Dicitur vero ἐπίθημα *de omni re, quae alteri super imponitur et superinducitur; inde de operculo, et insigni, clypeo vel sepulcro ornamenti causa impositio.*

12) ἐν Ὁμήρου καταλόγῳ Φάριν] Vid. Odyss. B. v. 582., ubi de scriptura Φάρη vid. Eustath. et Ernesti; conf. not. ad Pausan. L. III. C. 20.

13) καλουμένην] Vulgatum fuit καλουμένων, quod tamen ad Σπαρτ. καὶ προσοίκων nullo modo referri poterat; quare *Sylburgio* monente καλουμένην referibere non dubitavi.

ἐπὶ ταύτην ἀφικόμενος, τούς τε πειρωμένους ἀμύνεσθαι διέφθειρε, καὶ λείαν περιβαλόμενος [14]), ἀπήλαυνεν ἐς τὴν Μεσσήνην. Λακεδαιμονίων δὲ ὁπλιτῶν καὶ Ἀναξάνδρου τοῦ βασιλέως ἐπιθεμένων καθ' ὁδὸν, ἐτρέψατό τε καὶ τούτους, καὶ διώκειν τὸν Ἀνάξανδρον ὥρμητο. βληθεὶς δὲ ἀκοντίῳ τὸν γλουτὸν, τὴν δίωξιν ἐπέσχεν· οὐ μέν τοι τὴν λείαν γε, ἣν ἤλαυνεν, ἀφῃρέθη. διαλιπὼν δὲ, ὅσον ἀκεσθῆναι τὸ τραῦμα, ἐς μὲν αὐτὴν Σπάρτην ἔσοδον ποιούμενος, νύκτωρ ἀπετράπετο ὑπὸ φασμάτων Ἑλένης καὶ Διοσκούρων. Τὰς δ' ἐν Καρύαις παρθένους [15]) χορευούσας τῇ Ἀρτέμιδι ἐλόχησε [16]) μεθ' ἡμέραν, καὶ συνέλαβεν, ὅσαι χρήμασιν αὐτῶν καὶ ἀξιώματι πατέρων προεῖχον, ἀγαγὼν δὲ ἐς κώμην τῆς Μεσσηνίας, τὴν νύκτα ἀνεπαύετο, ἀνδράσι τῶν ἐκ τοῦ λόχου τὴν φρουρὰν ἐπιτρέψας τῶν παρθένων. ἐνταῦθα ὑπὸ μέθης οἱ νεανίσκοι (δοκεῖν ἐμοὶ) καὶ ἄλλως ἀκρατῶς ἔχοντες λογισμοῦ, πρὸς βίαν ἐτρέποντο τῶν παρθένων. Ἀριστομένους δὲ ἀπείργοντος οὐ νομιζόμενα Ἕλλησι δρῶντας, οὐδένα ἐποιοῦντο λόγον· ὥστε ἠναγκάσθη καὶ ἀποκτεῖναι τοὺς παροινοῦντας μάλιστα ἐξ αὐτῶν. τὰς δὲ αἰχμαλώτους λαβὼν ἀπέλυσε χρημάτων πολλῶν παρθένους, ὥσπερ γε καὶ εἶλεν.

14) *ναὶ λείαν περιβαλόμενος*] *praedam nactus.* Sic etiam *δέξαν, πλοῦτον περιβάλλεσθαι* dicitur. Sed Cod. Mosc. habet *λαμβανόμενος.*

15) *Τὰς δ' ἐν Καρύαις παρθ.*] De his vid. supra L. III. C. 10. in fine et ibi not.

16) *ἐλόχησε*] Reposui, *Kuhnio* sic recte emendante, pro vulgata *διελόχησε*, quae vox nullibi obvia. Scilicet syllaba *δι* ex vocabulo *Ἀρτέμιδι* male duplicata adhaesit voci sequenti.

CAPUT

CAPUT XVII.

Ariſtomenes, qui feminas Cereris ſacra facientes comprehendere tentat, ab iis capitur, ſed eadem nocte ſalvus evadit — tertio belli anno Lacedaemonii ad Magnam Foſſam pugnaturi Ariſtocratem, regem Arcadum, pecunia corrumpunt — de poena Neoptolemea dicta, qua Lacedaemonii poſtea afficiuntur — Ariſtocrates proelii initio Arcades ex acie ſubducit, et per medios Meſſenios cum iis aufugit — Meſſenii magna clade funduntur et fugantur — Ariſtomenes fugientes colligit, et cum iis in montem Iram ſeſe recipit, ubi XI annos Lacedaemoniorum obſidionem ſuſtinet.

Ἔστι δὲ Αἴγιλα τῆς Λακωνικῆς, ἔνθα ἱερὸν ἵδρυται ἅγιον Δήμητρος. ἐν]αῦθα ἐπισάμενος ὁ Ἀριστομένης καὶ οἱ σὺν αὐτῷ τὰς γυναῖκας ἀγούσας ἑορ]ὴν, ἀμύνεσθαι [1]) τῶν γυναικῶν οὐκ ἄνευ τῆς θεοῦ προαχθεισῶν, λαμβάνουσιν οἱ πολλοὶ τῶν Μεσσηνίων τραύματα μαχαίραις τε, αἷς τὰ ἱερεῖα αἱ γυναῖκες ἔθυον, καὶ ὀβελοῖς, οἷς τὰ κρέα ἔπειρον ὀπτῶσαι. τὸν δὲ Ἀριστομένην τύπ]ουσαι ταῖς δᾳσὶ ζῶν]α αἱροῦσιν· ἀπεσώθη δὲ ὅμως τῆς αὐτῆς ἐκείνης νυκ]ὸς ἐς τὴν Μεσσηνίαν. ἀφεῖναι δὲ αὐτὸν ἱέρεια τῆς Δήμητρος αἰτίαν ἔσχεν Ἀρχιδάμεια. ἀφῆκε δὲ οὐκ ἐπὶ χρήμασιν, ἀλλὰ ἐρῶσα ἔτυχεν αὐτοῦ πρότερον ἔτι, προὐφασίζετο δὲ, ὡς Ἀριστομένης διακαύσας τὰ δεσμὰ ἀποδρᾷς οἴχοιτο. Τρίτῳ δὲ ἔτει τοῦ πολέμου [2]) μελ- 2

1) ἑορτὴν, ἀμύνεσθαι] Poſt ἑορτὴν lacunam eſſe, facile patet. *Kuhn.* illam ita explendam putat: ἑορτὴν, ἁρπάζειν (mallem συλλαβεῖν) αὐτὰς ἐπειρῶ.το· ἀμύνεσθαι δὲ etc. Libri ſcripti collati nihil ſarciunt.

2) Τρίτῳ δὲ ἔτει τ. π.] *Amaſ.*, qui

λούσης γίνεσθαι συμβολῆς ἐπὶ τῇ καλουμένῃ Μεγάλῃ Τάφρῳ, καὶ Μεσσηνίοις Ἀρκάδων βεβοηθηκότων ἀπὸ πασῶν τῶν πόλεων, Ἀριστοκράτη τὸν Ἱκέτα Τραπεζούντιον, βασιλέα τῶν Ἀρκάδων, καὶ στρατηγὸν ὅπλα ἐν τῷ τότε, διαφθείρουσιν οἱ Λακεδαιμόνιοι χρήμασι. πρῶτοι γὰρ, ὧν ἴσμεν, Λακεδαιμόνιοι πολεμίῳ ἀνδρὶ δῶρα ἔδοσαν, καὶ ὤνιον πρῶτοι κατεστήσαντο εἶναι τὸ κράτος τὸ ἐν τοῖς ὅπλοις. πρὶν δὲ ἢ παρανομῆσαι Λακεδαιμονίους ἐς τὸν Μεσσηνίων πόλεμον, καὶ Ἀριστοκράτους τοῦ Ἀρκάδος τὴν προδοσίαν [3]), ἀρετῇ τε οἱ μαχόμενοι καὶ τύχαις ἐκ τοῦ θεοῦ διεκρίνοντο. Φαίνονται δὲ οἱ Λακεδαιμόνιοι καὶ ὕστερον, ἡνίκα ἐπὶ Αἰγὸς ποταμοῖς ταῖς Ἀθηναίων ναυσὶν ἀνθώρμουν, ἄλλους τε τῶν στρατηγούντων Ἀθηναίοις καὶ Ἀδείμαντον ἐξωνησάμενοι [4]). Περιῆλθε μέν τοι καὶ αὐτοὺς Λακεδαιμονίους ἀνὰ χρόνον ἡ Νεοπτολέμειος καλουμένη τίσις. Νεοπτολέμῳ γὰρ τῷ Ἀχιλλέως ἀποκτείναντι Πρίαμον ἐπὶ τῇ ἐσχάρᾳ τοῦ Ἑρκείου [5]), συνέπεσε καὶ αὐτὸν ἐν Δελφοῖς πρὸς τῷ βωμῷ τοῦ Ἀπόλλωνος ἀποσφαγῆναι, καὶ ἀπὸ τούτου τὸ παθεῖν, ὁποῖόν τις καὶ ἔδρασε, Νεοπτολέμειον τίσιν ὀνομάζουσι. τοῖς

qui interpretatur *eodem anno*, legisse videtur Τῷ αὐτῷ δὲ ἔτει.

3) τὴν προδοσίαν] Pendet hic accusativus a praecedente ἐς. De Aristocratis proditione et morte vid. etiam Polyb. L. IV. C. 33.

4) Ἀδείμαντον ἐξωνησάμενοι] Xenoph. Hist. Gr. L. II. C. 2. 32. ἠτιάθη μέν τοι ὑπό τινων προδοῦναι τὰς ναῦς.

5) τοῦ Ἑρκείου] scil. Διός, cujus binae arae memorantur L. V. C. 14. *Suid.* Ἑρκεῖος Ζεύς, ᾧ βωμοὶ ἐντὸς ἕρκους ἐν τῇ αὐλῇ ἵδρυνται· τὸν γὰρ περίβολον ἕρκος ἔλεγον. Vid. etiam Hesych. h. v. et ibi not. Neoptolemum ab Apollinis sacerdote interfectum esse, Paus. refert L. X. C. 24. prope fin.

τοῖς οὖν Λακεδαιμονίοις, ὅτε δὴ μάλιστα ἤνθησάν, καὶ Ἀθηναίων τε τὸ ναυτικὸν καθῃρήκεσαν, καὶ Ἀγησίλαος κεχείρωτο τὰ πολλὰ ἤδη τῆς Ἀσίας, τότε σφίσι τὴν ἀρχὴν πᾶσαν οὐκ ἐξεγένετο ἀφελέσθαι τὸν Μῆδον, ἀλλὰ [6]) σφᾶς ὁ βάρβαρος περιῆλθε τῷ ἐκείνων εὑρήματι, ἐς Κόρινθον καὶ Ἄργος καὶ ἐς Ἀθήνας τε καὶ Θήβας χρήματα ἀποσείλας. ὅ τε ὀνομαζόμενος Κορινθιακὸς πόλεμος ἀπὸ τούτων ἐξήφθη τῶν χρημάτων, ὡς ἀπολείπειν Ἀγησίλαον ἀναγκασθῆναι τὰ ἐν τῇ Ἀσίᾳ. Λακεδαιμονίοις μὲν τὸ ἐν Μεσσηνίοις σόφισμα ὁ δαίμων ἔμελλεν αὐτοῖς ἀποφανεῖν συμφοράν. Ἀριστοκράτης δὲ ὡς τὰ χρήματα ἐδέξατο ἐκ Λακεδαί- 4
μονος, τὸ μὲν παραυτίκα ἔκρυπτεν ἐς τοὺς Ἀρκάδας, οἷα ἐπεβούλευεν, μελλόντων δὲ ἐς χεῖρας ἤδη συνέρχεσθαι, τηνικαῦτα ἐξεφόβησεν αὐτούς, ὡς ἐν δυσχωρίᾳ τέ εἰσιν ἀπειλημμένοι, καὶ ἀναχώρησις οὐκ ἔσται αὐτοῖς, ἢν κρατηθῶσιν· τά τε ἱερὰ σφίσιν οὐκ ἔφη γεγονέναι κατὰ γνώμην. ἐκέλευεν οὖν πάντα τινὰ, ἐπειδὰν αὐτὸς σημήνῃ, φυγῇ χρῆσθαι. ὡς δὲ οἱ Λακεδαιμόνιοι συνέμισγον, καὶ ἦσαν ἐς τὸ κατ' αὐτοὺς οἱ Μεσσήνιοι τεταμμένοι, ἐνταῦθα Ἀριστοκράτης ἀρχομένης τῆς μάχης ἀπῆγε τοὺς Ἀρκάδας, καὶ τοῖς Μεσσηνίοις τό τε ἀριστερὸν καὶ μέσον ἠρήμωτο. οἱ γὰρ Ἀρκάδες σφίσιν εἶχον ἀμφότερα, ἅτε ἀπόντων μὲν Ἠλείων τῆς μάχης, ἀπόντων δὲ Ἀργείων καὶ Σικυωνίων. προσεξειργάσθη δὲ καὶ ἄλλο τῷ Ἀριστοκράτει· διὰ γὰρ Μεσσηνίων ἐποιεῖτο τὴν φυγήν. οἱ δὲ πρὸς τὸ ἀνέλπιστον τῶν παρόντων ἐγένοντο ἔκφρονες, καὶ

6) τότε σφίσι — τὸν Μῆδον, ἀλλὰ etc.] *tunc iis non licuit, totum Perſae adimere imperium; ſed* etc. Ad rem conf. ſupra L. III. C. 9. et Xenoph. Hiſt. Gr. L. III. C. 5. 1.

ἅμα ὑπὸ τῆς διεξόδου [7]) τῆς κατὰ σφᾶς τῶν Ἀρκάδων ἐταράσσοντο· ὥστε αὐτῶν ἐδέησαν οἱ πολλοὶ [8]) καὶ ἐπιλαθέσθαι τῶν ἐν χερσίν. ἀνὶ γὰρ τῶν Λακεδαιμονίων ἐπιφερομένων, ἤδη πρὸς τοὺς Ἀρκάδας ἀφεώρων φεύγοντας, καὶ οἱ μὲν παραμεῖναί σφισιν ἱκέτευον, οἱ δὲ καὶ λοιδορίαις ἐς αὐτοὺς ὡς ἐς ἄνδρας
5 προδότας καὶ οὐ δικαίους ἐχρῶντο. Λακεδαιμονίοις δὲ ἥ τε κύκλωσις τῶν Μεσσηνίων μονωθέντων ἐγένετο οὐ χαλεπὴ, καὶ νίκην ἑτοιμοτάτην πασῶν καὶ ἀπονωτάτην [9]) ἀνείλοντο. Ἀριστομένης δὲ καὶ οἱ σὺν αὐτῷ συνέμειναν μὲν, καὶ τῶν Λακεδαιμονίων τοὺς μάλιστα ἐγκειμένους ἀνείργειν [10]) ἐπειρῶντο· ὀλίγοι δὲ ὄντες οὐ μεγάλα ὠφέλουν. τῶν δὲ Μεσσηνίων τοῦ μὲν δήμου τοσοῦτον πλῆθος ἀνηλώθησαν, ὡς τὰ πρῶτα Λακεδαιμονίων δεσπότας ἀνὶ δούλων ἔσεσθαι νομίζοντας τότε μηδὲ ἐς τὴν σωτηρίαν αὐτὴν ἐπέχειν ἐλπίδα. ἀπέθανον δὲ καὶ τῶν πρωτευόντων ἄλλοι τε καὶ Ἀνδροκλῆς καὶ Φίντας, καὶ λόγου μάλιστα ἀξίως ἀγωνισάμενος Φάνας, ὃς πρότερον τούτων ἔτι δολιχοῦ
6 νίκην Ὀλυμπιάσιν ἦν ἀνηρημένος. Ἀριστομένης δὲ μετὰ τὴν μάχην τοὺς διαπεφευγότας τῶν Μεσσηνίων συνήθροιζε, καὶ Ἀνδανίαν μὲν καὶ εἴ τι ἄλλο ἐν μεσογαίᾳ πόλισμα ἔπεισε τὰ πολλὰ ἐκλείπειν, ἐς δὲ Εἶραν [11]) τὸ ὄρος ἀνοικίζεσθαι, συνελθόντας δὲ ἐς τοῦτο

7) διεξόδου] Cod. Mosc. ἐξόδου, sed vulgata rectior.

8) ὥστε αὐτῶν ἐδέησαν οἱ πολλοὶ etc.] *ita ut eorum multi vel ipsa, quae in manibus erant, omittere (obliviſci) cogerentur. Sylb.* et *Kuhn.* ἐδέησαν male interpretati sunt: *parum abfuit, quin multi* etc.

9) ἀπονωτάτην] Cod. Mosc. ἀπονώτατα.

10) ἀνείργειν] *arcere, repellere.* Illud repoſui ex Cod. Mosc. pro vulgata ἐνείργειν. *Kuhn.* ex ingenio jam ita emendaverat.

11) ἐς δὲ Εἶραν] Cod. Mosc. ἐς δὲ τὴν Εἶραν. Bene. In

τοῦτο τὸ χωρίον, προσεκάθηντο οἱ Λακεδαιμόνιοι πολιορκία σφᾶς αὐτίκα ἐξαιρήσειν νομίζοντες. ἀνῆκεσαν δὲ ὅμως οἱ Μεσσήνιοι, καὶ μετὰ τὴν ἐν Τάφρῳ συμφορὰν ἐνί τε καὶ δέκα ἔτεσιν ἀμυνόμενοι. τὸν δὲ χρόνον τῆς πολιορκίας γενέσθαι τοσοῦτον, δηλοῖ καὶ τάδε ὑπὸ Ῥιανοῦ πεποιημένα ἐς τοὺς Λακεδαιμονίους·

Οὔρεος ἀργεννοῖο περὶ πτύχας ἑστατόωντο
Χείματά τε ποίας τε δύω καὶ εἴκοσι πάσας.

χειμῶνας γὰρ καὶ θέρη κατέλεξε, πόας εἰπὼν τὸν χλωρὸν σῖτον, ἢ ὀλίγου πρὸ ἀμήτου.

CAPUT XVIII.

Messenii, Ira occupata, ex Laconico agro omnis generis praedas agunt — de frugum inopia et seditione inde Spartae orta — Aristomenes Amyclas capit, vulneratur et vivus captus in Ceadam conjicitur — inde miro modo evadit et in Iram redit.

Μεσσήνιοι δὲ ὡς ἐς τὴν Εἶραν ἀνωκίσθησαν, τῆς τε ἄλλης ἐξείργοντο [1]), πλὴν ὅσον σφίσιν οἱ Πύλιοι τὰ ἐπὶ θαλάσσῃ καὶ οἱ Μοθωναῖοι διέσωζον, ἐλήστευον τήν τε Λακωνικὴν καὶ τὴν σφετέραν, πολεμίαν ἤδη καὶ

sequentibus enim Pauf. semper articulum addit. *Stephan.* ex Rhiani Messeniacis montem Ἱερὰ profert, et Suidas v. τράγος hunc montem quoque Ἱερὰ scribit; in Paus. vero C. 20. 23. constanter Εἶρα scribitur. Strabo L. VIII. p. 553. memorat Ιρην urbem κατὰ τὸ ὄρος etc., quae illa esse videtur, cujus Pausan. mentionem fecit C. 30. init.

1) τῆς τε ἄλλ. ἐξ.] Haec ab antecedente ὡς pendent. Sic *Kuhnii* emendatio in sequentibus ἐλήστευόν τε τὴν Λακ. est supervacua.

ταύτην νομίζοντες. ἄλλοι τε δὴ συνίσαντο ἐς τὰς καταδρομὰς, ὡς ἕκαστοι τύχοιεν, καὶ Ἀριστομένης δὲ τοὺς περὶ αὐτὸν λογάδας ἐς τριακοσίων ἀριθμὸν προήγαγεν. ἦγον μὲν δὴ τὰ Λακεδαιμονίων καὶ ἔφερον, ὅποι καὶ δύναιτο αὐτῶν ἕκαστος. ἐλόντες δὲ σῖτον καὶ βοσκήματα καὶ οἶνον ἀνήλισκον, ἔπιπλα δὲ καὶ ἀνθρώπους ἀπεδίδοσαν χρημάτων. ὥστε καὶ ἐποιήσαντο οἱ Λακεδαιμόνιοι δόγμα, ἅτε τοῖς ἐν τῇ Εἴρᾳ μᾶλλον ἢ σφίσιν αὐτοῖς γεωργοῦντες, τὴν Μεσσηνίαν καὶ τῆς Λακωνικῆς τὴν προσεχῆ, ἕως ἂν πολεμῶσιν [2]), ἐᾶν
2 ἄσπορον. Καὶ ἀπὸ τούτου σιτοδεία ἐγένετο ἐν Σπάρτῃ, καὶ ὁμοῦ τῇ σιτοδείᾳ φάσις [3]). οὐ γὰρ ἠνείχοντο οἱ ταύτῃ τὰ κλήματα ἔχοντες, τὰ σφέτερα ἀργὰ εἶναι. καὶ τούτοις μὲν τὰ διάφορα διέλυε Τυρταῖος.
3 Ἀριστομένης δὲ ἔχων τοὺς λογάδας, τὴν μὲν ἔξοδον περὶ βαθεῖαν ἐποιήσατο ἑσπέραν, ἔφθη δὲ ὑπὸ τάχους τὴν ἐς Ἀμύκλας ἀνύσας πρὸ ἀνίσχοντος ἡλίου· καὶ Ἀμύκλας τὸ πόλισμα εἷλέ τε καὶ διήρπασε, καὶ τὴν ἀποχώρησιν ἐποιήσατο, πρὶν ἢ τοὺς ἐκ τῆς Σπάρτης προβοηθῆσαι [4]). κατέτρεχε δὲ καὶ ὕστερον τὴν χώραν, ἐς ὃ Λακεδαιμονίων λόχοις πλέον ἢ τοῖς ἡμίσεσι καὶ τοῖς βασιλεῦσιν ἀμφοτέροις συμβαλὼν ἄλλα τε ἔσχεν ἀμυνόμενος τραύματα, καὶ πληγέντι ὑπὸ λίθου τὴν κεφαλὴν αὐτῷ σκοτοδινιῶσιν οἱ ὀφθαλμοὶ [5]), καὶ πεσόντα ἀθρόοι τῶν Λακεδαιμονίων ἐπιδραμόντες ζῶντα

2) ἕως ἂν πολ.] Cod. Mosc. τίως ἂν πολ.

3) σιτοδείᾳ φάσις] In vulgatis inter haec duo verba inserta fuere haec, ἐγένετο ἐν Σπάρτῃ, quae librarii oscitantia ex superioribus male repetita esse facile conjicere licebat. Codicis Mosc. auctoritate adductus ista delevi.

4) προβοηθῆσαι] Recte *Kuhn.* emendat προσβοηθῆσαι.

5) σκοτοδινιῶσιν οἱ ὀφθαλμοὶ] οἱ, quod duriter in vulgatis aberat, reposui ex Cod. Mosc.

ζῶν]α αἱροῦσιν· ἤλωσαν δὲ καὶ τῶν περὶ αὐτὸν ἐς πεν]ήκον]α. τούτους ἔγνωσαν οἱ Λακεδαιμόνιοι ῥίψαι πάν]ας ἐς τὸν Κεάδαν [6]). ἐσβάλλουσι δὲ ἐν]αῦθα, οὓς ἂν ἐπὶ μεγίσοις τιμωρῶν]αι. Οἱ μὲν δὴ ἄλλοι 4
Μεσσηνίων ἐμπίπτοντες [7]) ἀπώλλυν]ο αὐτίκα· Ἀρισομένην δὲ ἔς τε τὰ ἄλλα θεῶν τις, καὶ δὴ καὶ τότε ἐφύλασσεν. οἱ δὲ ἀποσεμνύνοντες τὰ κατ' αὐτὸν Ἀρισομένει φασὶν ἐμβληθέν]ι ἐς τὸν Κεάδαν ὄρνιθα τὸν ἀετὸν ὑποπέτεσθαι καὶ ἀνέχειν ταῖς πτέρυξιν, ἐς ὃ κατήνεγκεν αὐτὸν ἐς τὸ πέρας, οὔτε πηρωθέν]α οὐδὲν τοῦ σώματος, οὔτε τραῦμα ἐπιλαβόν]α. ἔμελλεν δὲ ἄρα καὶ αὐτόθεν ὁ δαίμων ἔξοδον ἀποφαίνειν αὐτῷ. καὶ ὁ μὲν ὡς ἐς τὸ τέρμα ἦλθε τοῦ βαράθρου, κατεβλήθη τε καὶ ἐφελκυσάμενος τὴν χλαμύδα ἀνέμενεν, ὡς πάν]ως οἱ ἀποθανεῖν πεπρωμένον. τρίτῃ δὲ ὕσερον ἡμέρᾳ ψόφου τε αἰσθάνεται, καὶ ἐκκαλυψάμενος (ἐδύνατο δὲ ἤδη διὰ τοῦ σκότους διορᾶν) ἀλώπεκα εἶδεν ἀπ]ομένην τῶν νεκρῶν. ὑπονοήσας δὲ ἔσοδον εἶναι τῷ θηρίῳ ποθὲν, ἀνέμενεν ἐγγύς οἱ τὴν ἀλώπεκα γενέσθαι, γενομένης δὲ λαμβάνεται· τῇ δὲ ἑτέρᾳ χειρὶ, ὁπότε ἐς αὐτὸν ἐπισρέφοιτο, τὴν χλαμύδα προὔβαλλέν οἱ καὶ δάκνειν παρεῖχε. τὰ μὲν δὴ πλείω θεούσῃ συνέθει, τὰ δὲ ἄγαν δυσέξοδα καὶ ἀφείλκετο ὑπ' αὐτῆς. ὀψὲ δέ ποτε ὀπήν τε εἶδεν ἀλώπεκι ἐς διάδυσιν ἱκανὴν καὶ φέγγος δι' αὐτῆς. καὶ τὴν μὲν, ὡς ἀπὸ τοῦ Ἀρισομένους ἠλευθερώθη,

6) ἐς τὸν Κεάδαν] In Cod. Caſ. Καϊάδαν ſcriptum eſſe, *Kuhn.* affirmat. Variat ſcilicet ſcriptura, Καιάδας, Κεάδας, Καιάτας, Καιέτας. De hac ſupplicii loco vid. Strab. L. VIII. p. 564. et interpret. ad Thucyd. L. I. ſ. 134. Conf. Heſych. v. Καίατα. Athenienſibus ſimilis locus fuit Βάραθρον.

7) ἐμπίπτοντες] Cod. Moſc. ἐσπίπτοντες.

τὸ Φωλίον ἔμελλεν ὑποδέξεσθαι [8]). Ἀριστομένης δὲ (οὐ γάρ τι ἡ ὀπὴ καὶ τούτῳ παρέχειν ἐδύνατο ἔξοδον) εὐρυτέραν τε ταῖς χερσὶν ἐποίησε, καὶ οἴκαδε ἐς τὴν Εἶραν ἀποσώζεται, παραδόξῳ μὲν τύχῃ καὶ ἐς τὴν ἄλωσιν χρησάμενος· τὸ γάρ οἱ φρόνημα ἦν καὶ τὰ τολμήματα μείζονα, ἢ ὡς ἐλπίσαι τινὰ, Ἀριστομένην αἰχμάλωτον ἂν γενέσθαι· παραδοξότερα δέ ἐστι καὶ πάντων προδηλότατα οὐκ ἄνευ θεοῦ ἢ ἐκ τοῦ Κεάδα σωτηρία.

CAPUT XIX.

Ariſtomenes Corinthios Lacedaemoniis opem laturos noctu opprimit — ſacra, quae Hecatomphonia vocantur, facit — Lacedaemonii inducias XL. dierum pangunt, per quos ſagittarii Cretenſes Ariſtomenem incautum capiunt — Ariſtomenes a virgine quadam vinculis liberatur.

Λακεδαιμονίοις δὲ παραυτίκα μὲν ὑπὸ ἀνδρῶν ἐπηγγέλλετο αὐτομόλων, ὡς Ἀριστομένης ἐπανήκοι [1]) σῶς. νομιζομένου δὲ ἀπίστου κατὰ ταυτὰ, ἢ εἴ τινα τεθνεῶτα ἐλέγετο ἀναβιῶναι παρ' αὐτοῦ, τοιόνδε Ἀριστομένους ὑπῆρξεν ἐς πίστιν. Κορίνθιοι Λακεδαιμονίοις δύναμιν ὡς συνεξαιρήσοντας [2]) τὴν Εἶραν ἀποστέλλουσι. τούτους παρὰ τῶν κατασκόπων πυνθανόμενος ὁ Ἀριστομένης τῇ πορείᾳ τε ἀτακτότερον χρῆσθαι καὶ ταῖς στρατοπεδείαις ἀφυλάκτως, ἐπιτίθεται νύκτωρ σφίσι· καὶ τῶν τε ἄλλων καθευδόντων ἔτι ἐφόνευσε τοὺς πολλοὺς, καὶ

8) ὑποδέξεσθαι] Cod. Moſc. ὑποδέξασθαι.

1) ἐπανήκοι] Cod. Moſc. ἐπανήκει.

2) δύναμιν ὡς συνεξαιρήσοντας] *Xyland.* mavult συνεξαιρήσοντες. Nihil tamen mutandum; vid. not. ad C. 5. hujus Libri.

καὶ τοὺς ἡγεμόνας, Ὑπερμενίδη καὶ Ἀχλαδαῖον καὶ Λυσίστρατον καὶ Εἴδεκλον ἀποκλείνουσι [3]). διαρπάσας δὲ καὶ τὴν σκηνὴν τὴν στρατηγίδα, παρέσησεν εὖ εἰδέναι Σπαρτιάταις, ὡς Ἀριστομένης, καὶ οὐκ ἄλλος Μεσσηνίων, ἐστὶν ὁ ταῦτα εἰργασμένος. Ἔθυσε δὲ καὶ 2
τῷ Διὶ τῷ Ἰθωμάτᾳ τὴν θυσίαν, ἣν Ἑκατομφόνια [4]) ὀνομάζουσιν. αὕτη δὲ καθεστήκει μὲν ἐκ παλαιοτάτου· θύειν δὲ αὐτὴν Μεσσηνίων ἐνομίζετο, ὁπόσοι πολεμίους ἄνδρας κατεργάσαιντο ἑκατόν. Ἀριστομένει δὲ, ὅτε ἐπὶ Κάπρου σήματι ἐμαχέσατο, θύσαντι Ἑκατομφόνια πρῶτον, δεύτερα ἤδη θῦσαι καὶ ὁ ἐν τῇ νυκτὶ τῶν Κορινθίων παρέσχε φόνος. τοῦτον μὲν δὴ λέγουσι καὶ ἐπὶ ταῖς ὕστερον θῦσαι καταδρομαῖς θυσίαν τρίτην. Λακεδαιμόνιοι δὲ (ἐπήει γὰρ Ὑακίνθια) 3
πρὸς τοὺς ἐν τῇ Εἴρᾳ τεσσαράκοντα ἐποιήσαντο ἡμερῶν σπονδὰς, καὶ αὐτοὶ μὲν ἀναχωρήσαντες οἴκαδε ἑώρταζον [5]). Κρῆτες δὲ τοξόται (μετεπέμψαντο γὰρ ἔκ τε Λύκτου καὶ ἑτέρων πόλεων μισθωτοὺς) οὗτοί σφισιν ἀνὰ τὴν Μεσσηνίαν ἐπλανῶντο. Ἀριστομένην οὖν, ἅτε ἐν σπονδαῖς ἀπωτέρω τῆς Εἴρας γενόμενον καὶ προϊόντα ἀδεέστερον, ἐπὰ ἄνδρες ἀπὸ τῶν τοξοτῶν τούτων ἐλόχησαν· συλλαβόντες δὲ τοῖς ἱμᾶσι, οἷς εἶχον ἐπὶ ταῖς φαρέτραις, δέουσιν· ἐσπέρα γὰρ ἐπήει. δύο μὲν οὖν ἐς Σπάρτην ἀπ' αὐτῶν ἐλθόντες, Λακεδαιμονίοις Ἀριστο-

3) ἀποκτείνουσι] Pluralem numerum ab ἐφόνευσε, quod praecedit, abhorrere quisque videt. Quare *Jo. Opsopoeus*, uti *Sylb.* adnotavit, recte mihi corrigere videtur ἀποκτίννυσι vel ἀποκτείννυσι, quae verbi forma in Pausania aliquoties est obvia.

4) Ἑκατομφόνια] Cod. M. Ἑκατονφονίαν. Sed Plutarch. Romul. f. 25., ubi idem tangit, etiam exhibet Ἑκατομφόνια. Mox pro παλαιοτάτου Cod. M. dat παλαιοῦ.

5) ἑώρταζον] Cod. Mosc. ἑόρταζον.

Ἀριστομένην εὐηγγελίζοντο ἡλωκέναι· οἱ λοιποὶ δὲ ἀποχωροῦσιν ἐς Ἄγελον τὸν [6]) ἐν τῇ Μεσσηνίᾳ.
4 Ἐνταῦθα ᾤκει κόρη σὺν μητρὶ παρθένος, πατρὸς ὀρφανή. τῇ δὲ προτέρᾳ νυκτὶ εἶδεν ὄψιν ἡ παῖς, ὡς λέοντα ἐς τὸν ἀγρὸν λύκοι σφίσιν ἤγαγον δεδεμένον, καὶ οὐκ ἔχοντα ὄνυχας. αὕτη δὲ τοῦ δεσμοῦ τὸν λέοντα ἀπέλυσε, καὶ ἀνδροῦσα ἔδωκε τοὺς ὄνυχας [7]). οὕτω τε διασπασθῆναι τοὺς λύκους ἔδοξεν ὑπὸ τοῦ λέοντος. τότε δὲ ὡς τὸν Ἀριστομένην ἐσάγουσιν οἱ Κρῆτες, συνεφρόνησεν ἡ παρθένος ὕπαρ ἥκειν τὸ ἐν τῇ νυκτί οἱ πεφηνός, καὶ ἀνηρώτα τὴν μητέρα, ὅστις εἴη· μαθοῦσα δὲ ἐπερρώσθη τε, καὶ ἀπιδοῦσα ἐς αὐτὸν, τὸ προσταχθὲν συνῆκεν. οἶνον οὖν τοῖς Κρησὶν ἐγχέουσα, ἀνεδίδου, καὶ ὡς σφᾶς ἡ μέθη κατελάμβανεν, ὑφαιρεῖται τοῦ μάλιστα ὑπνωμένου τὸ ἐγχειρίδιον. τὰ μὲν δὴ δεσμὰ τοῦ Ἀριστομένους ἔτεμεν ἡ παρθένος· ὁ δὲ παραλαβὼν τὸ ξίφος διεργάσατο. ταύτην τὴν παρθένον λαμβάνει γυναῖκα Γόργος Ἀριστομένους· ἐδίδου δὲ Ἀριστομένης, τῇ παιδὶ ἐκείνων σῶσρα· ἐπεὶ Γόργῳ οὐκ ἦν πω δέκατον καὶ ὄγδοον ἔτος, ὅτε ἔγημεν.

6) Ἄγελον τὸν etc.] Cod. M. ἀγρὸν τόν. *Amaſ.*, qui interpretatur *in tugurium quoddam*, aliter legiſſe videtur. Supra C. 17. locus Laconiae memoratur Αἴγιλα.

7) καὶ ἀνδροῦσα ἔδωκε τοὺς ὄνυχας] ἀνδροῦν eſt *virile reddere, robur reddere.* Sic ſententia eſſet: *leoni robur et ungues reddidit.* Sed ἀνδροῦσα corruptum eſſe, jam interpretes ſuſpicati ſunt, et Cod. M. manifeſto declarat, exhibens ἀνευροῦσα, *et ungues invenit reddiditque.* Ita vero jam emendaverat *Tyrwhitt* in addend. ad Toupii Emendat. in Suid. etc. Vol. IV. p. 465.

CAPUT

CAPUT XX.

Ira undecimo post obsessionem anno expugnatur, et oraculi effatum sic exitum habet — Aristomenes quoddam Messeniorum arcanum defodit in monte Ithome — de exitio Messeniis adulterio et proditione importato.

Ἑνδεκάτῳ δὲ ἔτει τῆς πολιορκίας τήν τε Εἶραν ἐπέπρωτο ἁλῶναι, καὶ ἀνάστατους γενέσθαι Μεσσηνίους. καὶ δή σφισιν ἐπετέλεσεν ὁ θεὸς Ἀριστομένει καὶ Θεόκλῳ χρησθέντι [1]). τούτοις γὰρ ἐλθοῦσιν ἐς Δελφοὺς μετὰ τὴν ἐπὶ τῇ Τάφρῳ πληγὴν [2]), καὶ ἐπερομένοις ὑπὲρ σωτηρίας, τοσόνδε εἶπεν ἡ Πυθία·

Ἔστε [3]) τράγος πίνῃσι Νέδης ἑλικόῤῥοον [4]) ὕδωρ,
Οὐκ ἔτι Μεσσήνην ῥύομαι. σχεδόθεν γὰρ ὄλεθρος.

εἰσὶ δὲ αἱ πηγαὶ τῆς Νέδας ἐν ὄρει τῷ Λυκαίῳ [5]). προελθὼν δὲ ὁ ποταμὸς διὰ τῆς Ἀρκάδων, καὶ ἐπιστρέψας αὖθις ἐς τὴν Μεσσηνίαν, ὁρίζει τὰ ἐπὶ θαλάσσῃ Μεσσηνίοις καὶ Ἠλείοις τὴν γῆν. τότε δὲ οἱ

1) χρησθέντι] *Sylb.* emendat χρησθέντα (sc. τὰ), h. e. τὸν χρησμόν. *Aldina* vero dat χρησθέν τι, *oraculum quoddam*, quod *Kuhn.* praefert. Ad rem ipsam conf. *Suid.* v. τράγος.

2) πληγὴν] In *Aldina* male exhibetur πηγὴν, inde in Cod. Cas. φυγὴν vel μάχην emendatur. Sed πληγὴν recte se habere, alia Pausaniae loca testantur.

3) Ἔστε] Cod. Mosc. εὖτε. Bene.

4) ἑλικόῤῥοον] *tortuosum.* Vid. L. VIII. C. 41.

5) αἱ πηγαὶ τῆς Νέδας ἐν ὄρει τῷ Λυκαίῳ] L. VIII. C. 41. Nedae fontes in Cerausio monte, parte Lycaei, esse refert. De monte Lycaeo vid. L. VIII. C. 38.

οἱ μὲν τοὺς αἴγας τοὺς ἄρρενας [6]) ἐδεδοίκεσαν, μὴ πίνωσιν ἀπὸ τῆς Νέδας· τοῖς δὲ ἄρα ὁ δαίμων προεσήμαινε τοιόνδε. τὸ δένδρον τὸν ἐρινεὸν, εἰσὶν Ἑλλήνων οἱ καλοῦσιν ὄλυνθον, Μεσσήνιοι δὲ αὐτοὶ τράγον [7]). τότε οὖν πρὸς τῇ Νέδᾳ πεφυκὼς ἐρινεὸς οὐκ ἐς εὐθὺ ηὔξετο, ἀλλὰ ἔς τε τὸ ῥεῦμα ἐπέκλινε, καὶ τοῦ ὕδατος ἄκροις τοῖς φύλλοις ἐπέψαυε [8]). θεασάμενος δὲ ὁ μάντις Θέοκλος συνεβάλλετο, ὡς τὸν τράγον τὸν πίνοντα ἐκ τῆς Νέδας προεῖπεν ἡ Πυθία τὸν ἐρινεὸν τοῦτον, καὶ ὡς ἤδη Μεσσηνίοις ἥκει τὸ χρεών· καὶ ἐς μὲν τοὺς ἄλλους εἶχεν ἐν ἀπορρήτῳ, Ἀριστομένην δὲ πρός τε τὸν ἐρινεὸν ἤγαγε, καὶ ἀνεδίδασκεν, ὡς τῆς σωτηρίας ἐξήκοι [9]) σφίσιν ὁ χρόνος. Ἀριστομένης δὲ ἔχειν οὕτω πειθεται, καὶ ἀναβολὴν οὐκ ἔτι εἶναί σφισιν, προενοήσατο καὶ ἐκ τῶν παρόντων [10]). Καὶ ἦν γάρ τι ἐν ἀπορρήτῳ τοῖς Μεσσηνίοις [11])· ἔμελλε δὲ ἀφανισθὲν ὑποβρύχιον τὴν Μεσσήνην κρύψειν τὸν πάντα αἰῶνα· φυλαχθὲν δὲ, οἱ Λύκου τοῦ Πανδίονος χρησμοὶ Μεσσηνίους ἔλεγον χρόνῳ ποτὲ ἀνασώσεσθαι τὴν χώραν. τοῦτο δὴ ὁ Ἀριστομένης, ἅτε ἐπισάμενος τοὺς χρησμοὺς, ἐπεὶ νὺξ ἐγίγνετο, ἐκόμιζε. παραγενόμενος

6) ἄῤῥενας] Cod. Mosc. ἄρσενας et paullo infra ἐσήμαινε pro προεσήμαινε.

7) Μεσσήνιοι — τράγον] Vid. Suid. v. τράγος.

8) ἐπέψαυε] Cod. Mosc. ἔψαυεν.

9) ἐξήκοι] Cod. Mosc. ἐξήκει cum superscr. οι.

10) προενοήσατο καὶ ἐκ τῶν παρόντων] Amas. *ex praesenti rerum statu praesensserat.* Kuhn. *providit consuluitque rebus pro praesenti statu.* Sic interpungendum esset: — ἔχειν οὕτω πείθεται, καὶ ἀναβολὴν οὐκ ἔτι εἶναί σφισιν· προενοήσατο καὶ ἐκ τῶν παρόντων. Cod. Mosc. dat προεν. δὲ καὶ etc.

11) Καὶ ἦν γάρ τι ἐν ἀπορρήτῳ τ. Μεσσ.] Quidnam hoc fuerit, Pausan. copiosius declarat infra C. 26. in fine. Lamina fuit plumbea, cui magnarum dearum initia erant inscripta.

νόμενος δὲ, ἔνθα τῆς Ἰθώμης ἦν τὸ ἐρημότατον, κατώρυξεν ἐς Ἰθώμην τὸ ὄρος, καὶ Δία Ἰθώμην ἔχοντα, καὶ θεοὺς, οἱ Μεσσηνίους ἐς ἐκεῖνο ἔσωζον, φύλακας μεῖναι τῆς παρακαταθήκης ἡγούμενος, μηδὲ ἐπὶ Λακεδαιμονίοις ποιῆσαι τὴν μόνην καθόλου Μεσσηνίοις ἐλπίδα [12]). Μετὰ δὲ τοῦτο τοῖς Μεσσηνίοις ἤρχετο, καθὸ καὶ Τρωσὶν ἔτι πρότερον, γίγνεσθαι κακὰ [13]) ἀπὸ μοιχείας. ἐπεκράτουν μὲν αὐτοὶ, ἐπεὶ ἐκράτουν τοῦ τε [14]) ὄρους, καὶ τοῦ πρὸς τὴν Εἶραν ἄχρι τῆς Νέδας· ἦσαν δὲ οἰκήσεις καὶ ἔξω πυλῶν ἐνίοις. αὐτόμολος δὲ ἐς αὐτοὺς ἐκ τῆς Λακωνικῆς ἄλλως μὲν ἀφίκετο οὐδεὶς, οἰκέτης δὲ Ἐμπεράμου βουκόλος ἐλαύνων τοῦ δεσπότου τὰς βοῦς· ὁ δὲ Ἐμπέραμος ἦν ἀνὴρ ἐν Σπάρτῃ δόκιμος. οὗτος ὁ βουκόλος ἔνεμεν οὐ πόρρω τῆς Νέδας. ἀνδρὸς οὖν τῶν Μεσσηνίων τῶν οὐκ ἐντὸς τείχους ἐχόντων οἴκησιν γυναῖκα εἶδεν ἐφ' ὕδωρ ἐλθοῦσαν. ἐρασθεὶς δὲ, διαλεχθῆναι ἐτόλμησε, καὶ δοὺς δῶρα, συγγίνεται. καὶ ἀπὸ τούτου τὸν ἄνδρα παρε- 3

12) μηδὲ ἐπὶ Λακ. π. τὴν μόνην καθόλου Μεσσ. ἐλπίδα] Ferri quidem potest καθόλου, magis tamen mihi arridet praeclara *Kuhnii* emendatio scribentis καθόδου, *reditus*. Sic sententia est: *nec illos Lacedaemoniorum potestati esse tradituros illud, in quo unica Messeniorum spes reditus in patriam reposita sit.*

13) κακὰ] Cod. Mosc. pro hoc voce dat καί. Forte legendum sit κακὰ καί.

14) ἐπεκράτουν μὲν αὐτοὶ, ἐπεὶ ἐκράτουν τοῦ τε etc.] Haec lectorem in depravatae lectionis suspicionem statim inducant, necesse est. *Kuhn.* quidem pro ἐπεκράτουν paullo audacius scribendum esse conjicit ἐπ' ἄκρα ᾤκουν. Mihi contra in verbis ἐπεὶ ἐκράτουν mendum latere videtur; quae quidem verba, utpote ex ἐπεκράτουν librarii oscitantia male repetito enata, delenda et ita legendum esse suspicor: ἐπεκράτουν μὲν αὐτοὶ τοῦ τε ὄρους, κτλ. etc.

παρεφύλασσεν αὐτῆς, ὁπότε ἀποχωρήσειεν [15]) ἐς τὴν Φρουράν. ἀνὰ μέρος δὲ τοῖς Μεσσηνίοις τῆς ἀκροπόλεως ἐπήγετο ἡ φυλακή· ταύτῃ γὰρ τοὺς πολεμίους μάλιστα ἐδεδοίκεσαν, μὴ ὑπερβῶσιν αὐτοῖς ἐς τὴν πόλιν. ὁπότε οὖν οὗτος ἀποχωρήσειε, τηνικαῦτα ὁ βουκόλος ἐφοίτα παρὰ τὴν γυναῖκα. καί ποτε ἔτυχε σὺν ἄλλοις ἐς ἐκεῖνον περιήκουσα ἐν τῇ νυκτὶ φυλακή. ἔτυχε δὲ ὕειν πολλῷ τὸν θεὸν, καὶ ἐκλείπουσιν οἱ Μεσσήνιοι τὴν Φρουράν· τὸ γὰρ ὕδωρ ἐβιάζετο σφᾶς ἀθρόον ἐκ τοῦ οὐρανοῦ καταχεόμενον, οὔτε ἐπάλξεων ᾠκοδομημένων, οὔτε πύργων ὑπὸ σπουδῆς τοῦ τειχισμοῦ. καὶ ἅμα αὐδὲ κινήσεσθαι τοὺς Λακεδαιμονίους ἤλπιζον ἐν ἀσελήνῳ νυκτὶ καὶ οὕτω χειμερίῳ. Ἀριστομένης δὲ οὐ πολλαῖς πρότερον ἡμέραις [16]) Κεφαλλῆνα ἔμπορον, ἑαυτῷ ξένον, καὶ ἐσάγοντα ἐς τὴν Εἶραν, ὁπόσων ἐδέοντο, ἑαλωκότα ὑπὸ Λακεδαιμονίων καὶ τοξοτῶν Ἀπτεραίων, ὧν ἦρχεν Εὐρύαλος Σπαρτιάτης, τοῦτον τὸν Κεφαλλῆνα ἀφαιρούμενος, ἐκεῖνον μὲν καὶ τὰ χρήματα, ὁπόσα ἦγεν, ἀπέσωσεν, αὐτὸς δὲ ἐτέτρωτο, καὶ οὐκ ἐδύνατο ἐπιφοιτᾶν τοῖς φυλάσσουσι, καθάπερ εἰώθει. τοῦτο μάλιστα αἴτιον ἐγένετο ἐκλειφθῆναι τὴν ἀκρόπολιν. τῶν τε δὴ ἄλλων ἕκαστος ἀνεχώρησεν ἀπὸ τῆς Φρουρᾶς, καὶ τῆς ὑπὸ τοῦ βουκόλου μοιχευομένης ὁ ἀνήρ. ἡ δὲ τηνικαῦτα ἔνδον εἶχε τὸν βουκόλον, αἰσθάνεταί τε τοῦ ἀνδρὸς ἐπιόντος, καὶ αὐτίκα, ὡς τάχους εἶχεν, ἀποκρύπτει τὸν ἄνθρωπον. ἐσελθόντα δὲ τὸν ἄνδρα ἐφιλοφρονεῖτο, ὡς οὔπω πρότερον, καὶ ἠρώτα, καθ' ἥν τινα αἰτίαν ἥκοι. ὁ δὲ οὔτε μοιχευ-

15) ὁπότε ἀποχωρήσειεν] Cod. Mosc. ὁπότε ἀπεχωρήσει.

16) πολλ. πρότερον ἡμ.] Cod. M. πολλ. ὕστερον ἡμ., et mox pro Κεφαλλῆνα bis exhibet Κεφαλήνα.

μοιχευομένην εἰδὼς, οὔτε ἔνδον ὄντα τὸν βουκόλον, ἐχρῆτο τῷ ἀληθεῖ λόγῳ, καὶ αὐτός τε διὰ τοῦ ὄμβρου τὸ βίαιον καὶ τῶν ἄλλων ἕκαστον ἔφασκεν ἀπολελοιπέναι τὴν Φρουράν. ἐπηκροᾶτο δὲ λέγοντος ὁ βουκόλος, καὶ ὡς ἀκριβῶς ἐπύθετο ἕκαστα, αὖθις ἐκ τῶν Μεσσηνίων ἐς τοὺς Λακεδαιμονίους ἀφίκετο αὐτόμολος. Λακεδαιμονίοις δὲ οἱ μὲν βασιλεῖς ἀπὸ στρατοπέδου τηνικαῦτα ἀπήεσαν, πολεμαρχῶν δὲ τότε Ἐμπέραμος ὁ τοῦ βουκόλου δεσπότης προεκάθητο [17]) τῇ Εἴρᾳ. ἀφικόμενος οὖν ἐς τοῦτον πρῶτα μὲν τὸ ἐπὶ τῷ δρασμῷ παρητεῖτο ἁμάρτημα, δεύτερα δὲ ἀνεδίδασκεν, ὡς τὴν Εἶραν ἐν τῷ παρόντι μάλιστα αἱρήσουσιν, αὐτὰ ἕκαστα, ὁπόσα ἤσθετο τοῦ Μεσσηνίου, διηγούμενος.

CAPUT XXI.

De Ira proditione expugnata narratio.

Ἔδοξέ τε δὴ λέγειν πισὰ, καὶ ἡγεῖτο Ἐμπεράμῳ καὶ τοῖς Σπαρτιάταις. ἦν δὲ ἡ πορεία χαλεπὴ σφισιν, ἅτε ἐν σκότῳ, καὶ οὐκ ἀνιέντος τοῦ ὑετοῦ· ὅμως δὲ ὑπὸ προθυμίας ἤνυσαν, καὶ ὡς κατὰ τὴν ἀκρόπολιν τῆς Εἴρας ἐγίνοντο, ὑπερέβαινον κλίμακάς τε προστιθέντες, καὶ ὅτῳ τις ἐδύνατο ἄλλῳ τρόπῳ. τοῖς δὲ Μεσσηνίοις παρεῖχετο μὲν τοῦ παρόντος κακοῦ καὶ ἄλλα αἴσθησιν, μάλιστα δὲ οἱ κύνες οὐ κατὰ τὰ εἰωθότα ὑλακτοῦντες, ἀλλὰ συνεχεστέρᾳ καὶ βιαιοτέρᾳ τῇ κραυγῇ χρώμενοι. γνόντες οὖν τὸν ὕστατον ὁμοῦ καὶ ἀναγκαιότατον σφᾶς ἀγῶνα ἐπειληφότα, οὐδὲ τὰ ὅπλα ἅπαντα ἀνελάμβανον, ἀλλ' ὅτῳ προχείρῳ μάλιστα

17) προεκάθητο] *Sylb.* emendat προσεκάθητο.

μάλιστα τύχοι [1]) τις, ἁρπάζοντες ἤμυνον τῇ πατρίδι, ἡ μόνη σφίσιν ἐλείπετο ἐκ τῆς Μεσσηνίας πάσης. πρῶτοι δὲ ἥσθοντο ἔνδον τῶν πολεμίων ὄντων, καὶ ἐβοήθουν ἐπ' αὐτοὺς πρῶτοι, Γόργος τε ὁ Ἀριστομένους καὶ Ἀριστομένης αὐτὸς, Θεόκλος τε ὁ μάντις, καὶ ὁ Μάντικλος ὁ Θεόκλου· σὺν δὲ αὐτοῖς Εὐεργετίδας ἀνὴρ καὶ ἄλλως ἐν Μεσσήνῃ τιμώμενος, καὶ διὰ τὴν γυναῖκα ἐπὶ πλέον ἀξιώματος ἥκων· ἀδελφὴν γὰρ εἶχεν Ἀριστομένους Ἀγναγόραν. τότε δὲ οἱ μὲν ἄλλοι συνιέντες, ὡς ἐν δικτύοις εἰσὶν ἐσχημένοι, ὅμως καὶ ἐκ
2 τῶν παρόντων εἶχόν τινα ἐλπίδα. Ἀριστομένης δὲ καὶ ὁ μάντις ἠπίσαντο μὲν οὐδεμίαν ἔτι ἀναβολὴν ὀλέθρου Μεσσηνίοις οὖσαν, ἅτε εἰδότες καὶ τὸν χρησμὸν, ὃν ἠνίξατο ἐς τὸν τράγον ἡ Πυθία· ἐπέκρυπτον [2]) δὲ οὐδὲν ἧσσον, καὶ ἦν σφίσιν ἐς τοὺς ἄλλους ἀπόῤῥητον. ἐπιόντες δὲ τὴν πόλιν σπουδῇ, καὶ ἐπὶ πάντας ἐρχόμενοι, τοῖς τε ἐντυγχάνουσιν, ὁπότε αἰσθάνοιντο ὄντας Μεσσηνίους, παρεκελεύοντο ἄνδρας ἀγαθοὺς εἶναι, καὶ ἐκ τῶν οἰκιῶν ἀνεκάλουν τοὺς ἔτι ὑπολειπομένους.
3 Ἐν μὲν δὴ νυκτὶ οὐδὲν ἄξιον ἐπράχθη λόγου παρ' ἀμφοτέρων. τοῖς μὲν γὰρ ἡ ἀπειρία τῶν τόπων καὶ ἡ τόλμα Ἀριστομένους παρεῖχε μελλησμόν [3])· τοῖς δὲ Μεσσηνίοις οὔτε παρὰ τῶν στρατηγῶν σύνθημα ἐγεγόνει φθάνοντας εἰληφέναι, τάς τε δᾷδας, ἢ εἴ τινα λαμπτῆρα ἀλλοῖον ἅψαιτό τις, ὑὼν ἂν ἐσβέννυεν ὁ θεός. ἐπειδὴ δὲ ἡμέρα τε ἦν, καὶ ἀλλήλους καθορᾶν

1) τύχοι] *Sylb.* mavult ἐντύχοι vel ἐπιτύχοι. Sed τυχεῖν in Pausania aliquoties pro istis compositis positum reperitur.

2) ἐπέκρυπτον] Cod. Mosc. ἀπέκρυπτον.

3) ἡ τόλμα Ἀριστομένους π. μελλησμόν] Cod. Mosc. ἡ τόλμα τοῦ Ἀρ. Pro μελλησμὸν *Hartung.* mavult formam magis usitatam μελλισμόν.

ρᾶν ἐδύναντο, ἐνταῦθα Ἀριστομένης καὶ Θέοκλος ἐπειρῶντο ἐς πᾶσαν ἀπόνοιαν προάγειν τοὺς Μεσσηνίους, ἄλλα τε, ὁπόσα εἰκὸς ἦν, διδάσκοντες, καὶ Σμυρναίων τὰ τολμήματα ἀναμιμνήσκοντες· ὡς Ἰώνων μοῖρα ὄντες Γύγην τὸν Δασκύλου [4]) καὶ Λυδοὺς ἔχοντας σφῶν τὴν πόλιν ὑπὸ ἀρετῆς καὶ προθυμίας ἐκβάλοιεν. Οἱ Μεσσήνιοι δὲ ἀκούοντες ἀπονοίας 4
τε ἐνεπίπλαντο, καὶ συνιστάμενοι καθ' ὁπόσους ἕκασοι τύχοιεν, ἐφέροντο ἐς τοὺς Λακεδαιμονίους. ὥρμησαν δὲ καὶ γυναῖκες τῷ κεράμῳ, καὶ ὅτῳ δύναιτο ἑκάστη, τοὺς πολεμίους βάλλειν. τοῦτο μὲν δὴ μὴ δρᾶσαι σφᾶς, μηδὲ ἐπιβῆναι τῶν τειχῶν, τοῦ ὄμβρου τὸ βίαιον ἐπεκώλυε. λαβεῖν δὲ ὅπλα ἐτόλμησαν, καὶ τοῖς ἀνδράσιν ἐπὶ πλέον αὖται τὴν τόλμαν ἐξῆψαν, ὁπότε καὶ τὰς γυναῖκας ἑώρων προτιμώσας συναπολέσθαι τῇ πατρίδι, ἢ ἀχθῆναι δούλας ἐς Λακεδαίμονα· ὥσε κἂν παρελθεῖν ἠδυνήθησαν τὸ πεπρωμένον. ἀλλὰ ὁ θεὸς τὸ ὕδωρ ἐπήγαγεν ἀθρόον μᾶλλον μετὰ ἰσχυροῦ τῶν βροντῶν τοῦ ψόφου, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐναντίαις ταῖς ἀστραπαῖς ἐξέπληττε [5]). τοῖς δὲ Λακεδαιμονίοις ταῦτα πάντα παρίστη φρόνημα, καὶ αὐτὸν ἀμύνειν σφίσιν ἔφασαν τὸν θεόν. καὶ (ἤστραπτε γὰρ τούτοις κατὰ δεξιὰ) ἀπέφαινεν Ἕκατος ὁ μάντις, ὡς αἴσιον εἴη τὸ σημεῖον. Οὗτος δὲ καὶ 5
στρατήγημα ἐξεῦρε τοιόνδε. ἀριθμῷ καὶ πολὺ οἱ Λακεδαιμόνιοι περιῆσαν. ἅτε δὲ οὐκ ἐν εὐρυχωρίᾳ σφίσιν οὐδὲ κατὰ σύνταγμα ἐγγινομένης τῆς μάχης, ἄλλων δὲ ἄλλῳ [6]) τῆς πόλεως ποιουμένων τὸν ἀγῶνα,

4) ὡς — Γύγην τὸν Δασκύλου etc.] De hoc vid. Herodot. L. I. ſ. 14.

5) ἐξέπληττε] Cod. Moſc. ἐξέπλησε.

6) ἄλλων δὲ ἄλλῳ] *Sylb.* et *Kuhn.*

ἀχρείους ἀπὸ ἑκάστης τάξεως συνέβαινεν εἶναι τοὺς τελευταίους. τούτους ἐκέλευεν ἀποχωρήσαντας ἐς τὸ στρατόπεδον σιτίων μεταλαβεῖν καὶ ὕπνου, καὶ αὖθις πρὸς ἑσπέρας ἥκειν τοῖς ὑπομείνασιν αὐτῶν διαδεξομένους [7]) τὸν πόνον. καὶ οἱ μὲν ἀναπαυόμενοί τε
6 καὶ ἀνὰ μέρος μαχόμενοι μᾶλλον ἀντήρκουν. Τοῖς δὲ Μεσσηνίοις πανταχόθεν παρίστατο ἀπορία· μεθ' ἡμέραν γὰρ ἀεὶ καὶ νύκτα συνεχῶς οἱ αὐτοὶ τρίτην ἡμύνοντο. ἤδη τε ἡμέρα ἦν, καὶ ἥ τε ἀϋπνία καὶ ἐκ τοῦ οὐρανοῦ τὸ ὕδωρ τε καὶ ῥῖγος ἐπίεζε σφᾶς, ὅ τε λιμὸς καὶ ἡ δίψα ἐπέκειτο. μάλιστα δὲ αἱ γυναῖκες ἀηθείᾳ τε πολέμου καὶ τῇ συνεχείᾳ τῆς ταλαιπωρίας
7 ἀπειρήκεσαν. Παραστὰς οὖν ὁ μάντις Θέοκλος πρὸς Ἀριστομένην εἶπε· Τί μάτην τόνδε ἔχεις τὸν πόνον; ἀλῶναι Μεσσήνην πάντως ἐστὶ πεπρωμένον. συμφορὰν δὲ τὴν ἐν ὀφθαλμοῖς πάλαι τε ἡμῖν προεσήμαινεν ἡ Πυθία, καὶ ἔναγχος ὁ ἐρινεὸς ἔδειξεν. ἐμοὶ μὲν οὖν ὁ θεὸς αὐτῷ κοινὴν πρὸς τὴν πατρίδα ἐπάγει τὴν τελευτήν· σὺ δὲ σώζειν μὲν, ὡς δυνάμεως ἥκεις, Μεσσηνίους, σώζειν δὲ καὶ σαυτόν. ἐπεὶ δὲ εἶπε πρὸς τοῦτον, ἐπὶ τοὺς πολεμίους ἴθει· καί οἱ καὶ ἐς τοὺς Λακεδαιμονίους ἔπεισιν ἐκβοῆσαι τοσόνδε· Ἀλλ' οὗτοι τὸν πάντα γε χρόνον χαίροντες καρπώσεσθε τὰ Μεσσηνίων. μετὰ τοῦτο τοῖς καθ' αὑτὸν ἀνθεστηκόσιν ἐμπεσὼν, ἐκείνους τε ἔκτεινε, καὶ αὐτὸς ἐτιτρώσκετο· προεμπλήσας δὲ τὸν θυμὸν τῷ φόνῳ τῶν ἐχθρῶν, ἀφίησι τὴν
8 ψυχήν. Ἀριστομένης δὲ ἀπὸ τῆς μάχης ὀπίσω τοὺς Μεσσηνίους ἀνεκάλει, πλὴν ὅσοι κατὰ ἀνδραγαθίαν αὐτῷ

Kuhn. bene emendant ἄλλων δὲ ἄλλη. ξομένους] Cod. Mosc. ὑπομενοῦσιν αὐτ. διαδεξαμένους.

7) ὑπεμείνασιν αὐτῶν διαδε-

αὐτῷ προσεμάχοντο· τούτους δὲ εἶα κατὰ χώραν μένειν. τοῖς δὲ λοιποῖς προσέταξε τὰς γυναῖκας καὶ τὰ τέκνα ἐντὸς τῆς τάξεως ἔχοντας ἐπακολουθεῖν, ἧπερ ἂν αὐτὸς παρέχηται διέξοδον. καὶ τούτων μὲν τοῖς τελευταίοις Γόργον καὶ Μάντικλον ἐπέστησεν ἄρχοντας· αὐτὸς δὲ ἀναδραμὼν ἐς τοὺς προτεταγμένους, τῆς τε κεφαλῆς τῷ νεύματι καὶ τοῦ δόρατος τῇ κινήσει δῆλος ἦν διέξοδόν τε αἰτούμενος, καὶ ἀποχωρεῖν ἤδη βεβουλευμένος. τῷ τε οὖν Ἐμπεράμῳ καὶ Σπαρτιατῶν τοῖς παροῦσι διεῖναι [8]) τοὺς Μεσσηνίους ἤρεσκε, μηδὲ λυσσῶντας ἀνθρώπους καὶ ἐς τὸ ἔσχατον ἀπονοίας ἥκοντας ἐξαγριᾶναι πέρα. καὶ ἅμα οὕτω σφᾶς ποιεῖν Ἕκατος ὁ μάντις ἐκέλευεν.

CAPUT XXII.

Arcades Messenios Ira expulsos ad Lycaeum montem benevole excipiunt — Aristomenes, qui Spartae invadendae consilium capit et perficere parat, ab Aristocrate denuo proditur — Aristocratis proditione indicata, Arcades illum lapidibus conficiunt.

Οἱ δὲ Ἀρκάδες παραυτίκα τε τὴν καταλῆψιν ἐπυνθάνοντο τῆς Εἴρας, καὶ αὐτίκα τὸν Ἀριστοκράτην ἐκέλευον σφᾶς ἄγειν, ὡς ἢ σώσοντας Μεσσηνίους, ἢ σὺν αὐτοῖς ἀπολουμένους. ὁ δὲ ἄρτι ἐκ τῆς Λακεδαίμονος δεδεγμένος δῶρα, οὔτε ἄγειν ἤθελεν, εἰδέναι τε ἔφασκεν οὐδένα ἔτι Μεσσηνίων, ὅτῳ καὶ ἀμυνοῦσιν, ὅτα ὑπόλοιπον. τότε δὲ ὡς σαφέστερον ἠσθάνοντο περιόντας καὶ ἐκλείπειν τὴν Εἶραν βεβιασμένους, αὐτοὶ μὲν

8) διεῖναι] Cod. Mosc. διέναι. Forte διϊέναι.

περὶ τὸ ὄρος σφᾶς τὸ Λύκαιον ἔμελλον ὑποδέξασθαι, προσοιμασάμενοι καὶ ἐσθῆτα καὶ σιτία· ἄνδρας δὲ τῶν ἐν τέλει πέμπουσι παραμυθεῖσθαί τε τοὺς Μεσσηνίους, καὶ ἡγεμόνας τῆς πορείας ἅμα γενέσθαι. καὶ τοὺς μὲν, ὡς ἐς τὸ Λύκαιον ἀνεσώθησαν, ἐξένιζον, καὶ τὰ ἄλλα εὐνοϊκῶς περιεῖπον οἱ Ἀρκάδες, καταγέμειν τε ἐς τὰς πόλεις ἤθελον καὶ ἀναδάσασθαι δι' ἐκείνους[1]) τὴν γῆν. Ἀρισομένει δὲ ὅ τε οἶκος διαρπαζομένης τῆς Εἴρας, καὶ τὸ μῖσος τὸ ἐς τοὺς Λακεδαιμονίους βούλευμα παρίσησι τοιόνδε. πεντακοσίους τῶν Μεσσηνίων, οὓς μάλιστα ἠπίστατο αὐτῶν ἀφειδῶς ἔχοντας, ἀποκρίνας ἀπὸ τοῦ πλήθους, ἤρετο σφᾶς ἐν ἐπηκόῳ τῶν τε ἄλλων Ἀρκάδων καὶ Ἀριστοκράτους, ἅτε οὔπω προδόην οὐκ εἰδὼς (ἀνανδρίᾳ γὰρ καὶ ὑπὸ δειλίας φυγεῖν τότε ἤδη καὶ Ἀριστοκράτη τῆς μάχης, καὶ οὐ διὰ κακίαν οὐδεμίαν, ἐδόξαζεν αὐτὸν, ὥστε ἐναντίον καὶ τούτου τοὺς πεντακοσίους ἤρετο), εἰ τιμωροῦντες τῇ πατρίδι ἀποθνήσκειν σὺν αὐτῷ ἐθελήσουσι. φαμένων δὲ ἐθέλειν, ἀπεγύμνου τὸ πᾶν, ὡς πάντως τῆς ἐπιούσης ἑσπέρας[2]) ἐπὶ τὴν Σπάρτην ἄγειν μέλλοι. Λακεδαιμονίων γὰρ τότε δὴ μάλιστα ἐς τὴν Εἶραν ἀπῆσαν[3]) οἱ πολλοὶ, καὶ ἄλλοι τε ἐπεφοίτων φέροντες καὶ ἄγοντες τὰ Μεσσηνίων. καὶ ἢν μὲν ἑλεῖν τὴν Σπάρτην καὶ κατασχεῖν δυνηθῶμεν, ἔφασκεν ὁ Ἀρισομένης, ἐσὶν ἡμῖν ἀποδόντας Λακεδαιμονίοις τὰ ἐκείνων, κομίσασθαι τὰ οἰκεῖα· ἁμαρτάνοντες δὲ, ὁμοῦ ἀπο-

1) ἀναδάσασθαι δι' ἐκείνους] Vocula δι' constructionem reddit duriorem. Forte illa delenda sit, quippe quae ex praecedenti syllaba AI facile enasci potuerit.

2) τῆς ἐπιούσης ἑσπέρας] Cod. Mosc. τῆς ἐπιούσης ἡμέρας.

3) ἀπῆσαν] *Sylb.* mavult ἀπῆεσαν, uti supra est C. 20. in fine.

ἀποθανούμεθά γε, μνήμης καὶ τοῖς ἔπειτα ἄξια ἐργασάμενοι. ταῦτα εἰπόντος, τῶν Ἀρκάδων ὅσον τριακόσιοι μετέχειν καὶ αὐτοὶ τοῦ τολμήματος ἤθελον. καὶ τότε μὲν ἐπεῖχον τῆς ἐξόδου· τὰ γὰρ ἱερὰ ἐγίγνετο αὐτοῖς οὐ καλὰ γνώμην. Τῇ δὲ ἐπιούσῃ τό 3
τε ἀπόῤῥητον ἔγνωσαν σφῶν τοὺς Λακεδαιμονίους προπεπυσμένους, καὶ αὐτοὶ δεύτερον ὑπὸ Ἀριστοκράτους προδεδομένοι. τὰ γὰρ τοῦ Ἀριστομένους βουλεύματα αὐτίκα ὁ Ἀριστοκράτης ἐγγράψας βιβλίῳ, καὶ τὸ βιβλίον ἐπιθεὶς τῶν οἰκετῶν, ὃν ἠπίστατο ὄνους εὐνούστατον, παρὰ Ἀνάξανδρον [4]) ἀπέστελλεν ἐς Σπάρτην. ἐπανιόντα δὲ τὸν οἰκέτην λοχῶσιν ἄνδρες τῶν Ἀρκάδων, διάφοροι καὶ πρότερον τῷ Ἀριστοκράτει, σχόντες δ' ἐπ. καὶ ὕποπτον τότε ἐς αὐτόν. λοχήσαντες δὲ τὸν οἰκέτην ἐπαναγουσιν ἐς τοὺς Ἀρκάδας, καὶ ἐπεδείκνυον ἐς τὸν δῆμον τὰ ἀνταπεσταλμένα [5]) ἐκ Λακεδαίμονος. ἐπέστελλέν τε ὁ Ἀνάξανδρος, φυγήν τε αὐτῷ τὴν πρότερον ἀπὸ τῆς Μεγάλης Τάφρου φάμενος οὐκ ἀνόνητον ἐκ Λακεδαιμονίων γενέσθαι· προσέστεσθαι δέ οἱ χάριν καὶ τῶν ἐν τῷ παρόντι μηνυμάτων. Ὡς δὲ ἀπηγ- 4
γέλθη [6]) ταῦτα ἐς ἅπαντας, αὐτοί τε τὸν Ἀριστοκράτην ἔβαλλον οἱ Ἀρκάδες, καὶ τοῖς Μεσσηνίοις διεκελεύοντο· οἱ δὲ ἐς τὸν Ἀριστομένην ἀπέβλεπον, καὶ ὁ μὲν ἐς τὴν γῆν ἀφορῶν ἔκλαιε. τὸν δὲ Ἀριστοκράτην οἱ Ἀρκάδες καταλιθώσαντες, τὸν μὲν τῶν ὅρων ἐκτὸς ἐκ-

4) παρὰ Ἀνάξανδρον] Restitui παρὰ ex Cod. Mosc. et Aldina pro vulgata πρὸς, quam Xyland. dederat. Παρὰ sic usurpatur a Xenophonte et Thucydide.

5) ἀνταπεσταλμένα] Cod. Mosc. ἀντεπισταλμένα, in quo vera lectio latet ἀντεπεσταλμένα. Mox pro ἐπέστελλέν τε mavult Sylb. ἐπέστελλεν δέ.

6) ἀπηγγέλθη] Cod. Mosc. ἐπηγγέλθη.

βάλλουσιν ἄλαφον, σήλην δὲ ἀνέθεσαν ἐς τὸ τέμενος τοῦ Λυκαίου λέγουσαν·

Πάντως ὁ χρόνος εὗρε δίκην ἀδίκῳ βασιλῆι [7]),
Εὗρε δὲ Μεσσήνης σὺν Διὶ τὸν προδόλην
Ῥηϊδίως. χαλεπὸν δὲ λαθεῖν θεὸν ἄνδρ' [8]) ἐπίορκον.

Χαῖρε Ζεῦ βασιλεῦ, καὶ σάου [9]) Ἀρκαδίαν.

CAPUT XXIII.

Meſſeniorum ſuperatorum alii in Hilotarum numerum referuntur, alii Cyllenen ſe recipiunt, et coloniae deducendae conſilium capiunt — de tempore ſecundi belli Meſſenici finiti — Anaxilas, Rhegii in Italia tyrannus, Meſſenios arceſſit et in Siciliam traducit — Meſſenii cum Rheginis Zanclaeos ſuperant, et cum his juncti urbem Zanclen incolunt, quam Meſſenen appellant — de Hercule Manticlo.

Τῶν δὲ Μεσσηνίων ὁπόσοι περὶ τὴν Εἶραν ἢ καὶ ἑτέρωθί που τῆς Μεσσηνίας ἐγκαλελείφθησαν, τούτους μὲν οἱ Λακεδαιμόνιοι προσένειμαν ἐς τὸ Εἰλωτικόν· Πύλιοι δὲ καὶ Μοθωναῖοι καὶ ὅσοι τὰ παραθαλάσσια ᾤκουν, ναυσὶν ὑπὸ τὴν ἅλωσιν τῆς Εἴρας ἀπαίρουσιν ἐς Κυλλήνην τὸ ἐπίνειον τὸ Ἠλείων [1]). ἐκεῖθεν δὲ παρὰ τοὺς ἐν Ἀρκαδίᾳ Μεσσηνίους ἀπέστελλον, ἐθέλοντες κοινῷ σόλῳ χώραν, ἔνθα οἰκήσουσιν, ἀναζητεῖν, καὶ Ἀριστομένην ἐκέλευον ἡγεῖσθαί σφισιν ἐς ἀποικίαν. ὁ δὲ αὐτὸς μὲν ἕως ἂν περιῇ, πολεμήσειν Λακε-

7) βασιλῆι] Cod. Moſc. βασιλεῖ.
8) ἄνδρ'] Cod. Moſc. ἄνδρα.
9) σάου] Cod. Moſc. σῶζε.
1) Κυλλήνην — Ἠλείων] De Cyllene vid. Pauſ. L.VI. C. 26.

Λακεδαιμονίοις ἔφασκεν, ἐπίστασθαι δὲ ἀκριβῶς, ὡς ἀεί τι ἀναφύσεται τῇ Σπάρτῃ δι' αὐτοῦ κακόν· ἐκείνοις δὲ Γόργον καὶ Μάντικλον ἔδωκεν ἡγεμόνας. ὁ δὲ Εὐεργετίδας [2]) ἐς μὲν τὸ Λύκαιον σὺν τοῖς ἄλλοις Μεσσηνίοις καὶ αὐτὸς ἀπεχώρησεν· ἐκεῖθεν δὲ, ὡς ἑώρα τὸ βούλευμα διαπεπτωκὸς τῷ Ἀριστομένει τὸ ἐς τὴν κατάληψιν τῆς Σπάρτης, ἀναπείσας τῶν Μεσσηνίων ὡς πεντήκοντα, ἐπάνεισιν ἐπὶ τοὺς Λακεδαιμονίους ἐς τὴν Εἶραν, καὶ ἐντυχὼν διαρπάζουσιν ἔτι, τὰ ἐπινίκια πένθος σφίσιν ἐποίησεν· καὶ τὸν μὲν ἐνταῦθα ἐπιλαμβάνει τὸ χρεών. Ἀριστομένης δὲ ὡς τοὺς ἡγεμόνας [3]) τοῖς Μεσσηνίοις ἐπέταξεν ἐς Κυλλήνην, ὅσοις ἐθέλοι μετέχειν τῆς ἀποικίας. καὶ μετέσχον ἅπαντες, πλὴν εἰ γῆράς τινα ἀπεῖργεν, ἢ μηδὲ εὐπορῶν ἔτυχεν ἐς τὴν ἀποδημίαν· οὗτοι δὲ αὐτοῦ κατέμειναν παρὰ τοῖς Ἀρκάσιν. Ἑάλω δὲ ἡ Εἶρα, καὶ ὁ πόλεμος ὁ δεύτερος Λακεδαιμονίων καὶ Μεσσηνίων τέλος ἔσχεν, Ἀθηναίοις ἄρχοντος Αὐτοσθένους, ἔτει πρώτῳ τῆς ὀγδόης τε καὶ εἰκοστῆς ὀλυμπιάδος, ἣν ἐνίκα Χιόνις Λάκων. ὡς δὲ ἐς τὴν Κυλλήνην οἱ Μεσσήνιοι συνελέχθησαν, τὸν μὲν παρόντα χειμῶνα ἔδοξεν αὐτοῦ χειμάζειν, καὶ τὴν ἀγορὰν σφισι καὶ χρήματα οἱ Ἠλεῖοι παρεῖχον. ἅμα δὲ τῷ ἦρι ἐβουλεύοντο, ποῖ χρὴ σαλῆναι. γνῶμαι δὲ ἦσαν, Γόργου μὲν, Ζάκυνθον τὴν ὑπὲρ Κεφαλληνίας καταλαβόντας, καὶ νησιώτας ἀντὶ ἠπειρωτῶν γενομένους ναυσὶν ἐς τὰ παραθαλάσσια τῆς Λακωνικῆς ἐπιπλέοντας, κακοῦν τὴν γῆν.

2) Εὐεργετίδας] Vid. supra Claſſ. init.

3) ὡς τοὺς ἡγεμόνας etc.] Hic ὡς pro πρὸς poſitum: praeter *duces illos* etc. Aliter enim, poſt ἡγεμόνας vel poſt Κυλλήνην aliquid excidiſſe, ſtatuendum eſſet.

Μάντικλος δὲ ἐκέλευε Μεσσήνης μὲν καὶ τοῦ Λακεδαιμονίων ἔχθους λαβεῖν λήθην, πλεύσαντας δὲ ἐς Σαρδὼ, κτήσασθαι μεγίστην τε νῆσον καὶ εὐδαιμονίᾳ
3 πρώτην. Ἐν τοσούτῳ δὲ Ἀναξίλας πρὸς τοὺς Μεσσηνίους ἀπέστειλεν ἐς Ἰταλίαν καλῶν. ὁ δὲ Ἀναξίλας ἐτυράννει μὲν Ῥηγίου, τέταρτος δὲ ἀπόγονος ἦν Ἀλκιδαμίδου [4]). μετῴκησε δὲ Ἀλκιδαμίδας ἐκ Μεσσήνης ἐς Ῥήγιον μετὰ τὴν Ἀριστοδήμου τοῦ βασιλέως τελευτὴν καὶ Ἰθώμης τὴν ἅλωσιν. οὗτος οὖν ὁ Ἀναξίλας τοὺς Μεσσηνίους μετεπέμπετο, ἐλθοῦσί τε ἔλεγεν, ὡς Ζάγκλιοι [5]) διάφοροι μέν εἰσιν αὐτῷ, χώραν δὲ εὐδαίμονα καὶ πόλιν ἐν καλῷ τῆς Σικελίας ἔχουσιν· ἃ δὴ σφίσιν ἐθέλειν ἔφη συγκατεργασάμενος [6]) δοῦναι. προσιεμένων δὲ τὸν λόγον, οὕτως Ἀναξίλας διεβίβασεν ἐς Σικελίαν αὐτούς. Ζάγκλην δὲ τὸ μὲν ἐξαρχῆς κατέλαβον λῃσταὶ [7]), καὶ ἐν ἐρήμῳ τῇ γῇ τειχίσαντες ὅσον περὶ τὸν λιμένα, ὁρμητηρίῳ πρὸς τὰς καταδρομὰς καὶ ἐς τοὺς ἐπίπλους ἐχρῶντο. ἡγεμόνες δὲ ἦσαν αὐτῶν Κραταιμένης Σάμιος [8]), καὶ Περιήρης ἐκ Χαλκίδος. Περιήρει δὲ ὕστερον καὶ Κραταιμένει καὶ ἄλλους ἐπαγαγέσθαι τῶν Ἑλλήνων ἔδοξεν οἰκήτορας.

4) ὁ δὲ Ἀναξίλας — Ἀλκιδαμίδου] Ob temporis rationem Anaxilaum minorem hic intelligendum esse, putat *Freret* in *Mémoir. de Litterat.* T. X. Conf. Palmer. Exerc. p. 389.

5) Ζάγκλιοι] L. V. C. 25. quoque est Ζάγκλιος. Sed in utroque loco αι pro ι reponendum esse duco, cum non in Stephano solum et aliis scriptoribus, sed in ipso Pausania mox haec scriptura reperiatur.

6) συγκατεργασάμενος] *Sylb.* mavult συγκατεργασαμένους, *si secum istos superassent.*

7) Ζάγκλην — λῃσταὶ etc.] Eadem habes in Thucydide L. VI. f. 4.

8) Σάμιος] Thucyd. L. VI. f. 4. Crataemenem ἀπὸ Κύμης oriundum dicit; unde Palmer. Exerc. p. 389. hic reponendum censet Κυμαῖος.

τορας. Τότε δὲ τοὺς Ζαγκλαίους ὅ τε Ἀναξίλας ναυσὶν ἀνταναγομένους ἐνίκησε, καὶ οἱ Μεσσήνιοι μάχῃ πεζῇ. Ζαγκλαῖοι δὲ κατὰ γῆν τε ὑπὸ Μεσσηνίων, καὶ ναυσὶν ἅμα ἐκ θαλάσσης ὑπὸ Ῥηγίνων πολιορκούμενοι, καὶ ἁλισκομένου σφίσιν ἤδη τοῦ τείχους, ἐπί τε βωμοὺς θεῶν καὶ πρὸς τὰ ἱερὰ φεύγουσιν. Ἀναξίλας μὲν οὖν τοῖς Μεσσηνίοις παρεκελεύετο, τούς τε ἱκετεύοντας Ζαγκλαίων ἀποκτείνειν, καὶ τοὺς λοιποὺς γυναιξὶν ὁμοῦ καὶ παισὶν ἀνδραποδίσασθαι. Γόργος δὲ καὶ Μάντικλος παρητοῦντο Ἀναξίλαν, μὴ σφᾶς ὑπὸ συγγενῶν ἀνδρῶν πεπονθότας ἀνόσια, ὅμοια αὐτοὺς ἐς ἀνθρώπους Ἕλληνας ἀναγκάσαι δρᾶσαι. μετὰ δὲ τοῦτο ἤδη τοὺς Ζαγκλαίους ἀνίσασαν ἀπὸ τῶν βωμῶν, καὶ ὅρκους δόντες, καὶ αὐτοὶ παρ' ἐκείνων λαβόντες, ᾤκησαν ἀμφότεροι κοινῇ. ὄνομα δὲ τῇ πόλει μετέθεσαν Μεσσήνην ἀντὶ Ζάγκλης καλεῖσθαι [9]). Ταῦτα δὲ ἐπὶ τῆς ὀλυμπιάδος ἐπράχθη 5
τῆς ἐνάτης καὶ εἰκοστῆς, ἣν Χιόνις Λάκων τὸ δεύτερον ἐνίκα, Μιλτιάδου παρ' Ἀθηναίοις ἄρχοντος. Μάντικλος δὲ καὶ τὸ ἱερὸν Μεσσηνίοις τοῦ Ἡρακλέους ἐποίησε. καὶ ἔστιν ἐκτὸς τείχους [10]) ὁ θεὸς ἱδρυμένος, Ἡρακλῆς καλούμενος Μάντικλος· καθάπερ καὶ Ἄμμων ἐν Λιβύῃ, καὶ ὁ ἐν Βαβυλῶνι Βῆλος, ὁ μὲν ἀπὸ ἀνδρὸς Αἰγυπτίου Βήλου τοῦ Λιβύης ὄνομα ἔσχεν, Ἄμμων δὲ ἀπὸ τοῦ ἱδρυσαμένου ποιμένος. Μεσσηνίοις μὲν οὖν τοῖς φεύγουσιν ἐγεγόνει πέρας τῆς ἄλης.

9) ὄνομα δὲ — καλεῖσθαι] Hoc firmat Strabo L. VI. p. 410. Confer. Herodot. L. VII. f. 164.

10) ἐκτὸς τείχους) *Amas.* legit ἐντὸς, interpretatus *intra muros.*

CAPUT

CAPUT XXIV.

Ariſtomenes, ſorore et filiabus in matrimonium datis, Rhodum concedit et ibi moritur — Meſſenii inter Hilotas relati deficiunt et in montem Ithomen ſecedunt — Meſſeniis certis conditionibus ex Ithome abire juſſis Athenienſes Naupactum inhabitandam dant.

Ἀριστομένης δὲ ὡς τὴν ἡγεμονίαν ἀπείπατο τῶν ἐς τὴν ἀποικίαν ξελλομένων, τὰς θυγατέρας τὴν πρεσβυτάτην, καὶ τὴν ἐπὶ ταύτῃ, καὶ Ἀγναγόραν τὴν ἀδελφήν, τὴν μὲν Θάρυκι ἐς Φιγαλίαν, Δαμοθοίδᾳ [1]) δὲ Λεπρεάτῃ καὶ Ἡραιεῖ Θεοπόμπῳ τὰς θυγατέρας συνῴκισεν. αὐτὸς δὲ ἀφικόμενος ἐς Δελφοὺς, ἐχρᾶτο τῷ θεῷ· καὶ τὸ μὲν τῷ Ἀριστομένει γενόμενον μάντευμα οὐ λέγεται. Δαμαγήτῳ δὲ Ῥοδίῳ βασιλεύοντι [2]) ἐν Ἰαλυσῷ, τότε δὲ ἥκοντι παρὰ τὸν Ἀπόλλωνα, καὶ ἐρωτῶντι, ὁπόθεν ἀγαγέσθαι χρὴ γυναῖκα, ἔχρησεν ἡ Πυθία θυγατέρα ἀνδρὸς τῶν Ἑλλήνων τοῦ ἀρίστου λαβεῖν. ὁ δὲ (ἦν γὰρ καὶ τρίτῃ τῷ Ἀριστομένει θυγάτηρ) γαμεῖ ταύτην, Ἑλλήνων τῶν τότε ἐκεῖνον μακρῷ δή τινι ἄριστον νομίζων. Ἀριστομένης δὲ ἐς μὲν τὴν Ῥόδον ἀφίκετο σὺν θυγατρί [3])· ἐκεῖθεν δὲ ἔς τε Σάρδεις ἐνενόει πρὸς Ἄρδυν [4]) τὸν Γύγου, καὶ ἐς Ἐκβάτανα τὰ Μηδικὰ ἀναβῆναι πρὸς τὸν βασιλέα Φραόρτην· ἀλλὰ

1) Δαμοθοίδᾳ] Cod. Moſc. Δαμοθαίδᾳ.

2) Ῥοδίῳ βασ.] Cod. Moſc. Ῥοδίων βασ.

3) σὺν θυγατρί] Cod. Moſc. σὺν τῇ θυγατρί. Bene.

4) πρὸς Ἄρδυν etc.] Cod. Moſc. παρὰ Ἀρδ. De Ardyc vid. Herodot. L. I. ſ. 15. et de Phraorte Herod. L. I. ſ. 102.

ἀλλὰ γὰρ πρότερον τούτων συνέπεσεν ἀποθανεῖν αὐτῷ νοσήσαντι [5]). οὐ γὰρ ἔδει συμφορὰν οὐδεμίαν Λακεδαιμονίοις ἔτι ἐξ Ἀριστομένους γενέσθαι. τελευτήσαντι δὲ αὐτῷ Δαμάγητος καὶ οἱ Ῥόδιοι μνῆμά τε ἐπιφανὲς ἐποίησαν, καὶ ἔνεμον ἀπὸ ἐκείνου τιμάς. τὰ μὲν δὴ λεγόμενα ἐς τοὺς Διαγορίδας καλουμένους ἐν Ῥόδῳ, γεγονότας δὲ ἀπὸ Διαγόρου [6]) τοῦ Δαμαγήτου τοῦ Δωρέως τοῦ Δαμαγήτου τε καὶ τῆς Ἀριστομένους θυγατρὸς, παρῆκα, μὴ οὐ κατὰ καιρὸν δοκοίην γράφειν. Λακεδαιμόνιοι δὲ τότε ὡς ἐπεκράτησαν τῆς Μεσσηνίας, τὴν μὲν ἄλλην, πλὴν τῆς Ἀσιναίων, αὐτοὶ διελάγχανον, Μοθώνην δὲ [7]) Ναυπλιεῦσιν ἐδίδοσαν ἐκπεπτωκόσιν ἐκ Ναυπλίας ἔναγχος ὑπὸ Ἀργείων. Μεσσηνίων δὲ τοὺς ἐγκαταλειφθέντας ἐν τῇ γῇ, συντελοῦντας κατὰ ἀνάγκην ἐς τοὺς εἵλωτας, ἐπέλαβεν ἀπὸ Λακεδαιμονίων ὕστερον ἀποσῆναι κατὰ τὴν ἑνάτην ὀλυμπιάδα καὶ εἰκοστὴν [8]), ἣν Κορίνθιος ἐνίκα Ξενοφῶν, Ἀρχιμήδους [9]) Ἀθήνησιν ἄρχοντος. ἀπέσησαν δὲ καιρὸν τοιόνδε εὑρόντες. Λακεδαιμονίων ἄνδρες ἀποθανεῖν ἐπὶ ἐγκλήματι ὅτῳ δὴ καταγνωσθέντες, 2

5) νοσήσαντι] Cod. Mosc. νοσήματι, et mox pro οὐ γὰρ exhibet οὐ δέ.

6) ἀπὸ Διαγόρου] Plura de hoc leguntur L. VI. C. 7. Mox pro Δωρέως Camerar. scripsit Δωριέως, quod firmat Pausan. L. VI. C. 7.

7) Μοθώνην δὲ etc.] Vid. infra C. 35.

8) τὴν ἑνάτην ὀλ. καὶ εἰκοστὴν] In hoc a Pausania discedere videntur alii scriptores; vid. Wesseling. ad Diodor. L. XI. f. 63. Inde Meurs. de Archont. et Palmer. Exercit. p. 390. pro εἰκοστὴν scribendum censent ἑβδομηκοστὴν, quod Wesseling. probat l. c. De hac Messeniorum defectione et terrae motu vid. Thucyd. L. I. f. 101., Plutarch. Cim. f. 16. 17. et Diodor. l. c.

9) Ἀρχιμήδους] Palmer. Exerc. p. 390. pro hoc nomine ex aliis scriptoribus reponere vult Ἀρχιδημίδου. Conf. Meurs. de Archont.

σθέντες, ἱκέται καταφεύγουσιν ἐς Ταίναρον. ἐντεῦθεν δὲ ἡ ἀρχὴ τῶν ἐφόρων ἀπὸ τοῦ βωμοῦ σφᾶς ἀποσπάσασα ἀπέκτεινε. Σπαρτιάταις δὲ ἐν οὐδενὶ λόγῳ θεμένοις τοὺς ἱκέτας ἀπήντησεν ἐκ Ποσειδῶνος μήνιμα, καί σφισιν ἐς ἔδαφος τὴν πόλιν πᾶσαν κατέβαλεν ὁ θεός. ἐπὶ δὲ τῇ συμφορᾷ ταύτῃ καὶ τῶν εἱλώτων ὅσοι Μεσσήνιοι τὸ ἀρχαῖον ἦσαν, ἐς τὸ ὄρος τὴν Ἰθώμην ἀπέστησαν. Λακεδαιμόνιοι δὲ ἄλλα τε μετεπέμποντο συμμαχικὰ ἐπ' αὐτοὺς, καὶ Κίμωνα τὸν Μιλτιάδου πρόξενόν σφισιν ὄντα, καὶ Ἀθηναίων δύναμιν. ἀφικομένους δὲ τοὺς Ἀθηναίους ὑποπτεῦσαι δοκοῦσιν, ὡς τάχα νεωτερίσοντας, καὶ ἀπὸ τῆς ὑποψίας [10]) ἀποπέμψασθαι μετ' οὐ πολὺ ἐξ Ἰθώμης.

3 Ἀθηναῖοι δὲ τὴν ἐς αὐτοὺς τῶν Λακεδαιμονίων ὑπόνοιαν συνέντες, Ἀργείοις τε φίλοι δι' αὐτὸ ἐγένοντο, καὶ Μεσσηνίων τοῖς ἐν Ἰθώμῃ πολιορκουμένοις ἐκπεσοῦσιν ὑποσπόνδοις, ἔδοσαν Ναύπακτον [11]), ἀφελόμενοι Λοκροὺς τοὺς πρὸς Αἰτωλίᾳ καλουμένους Ὀζόλας. τοῖς δὲ Μεσσηνίοις παρέσχεν ἀπελθεῖν ἐξ Ἰθώμης τοῦ τε χωρίου τὸ ἐχυρὸν, καὶ ἅμα Λακεδαιμονίοις προεῖπεν ἡ Πυθία, ἢ μὴν εἶναί σφισι δίκην, ἁμαρτοῦσιν ἐς τοῦ Διὸς τοῦ Ἰθωμάτα τὸν ἱκετην. ὑποσπονδοι μὲν ἐκ Πελοποννήσου τούτων εἵνεκα ἀφείθησαν [12]).

10) ἀπὸ τῆς ὑποψ.] Cod. Mosc. ὑπὸ τῆς ὑπ.

11) ἔδοσαν Ναύπακτον etc.] Vid. Thucyd. L. I. f. 103. et Diodor. L. XI. f. 84. Confer. Paus. L. X. C. 38.

12) ὑπόσπονδοι — ἀφείθησαν] Conf. supra L. III. C. 11.

CAPUT

CAPUT XXV.

Messenii Naupactum incolentes Oeniadis in Acarnania bellum inferunt, eorumque urbem capiunt — proximo anno Acarnanes omnes aggrediuntur Messenios, qui Oeniadis sunt — Messenii proelium committunt cum Acarnanibus — obsidentur et urbe relicta Naupactum se recipiunt.

Ἐπεὶ δὲ ἔσχον τὴν Ναύπακτον, οὐκ ἀπέχρη πόλιν τε αὐτοῖς καὶ χώραν εἰληφέναι παρ' Ἀθηναίων, ἀλλὰ σφᾶς πόθος εἶχεν ἰσχυρὸς χερσὶ ταῖς αὐτῶν φανῆναι λόγου τι κεκτημένους ἄξιον. καὶ (ἠπίσαντο γὰρ Οἰνιάδας [1]) Ἀκαρνάνων γῆν τε ἔχοντας ἀγαθὴν, καὶ Ἀθηναίοις διαφόρους τὸν πάντα ὄντας χρόνον) στρατεύουσιν ἐπ' αὐτούς. ὄντες δὲ ἀριθμῷ μὲν οὐ πλείους, ἀρετῇ δὲ καὶ πολὺ ἀμείνονες ὄντες τῇ σφετέρᾳ, νικῶσι, καὶ ἐπολιόρκουν κατακεκλεισμένους ἐς τὸ τεῖχος. τὸ δὲ ἐντεῦθεν, οὐ γάρ τι τῶν τοῖς ἀνθρώποις εὑρημένων ἐς πολιορκίαν οἱ Μεσσήνιοι παρίεσαν, ἀλλὰ καὶ κλίμακας προστιθέντες ἐπειρῶντο ὑπερβαίνειν ἐς τὴν πόλιν, καὶ ὑπώρυσσον κάτωθεν τὸ τεῖχος, μηχανήματά τε, ὁποῖα ἐνῆν δι' ὀλίγου παρασκευάσασθαι, προσαγαγόντες, ἀεί τι ἤριπον [2]). δείσαντες δὲ οἱ ἔνδον, μὴ ἁλούσης τῆς πόλεως αὐτοί τε ἀπόλωνται, καὶ αἱ γυναῖκες σφίσι καὶ οἱ παῖδες ἐξανδραποδισθῶσιν, εἵλοντο ἀπελθεῖν ὑπόσπονδοι. καὶ ἐνιαυτὸν μὲν μάλιστα οἱ Μεσσήνιοι κατέσχον τὴν πόλιν, καὶ ἐνέμοντο τὴν

1) Οἰνιάδας] Variat scriptura; in Stephano est Οἰνειάδαι. Vid. Casaub. ad Strab. L. X. p. 705. et Palmer. Graec. antiqu. L. III. 8.

2) ἤριπον] *Sylburg.* mavult ἤρειπον, sed utraque forma est obvia.

2 τὴν χώραν. Τῷ δὲ ἔτει τῷ ὑστέρῳ δύναμιν οἱ Ἀκαρνᾶνες ἀπὸ πασῶν συλλέξαντες τῶν πόλεων, ἐβουλεύοντο ἐπὶ τὴν Ναύπακτον στρατεύειν. καὶ τοῦτο μὲν ἀπέδοξεν αὐτοῖς, τήν τε πορείαν ὁρῶσιν, ὅτι ἔσεσθαι δι' Αἰτωλῶν ἔμελλε πολεμίων αἰεί ποτε ὄντων· καὶ ἅμα τοὺς Ναυπακτίους κεκτῆσθαί τι ναυτικὸν ὑπώπτευον, ὥσπερ γε καὶ εἶχον· ἐπικρατούντων δὲ ἐκείνων τῆς θαλάσσης, οὐκ ἐνεῖναι κατεργάσασθαι μέγα, οὐδὲ στρατῷ πεζῷ. μετεβουλεύετο δὲ δή σφισι, καὶ αὐτίκα ἐπὶ Μεσσηνίους τρέπονται τοὺς ἐν Οἰνιάδαις. καὶ οἱ μὲν ὡς πολιορκήσοντες παρεσκευάζοντο· οὐ γάρ ποτε ὑπελάμβανον ἄνδρας οὕτως ὀλίγους ἐς τοσοῦτον ἀπονοίας ἥξειν, ὡς μαχέσασθαι πρὸς τὴν Ἀκαρνάνων ἁπάντων στρατιάν. οἱ δὲ Μεσσήνιοι προητοιμασμένοι μὲν καὶ σῖτον καὶ τὰ ἄλλα ἦσαν, ὁπόσα εἰκὸς ἦν, πολιορκίας πειράσεσθαι μακροτέρας ἐλπίζοντες· παρίσατο δὲ σφισι πρὸ τῆς μελλούσης πολιορκίας ἀγῶνα ἐκ τοῦ φανεροῦ ποιήσασθαι, μηδὲ ὄντας Μεσσηνίους, οἳ μηδὲ Λακεδαιμονίων ἀνδρίᾳ, τύχῃ δὲ ἠλαττώθησαν, καταπεπλῆχθαι τὸν ἥκοντα ὄχλον ἐξ Ἀκαρνανίας. τό τε Ἀθηναίων ἐν Μαραθῶνι ἔργον ἀνεμιμνήσκοντο, ὡς μυριάδες τριάκοντα [3]) ἐφθάρησαν τῶν Μήδων ὑπὸ ἀνδρῶν οὐδὲ ἐς μυρίους ἀριθμόν [4]).

3 Καθίσαντό τε δὴ τοῖς Ἀκαρνᾶσιν ἐς ἀγῶνα, καὶ ὁ τρόπος λέγεται τῆς μάχης γενέσθαι τοιόσδε. οἱ μέν, ἅτε

3) μυριάδες τριάκοντα] Ab hoc immani numero prorsus abhorret ille, quem Herodot. memorat, qui sex millia trecentosque caesos esse refert L. VI. f. 117.

4) οὐδὲ ἐς μυρίους κρ.] Amas. ἐς τρισμυρίους legit interpretatus: *a triginta duntaxat millibus.* Sed vulgatam firmat ipse Paus. L. X. C. 20., ubi IX millia Athenienſium ad Marathona hoſti occurriſſe dicit.

ἅτε πλήθει προέχοντες πολύ, οὐ χαλεπῶς περιέβαλλον τοὺς Μεσσηνίους, πλὴν ὅσον αἱ πύλαι τε ἀπεῖργον κατὰ νώτου τοῖς Μεσσηνίοις γιγνόμεναι, καὶ οἱ ἀπὸ τοῦ τείχους τοῖς σφετέροις προθύμως ἀμύνοντες· ταύτῃ μὲν δὴ μὴ περισχεθῆναι σφᾶς ἐκώλυε· τὰ δὲ πλευρὰ ἀμφότερα ἐκυκλώσαντο αὐτῶν οἱ Ἀκαρνᾶνες, καὶ ἐσηκόντιζον πανταχόθεν. οἱ δὲ Μεσσήνιοι συνεστραμμένοι μετ' ἀλλήλων, ὁπότε ἀθρόοι τοῖς Ἀκαρνᾶσιν ἐμπέσοιεν, ἐτάρασσον μὲν τοὺς κατὰ ταυτὸ ἑστηκότας, καὶ ἐφόνευόν τε αὐτῶν καὶ ἐτίτρωσκον πολλούς· τελέαν δὲ οὐκ ἐδύναντο ἐργάσασθαι φυγήν. ὅπου γὰρ τῆς τάξεως αἴσθοιντό τι οἱ Ἀκαρνᾶνες τῆς αὐτῶν ὑπὸ τῶν Μεσσηνίων διασπώμενον, κατὰ τοῦτο ἀμύνοντες τοῖς βιαζομένοις αὐτῶν, ἀνεῖργον τοὺς Μεσσηνίους ἐπικρατοῦντες τῷ πλήθει. οἱ δὲ ὁπότε ἀνακοπεῖεν, κατ' ἄλλο αὖθις πειρώμενοι διακόψαι τὴν Ἀκαρνάνων φάλαγγα, τὸ αὐτὸ ἂν ἔπασχον· ὅτῳ μὲν προσβάλλοιεν, διέσειόν τε καὶ τροπὴν ἐπὶ βραχὺ ἐποίουν, περιῤῥεόντων [5]) δὲ αὖθις κατὰ τοῦτο σπουδῇ τῶν Ἀκαρνάνων, ἀπετρέποντο ἄκοντες. Γενομένου δὲ 4
ἰσορρόπου τοῦ ἀγῶνος ἄχρις ἑσπέρας, καὶ Ἀκαρνᾶσιν ὑπὸ τὴν ἐπιοῦσαν νύκτα ἐπελθούσης δυνάμεως ἀπὸ τῶν πόλεων, οὕτω τοῖς Μεσσηνίοις περιεισήκει πολιορκία. καὶ ἁλῶναι μὲν κατὰ κράτος τὸ τεῖχος, ἢ ὑπερβάντων τῶν Ἀκαρνάνων, ἢ καὶ ἀπολιπεῖν βιασθεῖσιν αὐτοῖς τὴν φρουράν, δέος ἦν οὐδέν· τὰ δὲ ἐπιτήδεια σφισι πάντα ὁμοίως ὀγδόῳ μηνὶ ἐξανήλωτο. ἐς μὲν δὴ τοὺς Ἀκαρνᾶνας ἐχρῶντο ἀπὸ τοῦ τείχους χλευα-

5) περιῤῥεόντων] Praeferrem lectionem Cod. Mosc. ἐπιῤῥεόντων, quam *Amas.* secutus esse videtur, interpretatus: *irruente multitudine.*

χλευασία, μὴ σφᾶς τὰ σιτία προδοῦναί ποτε ἂν, μηδὲ ἐς τὸ ἔτος δέκατον πολιορκουμένους· αὐτοὶ δὲ περὶ ὕπνον πρῶτον ἐξελθόντες ἐκ τῶν Οἰνιάδων, γενομένης τοῦ δρασμοῦ σφῶν τοῖς Ἀκαρνᾶσιν αἰσθήσεως, καὶ ἐς μάχην ἀναγκασθέντες ἀφικέσθαι, περὶ τριακοσίους μὲν ἀποβάλλουσι, καὶ πλείονας ἔτι αὐτοὶ τῶν ἐναντίων κατεργάζονται. τὸ δὲ πολὺ αὐτῶν διεκπίπτουσι διὰ τῶν Ἀκαρνάνων, καὶ ἐπιλαμβανόμενοι τῆς Αἰτωλῶν ἐχόντων σφίσιν ἐπιτηδείως, ἐς τὴν Ναύπακτον ἀνασώζονται.

CAPUT XXVI.

Meſſenii odium in Lacedaemonios praecipue in bello Peloponneſiaco exſerunt — a Lacedaemoniis Naupacto ejiciuntur et in Siciliam ac Rhegium, plurimi ad Eueſperitas Libyae abeunt — Meſſeniis reditus in Peloponneſum portenditur — poſt pugnam ad Leuctra Meſſenii a Thebanis in Peloponneſ. revocantur — Epaminondae ſomnium de regione Meſſeniis revocatis aſſignanda — Epiteles ſomnio monitus Ariſtomenis depoſitum (vid. C. XX.) reperit.

Τὸ δὲ ἀπὸ τούτου, τόν τε ἄλλον χρόνον ἐνέκειτό σφισι τὸ ἐς Λακεδαιμονίους μῖσος, καὶ τὴν ἔχθραν ἐς αὐτοὺς μάλιστα ἐπεδείξαντο ἐπὶ τοῦ γενομένου Πελοποννησίοις πρὸς Ἀθηναίους πολέμου. τήν τε γὰρ Ναύπακτον ὁρμητήριον ἐπὶ τῇ Πελοποννήσῳ παρείχοντο, καὶ τοὺς ἐν τῇ Σφακτηρίᾳ Σπαρτιατῶν ἀπολῃφθέντας Μεσσηνίων σφενδονῆται τῶν ἐκ Ναυπάκτου συνεξεῖλον.
2 Ἐπεὶ δὲ τὸ πταῖσμα ἐγένετο Ἀθηναίων ἐν Αἰγὸς ποταμοῖς, οὕτω καὶ ἐκ Ναυπάκτου ἐκβάλλουσι οἱ Λακεδαιμόνιοι τοὺς Μεσσηνίους ναυσὶν ἐπικρατοῦντες

τοῦντες, οἱ ἐς Σικελίαν τε πρὸς τοὺς συγγενεῖς [1]) καὶ ἐς Ῥήγιον ἐσάλησαν· τὸ πλεῖστον δὲ αὐτῶν ἔς τε Λιβύην ἀφίκετο, καὶ Λιβύης ἐς Εὐεσπερίτας [2]). οἱ γὰρ Εὐεσπερῖται πολέμῳ κακωθέντες ὑπὸ βαρβάρων προσοίκων, πάντα τινὰ Ἕλληνα ἐπεκαλοῦντο σύνοικον. ἐς τούτους τῶν Μεσσηνίων τὸ πολὺ ἀπεχώρησεν. ἡγεμὼν δὲ σφισιν ἦν Κόμων, ὃς καὶ περὶ τὴν ΣΦακτηρίαν ἐστρατήγησεν αὐτοῖς. Ἐνιαυτῷ δὲ πρό- 3
τερον, ἢ κατορθῶσαι Θηβαίους τὰ ἐν Λεύκτροις, προ-
εσήμαινεν ὁ δαίμων Μεσσηνίοις τὴν ἐς Πελοπόννησον
κάθοδον. τοῦτο μὲν γὰρ ἐν Μεσσήνῃ πρὸς τῷ πορθ-
μῷ [3]) τὸν ἱερέα τοῦ Ἡρακλέους λέγουσιν ὀνείρατος
ἰδεῖν ὄψιν· τὸν Ἡρακλέα ἔδοξε καλέσαι τὸν Μάντι-
κλον ἐπὶ ξενίᾳ ἐς Ἰθώμην ὑπὸ τοῦ Διός [4]). τοῦτο δὲ
ἐν Εὐεσπερίταις Κόμων συγγενέσθαι νεκρᾷ τῇ μητρὶ
ἐδόκει, συγγενομένου δὲ αὖθις οἱ τὴν μητέρα ἀνα-

1) ἐς Σικελίαν τε πρὸς τοὺς συγγ.] Cod. Mosc. pro πρὸς exhibet παρά. De Messeniis in Sicilia vid. supra C. 23.

2) Εὐεσπερίτας] Strab. L. XIV. p. 957. Ἐσπερίταις Λίβυσι. Variat quoque scriptura cum δ et τ, de quo vid. Wesseling. ad Herod. L. IV. s. 171.

3) ἐν Μεσσήνῃ πρὸς τῷ πορθμῷ] scil. κατὰ Σικελίαν (Strab. L. I. p. 94. τὸν κατὰ Σικελίαν πορθμὸν), *Messene ad fretum Siculum*, antea *Zancle* (vid. supra C. 23.). Sic L. VI. C. 2. τῶν ἐπὶ πορθμῷ Μεσσηνίων, et L. VI. C. 4. ἐν τῷ πορθμῷ Μεσσήνης. Opponuntur οἱ Μεσσήνιοι ἐν Πελοποννήσῳ, Strab. L. VI. p. 395. et 410.

4) τὸν Ἡρακλέα ἔδοξε — ὑπὸ τοῦ Διός] Cod. Mosc. τὸν ante Μάντικλον omisit. *Amasaeus* vero ista perperam interpretatus est: *Herculem, qui Manticlum Jovis accersitu in Ithomen hospitii causa vocaret.* De Hercule enim *Manticlo* dicto sermo est, de quo supra C. 23. commemoravit Pausanias. Sic autem καλέσαι, uti *Kuhn.* vult, passive, vel ὑπὸ τοῦ Διὸς inversa constructionis ratione pro τὸν Δία positum, utrumque tamen nimis insolens ac durum esset. Quare nullus dubito, quin pro καλέσαι scribendum sit καλεῖσθαι.

βιῶναι. καὶ ὁ μὲν ἐπήλπιζεν, Ἀθηναίων δυνηθέντων ναυτικῷ, κάθοδον ἔσεσθαί σφισιν ἐς Ναύπακτον· τῷ δὲ [5]) ἄρα ἐδήλου τὸ ὄνειρον ἀνασώσεσθαι Μεσσήνην. ἐγένετό τε οὐ μετὰ πολὺ ἐν Λεύκτροις Λακεδαιμονίων τὸ ἀτύχημα ὀφειλόμενον ἐκ παλαιοῦ. Ἀριστοδήμῳ γὰρ τῷ βασιλεύσαντι Μεσσηνίων ἐπὶ τελευτῇ τοῦ χρησμοῦ τοῦ δοθέντος ἐστίν·

Ἕρδ', ὅππῃ τὸ χρεών· ἄτη δ' ἄλλοισι πρὸ ἄλλων [6]).

ὡς ἐν μὲν τῷ παρόντι ἐκεῖνον δέον καὶ Μεσσηνίους κακῶς πρᾶξαι, χρόνῳ δὲ ὕστερον καὶ Λακεδαίμονα ἐπι-
4 ληψομένης τῆς ἀτης. Τότε δὲ ἐν Λεύκτροις οἱ Θηβαῖοι νενικηκότες, ἀγγέλους ἐς Ἰταλίαν καὶ Σικελίαν καὶ παρὰ τοὺς Εὐεσπερίτας ἀπέστελλον, ἔκ τε τῆς ἄλλης, εἴ που τὶς Μεσσηνίων εἴη, πανταχόθεν ἀνεκάλουν ἐς Πελοπόννησον. οἱ δὲ θᾶσσον, ἢ ὡς ἄν τις ἤλπισε, συνελέχθησαν γῆς τε τῆς πατρίδος πόθῳ, καὶ διὰ τὸ ἐς Λακεδαιμονίους μῖσος παραμεῖναν ἀεί σφισιν.
5 Ἐπαμεινώνδᾳ [7]) δὲ οὔτε ἄλλως ἐφαίνετο ῥᾴδια ἀξιόμαχον πόλιν ἐποικῆσαι Λακεδαιμονίοις [8]), οὔτε, ὅπου χρὴ κτίσαι τῆς χώρας, ἐξευρίσκει. τὴν γὰρ Ἀνδανίαν οἱ Μεσσήνιοι καὶ Οἰχαλίαν οὐκ ἔφασαν ἀνοι-

5) τῷ δὲ] Cod. Mosc. τὸ δὲ, quod praetero.

6) Ἕρδ' — ἄλλων] Vid. supra C. 12., ubi integrum exstat hoc oraculi effatum.

7) Ἐπαμεινώνδᾳ] Cod. M. Ἐταμινώνδᾳ, et sic semper cum ι, quae scriptura in omnibus aliis scriptoribus reperitur, et in ipso Paus. L. VIII. C. 11.

8) ἀξιόμαχον πόλιν ἐποικῆσαι Λακεδ.] *Sylb.* ex sequentibus κτίσαι, ἀνοικιεῖν, et praecipue ex C. 28. init. Μεσσήνης ἐποικιζομένης recte conjicit, pro ἐποικῆσαι hic scribendum esse ἐποικίσαι, sicuti etiam *Amas.* legit, qui ista recte interpretatur: — *urbem condere, quae satis foret contra Lacedaemoniorum opes munita.*

ἀνοικιεῖν, ὅτι αἱ συμφοραί σφισιν ἐγεγόνεσαν ἐνταῦθα οἰκοῦσιν. ἀπορουῦντι οὖν αὐτῷ πρεσβύτην ἄνδρα, ἱεροφάντῃ μάλιστα εἰκασμένον, νύκτωρ φασὶν ἐπιστάντα εἰπεῖν, Σοὶ μὲν δῶρά ἐστι παρ' ἐμοῦ κρατεῖν, ὅτων [9]) μεθ' ὅπλων ἐπέρχῃ· καὶ ἢν ἐξ ἀνθρώπων γένῃ, ἔγωγε, ὦ Θηβαῖε, ποιήσω μή ποτε ἀνώνυμον, μηδὲ ἄδοξόν σε γενέσθαι. σὺ δὲ Μεσσηνίοις γῆν τε πατρίδα καὶ πόλεις ἀπόδος, ἐπειδὰν καὶ τὸ μήνιμα ἤδη σφίσι πέπαυται τὸ Διοσκούρων [10]). Ἐπαμεινώνδα μὲν ταῦτα ἔλεγεν. Ἐπιτέλει δὲ τῷ Αἰσχίνου τάδε 6
ἐμήνυε (στρατηγὸν δὲ αὐτὸν οἱ Ἀργεῖοι τὸν Ἐπιτέλη, καὶ Μεσσήνην ἀνοικίζειν ἤρηντο [11])) τοῦτον οὖν τὸν ἄνδρα ἐκέλευεν ὁ ὄνειρος, ἔνθα δὴ τῆς Ἰθώμης εὕρῃ πεφυκυῖαν σμίλακα [12]) καὶ μυρσίνην, τὸ μέσον ὀρύξαντα αὐτῶν, ἀνασῶσαι τὴν γραῦν· κάμνειν γὰρ ἐν τῷ χαλκῷ καθειργμένην θαλάμῳ, καὶ ἤδη λειποψυχεῖν αὐτήν. ὁ δὲ Ἐπιτέλης, ὡς ἐπελάμβανεν ἡμέρα, παραγενόμενος ἐς τὸ εἰρημένον χωρίον, ἐπέτυχεν ὀρύσσων ὑδρίᾳ χαλκῇ, καὶ αὐτίκα παρὰ τὸν Ἐπαμεινώνδαν κομίσας, τό τε ἐνύπνιον ἐξηγεῖτο, καὶ αὐτὸν ἐκεῖνον τὸ πῶμα [13]) ἀφελόντα ἐκέλευεν, ὅ τι ἐνείη, σκοπεῖσθαι. ὁ δὲ θύσας καὶ εὐξάμενος τῷ πεφηνότι ὀνείρατι, ἤνοιγε τὴν ὑδρίαν· ἀνοίξας δὲ εὗρε κασσίτερον ἐληλασμένον ἐς τὸ λεπτότατον· ἐπείλυκτο [14]) δὲ ὥσπερ τὰ βιβλία·

9) ὅτων] *Sylburg.* conjicit ὅτῳ ἄν.

10) ἐπειδὰν καὶ τὸ μήνιμα — τὸ Διοσκούρων] Cod. Mosc. exhibet ἐπειδή. De re ipsa plura refert Cap. 27. init.

11) στρατηγὸν — τὸν Ἐπιτέλη, — ἤρηντο] Pro στρατηγὸν mavult *Sylb.* στρατηγεῖν. Conf. not. ad L. I. C. 15. in fine. Cod. Mosc. pro Ἐπιτέλη dat Ἐπιτέλην.

12) σμίλακα] De *smilace*, frutice et arbore, copiose egit Salmas. Exercit. p. 1041. sq.

13) τὸ πῶμα] *operculum.* Suid. πῶμα, σκέπασμα.

14) ἐπείλυκτο] *Sylb.* corrigit ἐπείλυτο vel ἐπείλητο, et *Kuhn.* ἐπει-

ἐνταῦθα τῶν μεγάλων θεῶν ἐγέγραπτο ἡ τελετή. καὶ τοῦτο ἦν παρακαταθήκη τοῦ Ἀριστομένους [15]). τοῦτον τὸν ἐπελθόντα τῷ Ἐπιτέλει καὶ Ἐπαμεινώνδα καθεύδουσι Καύκωνα εἶναι λέγουσιν, ὃς ἀφίκετο ἐξ Ἀθηνῶν ἐς Ἀνδανίαν παρὰ Μεσσήνην τὴν Τριόπα [16]).

CAPUT XXVII.

De causa irae Dioscurorum in Messenios — Bacidis vaticiniis et initiorum ratione a sacerdotibus literis consignata — Epaminondas ad urbem Messeniis condendam omnia parat — sacris solenniter factis urbs exstruitur et Messene vocatur, aliaque oppida a Messeniis restituuntur — de tempore reditus Messeniorum in Peloponnesum eorumque exilii diuturnitate cum aliarum gentium exilio collata.

Τὸ δὲ τῶν Τυνδάρεω παίδων μήνιμα ἐς τοὺς Μεσσηνίους ἤρξατο μὲν πρὸ τῆς ἐν Στενυκλήρῳ μάχης γενεσθαι αὐτό [1]) δι' αἰτίαν τοιάνδε εἰκάζω. μειράκια ὡραῖα ἐξ Ἀνδανίας, Πάνορμος καὶ Γώνιππος, τά τε ἄλλα οἰκείως εἶχον ἀλλήλοις, καὶ κοινὰς ἐπὶ τὰς μάχας ἐξόδους καὶ καταδρομὰς ἐποιοῦντο ἐς τὴν Λακωνικήν. Λακεδαιμονίων δὲ ἐπὶ στρατοπέδου Διοσκούροις ἑορτὴν ἀγόντων, καὶ ἤδη πρὸς πότον καὶ παιδιὰς τετραμ-

ἐπείλικτο, *convoluta erat.* Sed cur emendatione opus sit, equidem videre nequeo. Varia enim est hujus verbi forma, εἰλέω, εἰλύω, εἰλίσσω. Cod. Mosc. mendose exhibet ἐπείηκτο.

15) παρακαταθήκη τ. Ἀριστομ.] Vid. supra C. 20.

16) Καύκωνα — τὴν Τριόπα] Vid. supra C. 1.

1) γενέσθαι αὐτό] Haec male cum ἤρξατο juncta recta interpunctione sequentibus reddidi. Sine dubio autem scribendum est γενέσθαι δὲ αὐτό.

τετραμμένων, μετὰ τὸ ἄριστον ὁ Γώνιππος καὶ ὁ Πάνορμος χιτῶνας λευκοὺς καὶ χλαμύδας πορφυρᾶς ἐνδύντες, ἐπί τε ἵππων τῶν καλλίστων ὀχούμενοι, καὶ ἐπὶ ταῖς κεφαλαῖς πίλους, ἐν δὲ ταῖς χερσὶ δόρατα ἔχοντες, ἐπιφαίνονται Λακεδαιμονίοις. οἱ δὲ ὡς εἶδον, προσεκύνουν τε καὶ εὔχοντο, ἀφῖχθαι δοκοῦντες σφίσιν αὐτοῖς εἰς τὴν θυσίαν τοὺς Διοσκούρους. οἱ νεανίσκοι δὲ ὡς ἅπαξ ἀνεμίχθησαν, διεξήλαυνον διὰ πάντων παίοντες τοῖς δόρασι· καὶ ἤδη κειμένων πολλῶν, ἀποχωροῦσιν ἐς Ἀνδανίαν, καθυβρίσαντες τῶν Διοσκούρων τῇ θυσίᾳ. τοῦτο (ἐμοὶ δοκεῖν) προήγαγε τοὺς Διοσκούρους ἐς τὸ ἔχθος τὸ Μεσσηνίων. τότε δὲ ὡς ἐδήλου τῷ Ἐπαμεινώνδᾳ τὸ ὄνειρον, οὐκ ἦν ἔτι τοῖς Διοσκούροις ἀκούσιος τῶν Μεσσηνίων ἡ κάθοδος. Μάλιστα δὲ τὸν Ἐπαμεινώνδαν ἐς τὸν οἰκισμὸν οἱ 2
Βάκιδος ἐνῆγον χρησμοί [2]). Βάκιδι γὰρ μανέντι ἐκ Νυμφῶν ἐς ἄλλους τέ ἐσιν Ἑλλήνων καὶ ἐς τὴν Μεσσηνίων κάθοδον προειρημένα·

Καὶ τότε δὴ Σπάρτης μὲν ἀπ' ἀγλαὸν ἄνθος ὀλεῖται,
Μεσσήνη δ' αὖθις οἰκήσεται ἤματα πάντα.

Ἐγὼ δὲ καὶ περὶ τῆς Εἴρας, ὅντινα ἁλώσοιτο τρόπον, Βάκιν ἐφώρασα εἰρηκότα. καί οἱ καὶ τόδε ἐσὶ τῶν χρησμῶν·

Οἵ τ' ἀπὸ Μεσσήνης πατάγῳ κρουνοῖς τε δαμείσης.

2) Βάκιδος — χρησμοί] *Bacis* ex Boeotia a Pausania L. X. C. 12. in fine et a Clem. Alex. Strom. L. I. p. 333. χρησμολόγων numero recensetur, ejusque vaticinia aliquoties a Pausania excitantur (vid. Ind.) Tres Bacides fuere, de quibus vid. Suid. et Aelian. V. H. L. XII. C. 25. et ibi not. Perizonii.

ὡς δὲ ἡ τελετὴ σφισιν ἀνεύρετο, ταύτην μὲν, ὅσοι τοῦ γένους τῶν ἱερέων ἦσαν, κατετίθεντο ἐς βίβλους.

3 Ἐπαμεινώνδας δὲ, ὥς οἱ τὸ χωρίον, ἔνθα νῦν ἔχουσιν οἱ Μεσσήνιοι τὴν πόλιν, μάλιστα ἐς οἰκισμὸν ἐφαίνετο ἐπιτήδειον, ἐκέλευεν ἀνασκοπεῖσθαι τοῖς μάντεσιν, εἴ οἱ βουλήσεται ταύτῃ καὶ τὰ τῶν θεῶν ἐπιχωρήσοι [3]). Φαμένων δὲ καὶ τούτων εἶναι τὰ ἱερὰ αἴσια, οὕτω παρεσκευάζετο ἐς τὸν οἰκισμὸν, λίθους τε ἄγεσθαι κελεύων, καὶ ἄνδρας μεταπεμπόμενος, οἷς τέχνη ξενωποὺς κατατέμνεσθαι, καὶ οἰκίας καὶ ἱερὰ οἰκοδομεῖσθαι, καὶ τείχη περιβάλλεσθαι.

4 Ὡς δὲ ἐγεγόνει τὰ πάντα ἐν ἑτοίμῳ, τὸ ἐντεῦθεν (ἱερεῖα γὰρ παρεῖχον οἱ Ἀρκάδες) αὐτὸς μὲν Ἐπαμεινώνδας καὶ οἱ Θηβαῖοι Διονύσῳ καὶ Ἀπόλλωνι ἔθυον Ἰσμηνίῳ τὸν νομιζόμενον τρόπον· Ἀργεῖοι δὲ τῇ τε Ἥρᾳ τῇ Ἀργείᾳ καὶ Νεμείῳ Διΐ· Μεσσήνιοι δὲ Διΐ τε Ἰθωμάτᾳ καὶ Διοσκούροις· οἱ δέ σφισιν ἱερεῖς θεαῖς τε μεγάλαις καὶ Καύκωνι. ἐπεκαλοῦντο δὲ ἐν κοινῷ καὶ ἥρωάς σφισιν ἐπανήκειν συνοίκους, Μεσσήνην μὲν τὴν Τριόπα μάλιστα, ἐπὶ ταύτῃ δὲ Εὔρυτον, καὶ Ἄφαρέα τε καὶ τοὺς παῖδας, παρὰ δὲ Ἡρακλειδῶν Κρεσφόντην τε καὶ Αἴπυτον. πλείστη δὲ καὶ παρὰ πάντων ἀνάκλησις ἐγίνετο Ἀριστομένους. καὶ τὴν μὲν τότε ἡμέραν πρὸς θυσίαις τε καὶ εὐχαῖς ἦσαν· ταῖς δὲ ἐφεξῆς τοῦ τείχους τὸν περίβολον ἤγειρον, καὶ ἐντὸς οἰκίας καὶ τὰ ἱερὰ ἐποιοῦντο. εἰργάζοντο δὲ καὶ ὑπὸ μουσικῆς ἄλλης μὲν οὐδεμιᾶς, αὐλῶν δὲ Βοιωτίων καὶ Ἀργείων·

3) εἴ οἱ βουλήσεται — ἐπιχωρήσοι] *Sylb.* ex Ald. Cod. reponit οἱ, ut sensus sit: *an, quo ipsi lubeat, eodem et divina numina secutura videantur.* Forte potius pro ἐπιχωρήσοι scribendum sit ἐπιχωρήσειν.

Ἀργείων· τά τε Σακάδα [4]) καὶ Προνόμου [5]) μέλη τότε δὴ προήχθησαν μάλιστα ἐς ἄμιλλαν. αὐτῇ μὲν δὴ τῇ πόλει Μεσσήνην ἔθεντο ὄνομα· ἀνώκιζον δὲ καὶ ἄλλα πολίσματα. Ναυπλιεῖς δὲ ἐκ Μοθώνης οὐκ ἀνέσησαν· κατὰ χώραν δὲ καὶ Ἀσιναίους μένειν εἴασαν [6]), τούτοις μὲν καὶ εὐεργεσίαν ἀπομνημονεύοντες, πολεμῆσαι μετὰ Λακεδαιμονίων πρὸς σφᾶς οὐ θελήσασι. Ναυπλιεῖς δὲ [7]) κατιοῦσιν ἐς Πελοπόννησον Μεσσηνίοις τε δῶρα ἤγαγον, ὁποῖα εἶχον, καὶ ἅμα μὲν ὑπὲρ καθόδου τῆς ἐκείνων συνεχέσιν ἐς τὸ θεῖον εὐχαῖς [8]), ἅμα δὲ ὑπὲρ σωτηρίας τῆς σφετέρας δεήσεσιν ἐς ἐκείνους ἐχρῶντο. Κατῆλθον δὲ ἐς Πελοπόννησον οἱ Μεσσήνιοι καὶ ἀνεσώσαντο τὴν αὑτῶν ἑπτὰ καὶ ὀγδοήκοντα καὶ διακοσίοις ἔτεσιν [9]) ὕστερον μετὰ Εἵρας ἅλωσιν, Δυσκινήτου [10]) μὲν Ἀθήνησιν ἄρχοντος, τρίτῳ δὲ ἔτει τῆς δευτέρας καὶ ἑκατοστῆς ὀλυμπιάδος, ἣν Δάμων Θούριος τὸ δεύτερον ἐνίκα.

4) Σακάδα] De hoc vid. not. ad L. II. C. 22. in fine. Inde Σακάδιον, instrumentum musicum, denominatum; vid. Hesych. h. v. et ibi not.

5) Προνόμου] De hoc celebri tibicine et histrione Thebano plura memorantur a Pausania L. IX. C. 22. in fine. Conf. Athen. Deipnos. L. XIV. C. 7. p. 631. E. et Suidas. Mox pro προήχθησαν Cod. Mosc. dat προήχθη.

6) εἴασαν] Cod. Mosc. εἴων.

7) Ναυπλιεῖς δὲ etc.] Vid. supra C. 24. et infra C. 35.

8) εὐχαῖς] Cod. Mosc. ταῖς εὐχαῖς.

9) ἑπτὰ καὶ ὀγδοήκοντα καὶ διακ. ἔτ. etc.] Non mediocris est scriptorum discordia in annorum numero, quibus exactis Messenii in Peloponnesum redierunt; vid. Wesseling. ad Diodor. L. XV. s. 66. et Periz. ad Ael. V. H. L. XIII. C. 42. Ut hic Pausaniae numerus propius accedat ad illum, quem paullo infra prodit, Μεσσήνιοι δὲ ἐκτὸς Πελ. τριακόσια ἔτη etc., Palmer. Exercit. p. 390. pro ὀγδοήκοντα scribendum putat ἐννενηκοντα.

10) Δυσκινήτου] In Diodoro L. XV. s. 57. et in Demosthene fuit Δυσνίκητος. Vid. Wesseling. ad Diod. l. c.

οὐκ ὀλίγος μὲν οὖν ὁ χρόνος καὶ Πλαταιεῦσιν [11]) ἐγένετο, ἐφ' ὅσον καὶ ἐκεῖνοι τὴν αὑτῶν ἔφευγον· καὶ Δηλίοις [12]), ἡνίκα ᾤκησαν Ἀδραμύττιον, ἐκβληθέντες ἐκ τῆς σφετέρας ὑπὸ Ἀθηναίων. καὶ Ὀρχομενίων δὲ οἱ Μινύαι [13]) μετὰ τὴν μάχην τὴν ἐν Λεύκτροις ἐκπεσόντες ὑπὸ Θηβαίων ἐξ Ὀρχομενοῦ, κατήχθησαν ἐς Βοιωτίαν ὑπὸ Φιλίππου τοῦ Ἀμύντου, καὶ οὗτοι καὶ οἱ Πλαταιεῖς. Θηβαίων δὲ αὐτῶν ἐρημώσαντος Ἀλεξάνδρου τὴν πόλιν, αὖθις ἔτεσιν οὐ πολλοῖς ὕστερον Κάσσανδρος Ἀντιπάτρου τὰς Θήβας ἔκτισε [14]). Φαίνεται μὲν δὴ τῶν κατειλεγμένων ἐπὶ μακρότατον ἡ Πλαταϊκὴ Φυγὴ συμβᾶσα· οὐ μέντοι περαιτέρω γε ἢ ἐπὶ δύο ἐγένετο οὐδ' αὐτὴ γενεάς. Μεσσήνιοι δὲ ἐκτὸς Πελοποννήσου τριακόσια ἔτη μάλιστα ἠλῶντο, ἐν οἷς οὔτε ἐθῶν εἰσὶ δῆλοι παραλύσαντές τι τῶν οἴκοθεν, οὔτε τὴν διάλεκτον τὴν Δωρίδα μετεδιδάχθησαν· ἀλλὰ καὶ ἐς ἡμᾶς ἔτι τὸ ἀκριβὲς αὐτῆς Πελοποννησίων μάλιστα ἐφύλασσον.

11) Πλαταιεῦσιν] Vid. L. IX. C. 1. et Diod. L. XV. f. 46.

12) Δηλίοις etc.] Tetigit hanc rem Thucyd. L. VIII. f. 108.

13) Ὀρχομενίων δὲ οἱ Μινύαι etc.] Vid. L. IX. C. 15. Conf. Diod. L. XV. f. 79.

14) Θηβαίων — ἔκτισε] Vid. L. IX. C. 7. init. et Diodor. L. XIX. f. 53. 54.

CAPUT

CAPUT XXVIII.

Lacedaemonii, Thebanis in bello Phocico occupatis, Messeniis denuo bellum inferunt — Messenii cum sociis resistunt et tandem cum Philippo Macedonum rege societatem jungunt — Messenii Elidem dolo occupant — de simili et aliis in Homero strategematibus.

Κατελθοῦσι δὲ αὐτοῖς καταρχὰς μὲν ἀπὸ Λακεδαιμονίων δεινὸν ἦν οὐδέν. κατεχόμενοι γὰρ οἱ Λακεδαιμόνιοι φόβῳ τῶν Θηβαίων, Μεσσήνης τε ἠνείχοντο ἐποικιζομένης, καὶ Ἀρκάδων εἰς μίαν ἠθροισμένων πόλιν [1]). ὡς δὲ ὁ πόλεμος ὁ Φωκικὸς, καλούμενος δὲ αὐτὸς οὗτος καὶ ἱερὸς, ἀπήγαγεν ἐκ Πελοποννήσου Θηβαίους, ἀνεθάρρησάν τε οἱ Λακεδαιμόνιοι, καὶ τῶν Μεσσηνίων οὐκέτι ἐδύναντο ἀπέχεσθαι. Μεσσήνιοι δὲ αὐτοί τε μετὰ Ἀργείων καὶ Ἀρκάδων 2
ἀντεῖχον τῷ πολέμῳ, καὶ Ἀθηναίων ἀμῦναί σφισιν ἐδεήθησαν. οἱ δὲ ἐς μὲν τὴν Λακωνικὴν οὔποτε μετὰ ἐκείνων ἐσβαλεῖν ἔφασαν· ἀρχόντων δὲ Λακεδαιμονίων πολέμου καὶ ἐπιστρατευόντων τῇ Μεσσηνίᾳ, παρέσεσθαι καὶ αὐτοί σφισιν ἐπηγγέλλοντο. τέλος δὲ οἱ Μεσσήνιοι Φιλίππῳ σύμμαχοι τῷ Ἀμύντου καὶ Μακεδόσιν ἐγένοντο· καὶ τοῦτο σφᾶς λέγουσιν ἀποκωλῦσαι, τοῦ σύμπαντος τοῖς Ἕλλησιν ἀγῶνος ἐν Χαιρωνείᾳ μὴ μετασχεῖν. οὐ μὴν οὐδὲ τοῖς Ἕλλησιν ἐναντία θέσθαι τὰ ὅπλα ἠθέλησαν. Ἀλεξάνδρου δὲ ἀποθανόντος, καὶ τῶν Ἑλλήνων πόλεμον δεύτερον τότε ἀνηρημένων πρὸς Μακεδόνας, μετέσχον καὶ οἱ Μεσσήνιοι

1) εἰς μίαν ἠθρ. πόλιν] Haec Μεγαλόπολις fuit, seu Μεγάλη Πόλις, de qua vid. L. VIII. C. 27. et Diodor. L. XV. f. 72.

σήνιοι τοῦ πολέμου, καθὰ καὶ πρότερον ἐδήλωσα ἐν τῇ Ἀτθίδι συγγραφῇ [2]). Γαλάταις [3]) δὲ μεθ' Ἑλλήνων οὐκ ἐμαχέσαντο, Κλεωνύμου καὶ Λακεδαιμονίων
3 σπεισασθαι σπονδὰς σφίσιν οὐ θελησάντων. Οὐ πολλῷ δὲ ὕστερον ἔσχον Ἦλιν Μεσσήνιοι, σοφία τε ὁμοῦ χρησάμενοι καὶ τολμήματι. Ἠλεῖοι γὰρ τὰ μὲν παλαιότατα εὐνομώτατοι Πελοποννησίων ἦσαν· Φιλίππου δὲ τοῦ Ἀμύντου τά τε ἄλλα, ὁπόσα εἴρηται, κακουργήσαντος τὴν Ἑλλάδα, καὶ Ἠλείων τοὺς δυνατοὺς διαφθείραντος χρήμασι, σασιάζουσι πρῶτον τότε Ἠλεῖοι καὶ ἐς ὅπλα, ὡς λέγουσι, χωροῦσι. τὸ δὲ ἀπὸ τούτου, ῥᾷον ἔτι ἔμελλον ἀπεχθήσεσθαι πρὸς ἀλλήλους, οἷς γε καὶ Λακεδαιμονίων ἕνεκα διέση τὰ βουλεύματα, καὶ ἐς ἔμφυλον προῆλθον πόλεμον. πυνθανόμενοι δὲ ταῦτα οἱ Λακεδαιμόνιοι, παρεσκευάζοντο ὡς Ἠλείων τοῖς φρονοῦσι τὰ σφέτερα ἀμυνοῦντες· καὶ οἱ μὲν κατὰ τέλη [4]) τε ἐτάσσοντο, καὶ διενέμοντο ἐς τοὺς λόχους. τῶν δὲ Μεσσηνίων λογάδες χίλιοι φθάνουσιν ἀφικόμενοι πρὸς τὴν Ἦλιν, σημεῖα

2) ἐδήλωσα ἐν τῇ Ἀτθ. συγγρ.] Vid. L. I. C. 25.

3) Γαλάταις] Vulgata fuit Γαλάται, cui tamen nullus hic locus esse poterat. Gallos enim numquam Graecis junctos contra communem hostem pugnasse, satis constat. Contra Gallos autem, qui Graeciam invaserant, plures Graeciae gentes, Messeniis exceptis, junctis viribus dimicasse, ex Pausania L. X. C. 19. sq. et aliis scimus. Praeclare igitur *Kuhn.* monuit, pro Γαλάται scribendum esse Γαλάταις, quod textui reddere, editoris esse duxi. μάχεσθαι ἐναντία et μάχεσθαι dativo junctum Pausaniae est *pugnare contra* etc. Sic L. I. C. 15. Ἀθηναίοις τε αὐτοῖς μαχούμεναι γῇ τοῖς πᾶσιν Ἕλλησιν.

4) τέλη] *ordines, centurias,* τάξεις, τάγματα, de qua et aliis vocis τέλος significationibus vid. schol. ad Homeri Il. K. v. 56. Conf. Hesych. v. τέλος et ibi not.

σημεῖα ἐπὶ ταῖς ἀσπίσι Λακωνικὰ ἔχοντες [5]). ὡς δὲ τὰς ἀσπίδας ἐθεάσαντο, ὅσοι τοῖς Σπαρτιάταις εὖνοι τῶν Ἠλείων ἦσαν, συμμαχίας [6]) τε ἀφῖχθαί σφισιν ἤλπισαν, καὶ τοὺς ἄνδρας ἐδέχοντο ἐς τὸ τεῖχος. ἐσελθόντες δὲ τρόπον οἱ Μεσσήνιοι τὸν εἰρημένον, τοὺς Λακεδαιμονίων Φρονοῦντας ἐδίωξαν [7]), καὶ ἐπιτρέπουσι τοῖς σασιώταις τοῖς αὐτῶν τὴν πόλιν. Ἔστι μὲν 4
δὴ τὸ σόφισμα Ὁμήρου· φαίνονται δὲ αὐτὸ ἐν δέοντι μιμησάμενοι καὶ οἱ Μεσσήνιοι· ἐπεὶ Πάτροκλόν γε ἐποίησεν ἐν Ἰλιάδι Ὅμηρος [8]) Ἀχιλλέως τὰ ὅπλα ἐνδύντα, καὶ ἐγγενέσθαι τε ἔφη τοῖς βαρβάροις δόξαν, ὡς Ἀχιλλεὺς ἐπίοι, καὶ τοὺς προτεταγμένους αὐτῶν ταραχθῆναι. εὕρηται δὲ καὶ ἄλλα Ὁμήρου στρατηγήματα [9]) δύό τε παρὰ τῶν Ἑλλήνων κατασκόπους ἐν

5) σημεῖα ἐπὶ τ. ἀσπ. Λακωνικὰ ἔχοντες] Forte haec ſigna ſymbola formis expreſſa fuerint, ſeu potius literae inſcriptae; utrumque enim veteribus in uſu fuiſſe, ex Pauſania et aliis ſcimus. Sic clypei Lacedaemon. litera Λ inſigniti eſſe potuerunt, uti Sicyoniorum clypeis literam Σ inſcriptam fuiſſe legimus in Xenoph. Hiſt. Gr. L. IV. C. 4. §. 10. Conf. Schneider V. C. ad Xenoph. H. Gr. L. VII. C. 5. §. 20.

6) συμμαχίας] Cod. Moſc. συμμαχίαν, quod praeferendum eſt.

7) τοὺς Λακεδαιμονίων φρον. ἐδίωξαν] *Sylb.* bene emendat τοὺς τὰ Λακεδ., *eos, qui Lacedaemoniorum partibus ſtudebant, expulerunt.* διώκειν hic ſignificat *ejicere, fugare*, uti *Kuhn.* recte monet. Sic enim infra C. 35. Ναυπλιεῦσιν ἐπὶ Λακωνισμῷ διωχθεῖσι — Μοθώνην Λακεδαιμόνιοι διδόασι, quae ſupra C. 24. ita enunciata fuere: Μοθώνην δὲ Ναυπλιεῦσιν ἐδίδοσαν ἐκπεπτωκόσιν ἐκ Ναυπλίας etc. Suid. ἐδίωσεν, ἐξέωσεν, ἐδίωξεν. Conf. de hoc vocis ſignificatu *Arnaud* animadverſ. crit. p. 37.

8) ἐν Ἰλιάδι Ὅμηρος] Il. Π. v. 130.

9) εὕρηται δὲ καὶ ἄλλα Ὁμήρου στρατ.] Pro Ὁμήρου *Kuhn.* mavult Ὁμήρῳ, quod ab εὕρηται pendeat: *excogitata ſunt ab Homero* etc. Locus de ſpeculatoribus eſt Il. Κ. v. 218. ſq., de exploratore Ilium miſſo v. 244.

ἐν τῇ νυκτὶ ἀιθ' ἑνὸς ἐς τοὺς Τρῶας ἀφικέσθαι· καὶ ἄνδρα ὕστερον, λόγῳ μὲν αὐτόμολον, ἔργῳ δὲ τὰ ἀπόῤῥητα πολυπραγμονήσοντα, ἐς τὸ Ἴλιον ἐσελθεῖν. ἔτι δὲ τοὺς [10]) διὰ νεότητα ἐν τοῖς Τρωσὶν ἢ γῆρας οὐχ ὡραίους μάχεσθαι, τούτους μὲν τὸ τεῖχος φρουρεῖν ἔταξε, τῶν ἐν ἡλικίᾳ τοῖς Ἕλλησιν ἐπηλισμένων [11]). Ἑλλήνων δὲ οἱ τὰ τραύματα ἔχοντες [12]) ὁπλίζουσιν αὐτῷ τὸ μάχιμον, ἵνα μηδὲ αὐτοὶ παντάπασιν ἀργοῖεν. τὰ Ὁμήρου μὲν οὖν ὠφέλιμα ἐγένετο ἐς ἅπαντα ἀνθρώποις.

10) ἔτι δὲ τοὺς etc.] Vid. Iliad. Θ. v. 520. sq.

11) ἐπηλισμένων] Vocem corruptam esse, facile patet. Cod. Mosc. non minus mendose dat ἀπηλισμένων. *Amas.* interpretatus: *dum — facto agmine ad proelium esset exitura*, legisse videtur ἐπηλασμένων, *cum Graecos infesto cursu petiissent.* Et sic emendandum esse censerem, nisi Homeri locus paululum repugnaret, ubi Trojani prope Graecos castra habuisse et his tanquam custodes noctu assedisse dicuntur. Inde vero *Kuhn.* praeclare correxit ἐπηυλισμένων, *cum prope Graecos pernoctarent.* Sic ἐπαυλίζεσθαι aliquoties est in Thucyd. L. IV. f. 134. et L. III. f. 5., ubi schol. ἐπαυλίσασθαι ἔστι τὸ πλησίον τῶν πολεμίων νυκτὸς αὐλίσασθαι, καθυπερτερούντων αὐτῶν.

12) Ἑλλήνων δὲ οἱ τὰ τρ. ἔχ.] Vid. Il. Ξ. v. 379.

CAPUT

CAPUT XXIX.

Demetrius, Philippi filius, cum Macedonibus Messenen invadit — cur Messenii Achaeorum concilio sese non junxerint — Megalopoli a Cleomene capta, Messenii Philopoemena cum Arcadibus excipiunt ac dein Spartam cum sociis expugnant — Nabis, Lacedaemoniorum tyrannus, Messenen occupat et certis conditionibus discedit — Achaei de Messeniis questi iis bellum inferunt — Philopoemena vivum capiunt Messenii et iterum Achaeorum communi annumerantur.

Μετὰ δὲ οὐ πολὺν χρόνον τοῦ ἔργου τοῦ πρὸς Ἠλιδι, Μακεδόνες καὶ Δημήτριος ὁ Φιλίππου τοῦ Δημητρίου Μεσσήνην καταλαμβάνουσι. τὰ μὲν δὴ πολλὰ ἔς τε αὐτὸν Φίλιππον καὶ ἐς Δημήτριον τὸν Φιλίππου τολμηθέντα ἐκ Περσέως, ἐν τοῖς Σικυωνίοις ἔγραψα ἤδη λόγοις [1])· τὰ δὲ ἐς τὴν κατάληψιν τὴν Μεσσήνης ἔσχεν οὕτω. χρημάτων ἐσπανίζετο Φίλιππος, καὶ (ἐδεῖτο γάρ οἱ πάντως γενέσθαι χρήματα) ἀποστέλλει Δημήτριον ναυσὶν ἐς Πελοπόννησον. Δημήτριος δὲ κατήγετό που τῆς Ἀργείας ἐς λιμένα τῶν ἐρημοτέρων. αὐτίκα δὲ ὡς εἶχε, διὰ τῶν ἐπιτομωτάτων τῆς χώρας τὴν στρατιὰν ἦγεν ἐπὶ Μεσσήνης. προτάξας δὲ, ὅσον ἦν τῶν τότε ὅπλων τῇ σκευῇ κοῦφον, τῆς ἐς τὴν Ἰθώμην εἶχεν ὁδοῦ οὐκ ἀπείρως τε [2]), λανθάνει περὶ ὄρθρον μάλιστα ὑπερβὰς τὸ τεῖχος, ὃ [3]) τῆς τε πόλεως μεταξὺ

1) Σικυωνίοις ἔγραψα ἤδη λόγ.] Vid. L II. C. 9.

2) τῆς ἐς — ἀπείρως τε] Cod. Mosc. καὶ τῆς ἐς etc. exhibet, quo duce locum leviter turbatum ita constituendum puto: καὶ τῆς ἐς τ. Ἰθ. ἔχων ὁδ. οὐκ ἀπείρως γε etc. *Kuhn.* post ἀπείρως τε inserendum esse καὶ putavit.

3) τὸ τεῖχος, ὃ] Cod. Mosc. τὸ τεῖχος, καθό.

μεταξὺ ἦν καὶ ἄκρας τῆς Ἰθώμης. ὡς δὲ ἡμέρα τε ἐπέσχε, καὶ ἤδη τοῖς ἔνδον αἴσθητις ἐγεγόνει τοῦ κατειληφότος κινδύνου, τὸ μὲν πρῶτον αὐτοὺς ἐσῆλθεν ὑπόνοια, ὡς οἱ Λακεδαιμόνιοι σὺν ὅπλοις παρέλθοιεν αὐτῶν ἐς τὴν πόλιν· ὥστε καὶ ὥρμησαν ἐπ' αὐτοὺς ἀφειδέστερον διὰ τὸ μῖσος τὸ ἐξ ἀρχῆς. ἐπεὶ δὲ ἔκ τε τῶν ὅπλων καὶ τῆς φωνῆς Μακεδόνας καὶ Δημήτριον τὸν Φιλίππου γνωρίζουσιν ὄντας, δεῖμα ἰσχυρὸν παρέσχε σφίσι λογιζομένοις τήν τε ἐς τὰ πολεμικὰ τῶν Μακεδόνων μελέτην, καὶ τύχην, ἣ πρὸς ἅπαντας ἐώρων χρωμένους αὐτούς. ὅμως δὲ τοῦ τε παρόντος κακοῦ τὸ μέγεθος ἐδίδασκεν ἀνδρίαν τινὰ καὶ πέρα τοῦ δυνατοῦ γίνεσθαι [4]), καὶ ἅμα ἀμείνω παρίστατο αὐτοῖς ἐλπίζειν· οὐ γὰρ δὴ ἄνευ θεοῦ διὰ τοσούτου σφίσιν ὑπάρξαι τὴν ἐς Πελοπόννησον κάθοδον. οἵ τε οὖν ἐκ τῆς πόλεως Μεσσήνιοι θυμῷ παντὶ ἐς τοὺς Μακεδόνας ἐχώρουν· καὶ οἱ φρουροῦντες τὴν ἀκρόπολιν ἐπέκειντο ἐξ ὑπερδεξίων [5]). ὡσαύτως δὲ καὶ οἱ Μακεδόνες ὑπό τε ἀρετῆς καὶ ἐμπειρίας τὸ καταρχὰς ἠμύνοντο ἐρρωμένως. ἅτε δὲ ὁδοιπορίᾳ προαπειρηκότες, καὶ ὁμοῦ τῶν τε ἀνδρῶν σφίσιν ἐγκειμένων, καὶ ὑπὸ τῶν γυναικῶν κεράμῳ καὶ λίθοις βαλλόμενοι, σὺν οὐδενὶ ἔφευγον κόσμῳ. καὶ τὸ μὲν πολὺ αὐτῶν ἀπώλετο ὠθούμενον [6]) κατὰ τῶν κρημνῶν (ἀπότομος γὰρ δὴ ταύ-

4) ἀνδρίαν τινὰ καὶ πέρα τοῦ δυνατοῦ γίν.] *virtutem quandam vel ultra vires exsistere.* πέρα τοῦ δυνατοῦ dictum est, uti supra C. 5. πέρα δεινῶν. *Kuhn.* hic temere emendat ἀνδρεῖον pro ἀνδρίαν.

5) ἐξ ὑπερδεξίων] *ex edito, e superiori loco,* uti infra ὑπερδεξίου τῆς μάχης. *Amaſ.* male interpretatur *a dextera parte.* Nam ὑπερδέξιος eſt *ſuperior, editus;* vid. not. ad Xenoph. de exped. Cyri L. IV. C. 8. ed. Mori.

6) ὠθούμενον] Cod. Moſc. ὠθούμενοι. Haud male.

ταύτη μάλισά ἐστιν ἡ Ἰθώμη), ὀλίγοι δέ τινες καὶ ῥίψαντες τὰ ὅπλα ἀπεσώθησαν. Ἐς δὲ τὸ συνέδριον 2
οἱ Μεσσήνιοι τὸ Ἀχαιῶν ἐπὶ τῷδε οὔ μοι δοκοῦσιν ἐσελθεῖν. καταρχὰς Λακεδαιμονίοις αὐτεπάγγελτοι βοηθήσοντες ἀφίκοντο ὑπὸ Πύῤῥου τοῦ Αἰακίδου πολεμουμένοις· καί σφισιν ἀπὸ τῆς εὐεργεσίας ταύτης ἤδη τὰ ἐκ τῆς Σπάρτης εἰρηνικώτερα ὑπῆρχεν. οὔκουν ἀνακινῆσαι τὸ ἔχθος ἐβούλοντο ἐς τὸ συνέδριον συγχωρήσαντες [7]), οἱ Λακεδαιμονίων μάλισα πολέμιοι ἐκ τοῦ φανεροῦ καθεσήκεσαν. ὃ δὲ οὐ λέληθεν ἐμὲ, οὐδὲ Μεσσηνίους ἐλελήθει δήπου, καὶ μὴ συντελοῦσιν αὐτοῖς ἐς τὸ συνέδριον, ὡς ἐπὶ Λακεδαιμονίους τὰ Ἀχαιῶν ὑπάρχει [8]). ἐν γὰρ δὴ τοῖς Ἀχαιοῖς καὶ Ἀργεῖοι καὶ τὸ Ἀρκαδικὸν οὐκ ἐλαχίστη μοῖρα ἦσαν [9]). Ἀνὰ χρόνον μέν τοι 3
προσεχώρησαν ἐς τὸ Ἀχαϊκόν [10]). οὐ πολλῷ δὲ ὕστερον Κλεομένης ὁ Λεωνίδου τοῦ Κλεωνύμου Μεγάλην πόλιν εἶλεν Ἀρκάδων ἐν σπονδαῖς [11]). τῶν δὲ οἱ καταληφθέντες οἱ μὲν ἀπώλοντο ὑπὸ τὴν ἅλωσιν, Φιλοποίμενα δὲ τὸν Κραύγιδος, καὶ ὅσοι μετὰ Φιλοποίμενος ἀπεχώρησαν (γενέσθαι δὲ τῶν Μεγαλοπολιτῶν τὸ διαφυγὸν καὶ ὑπὲρ τὰς δύο μοίρας λέγουσι), τούτους ὑπεδέξαντο οἱ Μεσσήνιοι, τῶν τε ἀρχαίων ἔργων ἕνεκα,

7) τὸ συνέδριον συγχωρ.] Hic Ἀχαιῶν excidisse putat *Kuhn.*

8) ὃ δὲ οὐ λέληθεν — τὰ Ἀχαιῶν ὑπάρχει] Sententia prava interpunctione turbata fuit, quam emendavi: *Illud autem nec me, nec Messenios fugit, Achaeorum consilia, ipsis (Messeniis) etiam illorum communi non adjunctis, contra Lacedaemonios esse (inita).* Dativi συντελοῦσιν αὐτοῖς absolute sunt positi.

9) τὸ Ἀρκαδικὸν — μοῖρα ἦσαν] Vid. Herodot. L. I. f. 146.

10) Ἀνὰ χρόνον — Ἀχαϊκόν] Vid. Polyb. L. IV. C. 9.

11) Κλεομένης — ἐν σπονδαῖς] Vid. Paus. L. VIII. C. 49. Conf. Plutarch. Philop. f. 5. et Cleom. f. 23. 24.

κα, ὁπόσα ἐπὶ Ἀριστομένους ὑπῆρκτο Ἀρκάσι, καὶ ὕστερον ἐπὶ τοῦ οἰκισμοῦ τοῦ Μεσσήνης, ἀποδιδόντες σφίσι τὴν ὁμοίαν. πέφυκε δὲ ἄρα ὡς ἐπίπαν μεταπίπτειν τὰ ἀνθρώπινα· εἰ δὴ Μεσσηνίοις Ἀρκάδας τε ἀντισῶσαι, καὶ τὸ ἀδοκητότερον ἔτι, ἐλεῖν Σπάρτην ὁ δαίμων ἔδωκε. Κλεομένει γὰρ περὶ Σελλασίαν ἐμαχέσαντο ἐναντία, καὶ τὴν Σπάρτην Ἀράτῳ καὶ Ἀχαιοῖς
4 συγκαθεῖλον [12]). Λακεδαιμονίοις δὲ ἀπηλλαγμένοις Κλεομένους, ἐπανίσταται τύραννος Μαχανίδας· ἐκείνου δὲ ἀποθανόντος, Νάβις ἀνέφυ σφίσιν αὖθις τύραννος. ἅτε δὲ οὐ τὰ ἀνθρώπων ἀναρπάζοντι αὐτῷ μόνον, ἀλλὰ καὶ ἱερὰ συλῶντι, ἐν οὐ πολλῷ χρόνῳ χρήματά τε ἄφθονα καὶ ἀπ' αὐτῶν στρατιὰ συνείλεκτο. τούτου τοῦ Νάβιδος Μεσσήνην καταλαβόντος, Φιλοποίμην καὶ οἱ Μεγαλοπολῖται νυκτὸς ἀφίκοντο τῆς αὐτῆς, καὶ ὁ μὲν Σπαρτιάτης τύραννος ἀπῆλθεν ὑπόσπονδος
5 [13]). Ἀχαιοὶ δὲ ὕστερον τούτων, μεμφόμενοί τι Μεσσηνίοις [14]), στρατεύουσιν ἐπ' αὐτοὺς παρασκευῇ τῇ πάσῃ, καὶ τὰ πολλὰ ἔτεμον τῆς χώρας. καὶ οἱ μὲν αὖθις περὶ ἀκμὴν σίτου συνελέγοντο, ὡς ἐς τὴν Μεσσηνίαν ἐσβαλοῦντες. Δεινοκράτης δὲ δήμου τε προεστηκὼς, καὶ Μεσσηνίων ἄρχειν ἐν τῷ τότε ἠρημένος, Λυκόρταν μὲν καὶ τὴν σὺν αὐτῷ στρατιὰν ἀναχωρῆσαι παρεσκεύασεν ἄπρακτον, τὰς ἐς τὴν Μεσσηνίαν ἐκ τῆς Ἀρκαδίας παρόδους προλαβών· τοῖς τε [15]) ἐκ τῆς πόλεως

12) Κλεομένει γὰρ — συγκαθεῖλον] Vid. supra L. II. C. 9. Conf. Plutarch. Cleom. f. 37.

13) ἀπῆλθεν ὑπόσπονδος] Idem dicit Paus. L. VIII. C. 50. ubi haec prolixius refert. Plutarch. Philop. f. 12. in fine illum effugisse narrat.

14) μεμφόμενοί τι Μεσσην.] Defecerant ab Achaeis auctore Dinocrate; de quo et de sequentibus vid. Plutarch. Philop. f. 18. sq.

15) προλαβών· τοῖς τε etc.] Forte

πόλεως Μεσσηνίοις, καὶ ὅσοι τῶν περιοίκων σφίσιν ἤμυναν. Φιλοποίμενος δὲ σὺν ἱππεῦσιν ὀλίγοις ἀφικομένου πολὺ ὕστερον, ἢ ὁ μετὰ Λυκόρτα στρατὸς, πυθέσθαι δὲ οὐδέν πω τῶν ἐς αὐτοὺς δεδυνημένου [16]), νικῶσιν οἱ Μεσσήνιοι, γιγνομένης σφίσιν ὑπερδεξίου [17]) τῆς μάχης, καὶ ζῶντα αἱροῦσι Φιλοποίμενα. τρόπον δὲ ὄντινα ὁ Φιλοποίμην ἑάλω, καὶ ὡς ἐτελεύτησε, τάδε μὲν ἡμῖν καὶ ὕστερον ὁ Ἀρκαδικὸς λόγος ἐπέξεισι [18]). Μεσσηνίων δὲ οἵ τε Φιλοποίμενι αἴτιοι τῆς τελευτῆς ἔδοσαν δίκας, καὶ ἡ Μεσσήνη συνετέλεσεν αὖθις ἐς τὸ Ἀχαϊκόν.

Ἄχρι μὲν δὴ τοῦδε ὁ λόγος ἐπῆλθέ μοι Μεσσηνίων τὰ πολλὰ παθήματα, καὶ ὡς ὁ δαίμων σφᾶς ἐπί τε γῆς τὰ ἔσχατα, καὶ ἐπὶ τὰ ποῤῥώτατα Πελοποννήσου σκεδάσας, ὕστερον χρόνῳ καὶ ἐς τὴν οἰκείαν ἀνέσωσε· τὸ δὲ ἀπὸ τούτου τῆς χώρας καὶ πόλεων τραπώμεθα ἐς ἀφήγησιν.

Forte planior sit sententia, si ita emendes et legas: προλαβὼν σὺν τοῖς τε etc.

16) δεδυνημένου] Ex Cod. Mosc. reposui pro vulgata δεδυνημένων, *Sylb.* et *Kuhn.* ita emendantibus.

17) ὑπερδεξίου] Cod. Mosc. ὑπερδεξίων. Forte ἐξ ὑπερδεξίων, ut paullo supra.

18) ὁ Ἀρκαδικὸς λόγος ἐπέξ.] Vid. L. VIII. C. 51. Conf. Plutarch. Philop. §. 18. sq.

CAPUT XXX.

Descriptio Messenicae regionis et urbium — Abia urbs — Pharae et quae ad ejus conditoris, Pharis, genus pertinent — de Fortunae nomine primum ab Homero commemorato — de primo Fortunae signo, polo capiti impositi et Amaltheae cornu exornato.

Ἔστιν ἐφ' ἡμῶν ἐν τῇ Μεσσηνίᾳ τῆς νάπης τῆς Χοιρίου σάδια εἴκοσι μάλιστα ἀπέχουσα Ἀβία ἐπὶ θαλάσσῃ πόλις. ταύτην Ἶρην καλεῖσθαι πάλαι, καὶ τῶν ἑπτά φασιν εἶναι πόλεων, ἃς Ἀχιλλεῖ πεποίηκεν Ὅμηρος [1]) Ἀγαμέμνονα ὑπισχνούμενον. Ὕλλου δὲ καὶ Δωριέων [2]) μάχῃ κρατηθέντων ὑπὸ Ἀχαιῶν, ἐνταῦθα Ἀβίαν Ὕλλου τοῦ Ἡρακλέους τροφὸν ἀποχωρῆσαι λέγουσιν ἐς τὴν Ἶρην, καὶ οἰκῆσαί τε αὐτόθι, καὶ Ἡρακλέους ἱερὸν ἱδρύσασθαι [3]), καί οἱ διὰ ταῦτα ὕστερον Κρεσφόντην ἄλλα τε γέρα νεῖμαι, καὶ τῇ πόλει μεταθέσθαι τὸ ὄνομα ἀπὸ τῆς Ἀβίας. Ἡράκλειον δὲ ἦν αὐτόθι ἐπιφανὲς καὶ Ἀσκληπίειον. Φαραὶ δὲ ἀφεστήκασιν Ἀβίας σαδίους ἑβδομήκοντα. καὶ ὕδωρ κατὰ τὴν ὁδόν ἐστιν ἁλμυρόν. Βασιλεὺς δὲ Αὔγουστος τοὺς ἐν Φαραῖς Μεσσηνίους συντελεῖν ἐπέταξεν ἐς

2

1) πεποίηκεν Ὅμηρος etc.] Il. ι. v. 292., ubi in plerisque libris Ἶρη.

2) Ὕλλου δὲ καὶ Δωριέων] Sic ex Cod. Mosc. rescripsi pro vulgatis Ὑλλέου δὲ καὶ Δωριέως. Palmer. Exerc. p. 390. et Kuhn. jam ita scite emendaverant. Firmatur autem lectionis veritas a Paus. L. VIII. C. 5. init.

3) ἱδρύσασθαι] Hic in vulgatis e sequente periodo perperam adjecta sunt verba τὸ ὄνομα ἀπὸ τῆς Ἀβίας. Codicis Mosc. et *Amasaei* auctoritate ista a suo loco prorsus aliena delevi.

ἐς τὸ Λακωνικόν. τὸν δὲ οἰκιστὴν Φάριν [4]) Ἑρμοῦ τε καὶ Φιλοδαμείας λέγουσιν εἶναι τῆς Δαναοῦ. Φάρει δὲ ἄῤῥενας μὲν οὔ φασι γενέσθαι, θυγατέρα δὲ Τηλεγόνην. τοὺς δὲ ἐφεξῆς ἐγενεαλόγησεν Ὅμηρος ἐν Ἰλιάδι [5]), διδύμους Κρήθωνα καὶ Ὀρτίλοχον εἶναι Διοκλεῖ, Διοκλέα δὲ αὐτὸν Ὀρτιλόχου τοῦ Ἀλφειοῦ· τὰ δὲ ἐς Τηλεγόνην παρεῖδεν. αὕτη γὰρ λόγῳ τῷ Μεσσηνίων ἐστὶν ἡ τεκοῦσα Ἀλφειῷ τὸν Ὀρτίλοχον. καὶ τάδε ἄλλα ἤκουσα ἐν Φαραῖς· Διοκλεῖ θυγατέρα ἐπὶ τοῖς διδύμοις παισὶν Ἀντίκλειαν γενέσθαι, τῆς δὲ Νικόμαχόν τε εἶναι καὶ Γόργασον, πατρὸς δὲ Μαχάονος τοῦ Ἀσκληπιοῦ· τούτους καταμεῖναί τε αὐτοῦ, καὶ ὡς ὁ Διοκλῆς ἐτελεύτησε, τὴν βασιλείαν ἐκδέξασθαι. διαμεμένηκε δὲ αὐτοῖς καὶ ἐς τόδε ἔτι, νοσήματά τε καὶ τοὺς πεπηρωμένους τῶν ἀνθρώπων ἰᾶσθαι· καί σφισιν ἀντὶ τούτων θυσίας ἐς τὸ ἱερὸν καὶ ἀναθήματα ἄγουσιν. ἔστι δὲ καὶ Τύχης ναὸς Φαραιάταις [6]) καὶ ἄγαλμα ἀρχαῖον. Πρῶτος δὲ, ὧν οἶδα, 3
ἐποιήσατο ἐν τοῖς ἔπεσιν Ὅμηρος Τύχης μνήμην. ἐποιήσατο δὲ ἐν ὕμνῳ τῷ ἐς τὴν Δήμητρα [7]), ἄλλας τε τῶν Ὠκεανοῦ [8]) θυγατέρας καταριθμούμενος, ὡς ὁμοῦ Κόρῃ τῇ Δήμητρος παίζοιεν, καὶ Τύχην ὡς Ὠκεανοῦ καὶ ταύτην παῖδα οὖσαν. καὶ οὕτως ἔχει τὰ ἔπη·

4) οἰκιστὴν φάριν] Conf. L. VII. C. 22.

5) Ὅμηρος ἐν Ἰλιάδι] Il. E. v. 542. sq., ubi pro Ὀρτίλοχος est Ὀρσίλοχος, et φηρῇ pro Φαραῖς.

6) Φαραιάταις] *Sylb.* scribendum censet Φαραίταις ex Steph. Byz. v. Φαραὶ, quem vide, sis. Strab. L. VIII. p. 594. dicuntur Φαράται.

7) ὕμνῳ τῷ ἐς τὴν Δήμητρα] Vid. hunc hymnum a Ruhnkenio V. C. edit. v. 417. sq. et ibi not.

8) τῶν Ὠκεανοῦ] *Sylb.* monet, scribendum esse τοῦ Ὠκ.

Ἡμεῖς μὲν μάλα πᾶσαι ἀν' ἱμερτὸν λειμῶνα,
Λευκίππη, Φαινώ τε καὶ Ἠλέκτρη, καὶ Ἰάνθη,
Μηλόβοσίς τε, Τύχη τε, καὶ Ὠκυρόη καλυκῶπις.

πέρα δὲ ἐδήλωσεν οὐδὲν ἔτι, ὡς ἡ θεός ἐστιν αὕτη μεγίστη θεῶν ἐν τοῖς ἀνθρωπίνοις πράγμασι, καὶ ἰσχὺν παρέχεται πλείστην, ὥσπερ γε ἐν Ἰλιάδι ἐποίησεν Ἀθηνᾶν μὲν καὶ Ἐνυὼ [9]) πολεμούντων ἡγεμονίαν ἔχειν, Ἄρτεμιν [10]) δὲ γυναικῶν ὠδῖσιν εἶναι Φοβεράν, Ἀφροδίτην [11]) δὲ τὰ ἔργα μέλειν τῶν γάμων. ἀλλ' οὗτος
4 μὲν οὐδὲν ἄλλο ἐποίησεν ἐς τὴν Τύχην [12]). Βούπαλος δὲ ναούς τε οἰκοδομήσασθαι καὶ ζῶα ἀνὴρ ἀγαθὸς πλάσαι Σμυρναίοις ἄγαλμα ἐργαζόμενος Τύχης πρῶτος ἐποίησεν, ὧν ἴσμεν, πόλον [13]) τε ἔχουσαν ἐπὶ τῇ κεφαλῇ, καὶ τῇ ἑτέρᾳ χειρὶ τὸ καλούμενον Ἀμαλθείας κέρας [14]) ὑπὸ Ἑλλήνων. οὗτος μὲν ἐπὶ τοσούτῳ

9) Ἀθηνᾶν μὲν καὶ Ἐνυὼ] Vid. Il. E. v. 333.

10) Ἄρτεμιν etc.] Non Εἰλείθυιαν innuit, quae saepius ab Homero memoratur et μογοστόκος dicitur Il. Π. v. 187. Il. T. v. 103., sed locum Homeri de Diana tangere videtur Iliad. Φ. v. 483. 484.:

— ἐπεί σε λέοντα γυναιξὶ
Ζεὺς θῆκε, καὶ ἐδωκε κατακτάμεν', ἥν κ' ἐθέλῃσθα.

Ubi vid. Eustath. ἐπειδὴ λοχεία ἡ Ἄρτεμις λέγεται καὶ ἔοικεῖ προίεσθαι τοκετοῦ. Inde Ἄρτεμις μογοστόκος dicitur Theocrit. Idyll. XXVII. v. 29. et Ἄρτεμις εἰλείθυια Orph. Hymn. I. v. 12.

11) Ἀφροδίτην] Vid. Iliad. E. v. 429.

12) ἀλλ' οὗτος μὲν — ἐς τὴν Τύχην] Macrob. Saturn. L. V. C. 16. *Fortunam Homerus nescire maluit et soli Deo, quem* Μοῖραν *vocat, omnia regenda committit, adeo ut hoc vocabulum* Τύχη *in nulla parte Homerici voluminis nominetur.*

13) πόλον] Vid. not. ad L. II. C. 10.

14) τὸ καλ. Ἀμαλθείας κέρας] De hoc locus classicus est in Diodor. Bibl. hist. L. IV. f. 35., ubi vid. Wesseling. Conf. Schol. ad Homer. Il. Φ. v. 194. et Heyne V. C. ad Apollodor. p. 463.

τω ἐδήλωσε τῆς θεοῦ τὰ ἔργα. ἦσε δὲ καὶ ὕστερον Πίνδαρος [15]) ἄλλα τε ἐς τὴν Τύχην, καὶ δὴ καὶ Φερέπολιν ἀνεκάλεσεν αὐτήν.

CAPUT XXXI.

De Apollinis luco Carnio — urbe Thuriatarum — vico Calamae, loco Limnae dicto ac fontibus Pamisi fluvii — urbe Messeniorum sub Ithome sita — Messenes muri cum aliarum urbium muris comparati, aliaque memoranda — de Laphriae Dianae cultu et Diana Ephesia — Curetum aede — signis memorandis in Aesculapii templo — Messenes templo et picturis in eo.

Ὀλίγον δὲ ἀπωτέρω Φαρῶν Ἀπόλλωνος ἄλσος ἐστὶ Κάρνιον [1]), καὶ ὕδατος ἐν αὐτῷ πηγή. θαλάσσης [2]) δὲ ἔξ που σταδία ἀπέχουσιν αἱ Φαραί. Ἐντεῦθεν 2 πρὸς μεσόγαιαν τῆς Μεσσηνίας σταδίους προελθόντι ὀγδοήκοντά ἐστιν ἡ Θουριατῶν πόλις. Ἄνθειαν δὲ αὐτὴν ἐν τοῖς ἔπεσιν ὠνομάσθαι τοῖς Ὁμήρου [3]) λέγουσι. Λακεδαιμονίοις δὲ ἔχειν τοῖς ἐν Σπάρτῃ τὴν Θουρίαν ἔδωκεν Αὔγουστος. Αὐγούστῳ γὰρ βασιλεύοντι Ῥωμαίων ἐπολέμησεν Ἀντώνιος, γένει καὶ οὗτος Ῥωμαῖος· καὶ οἱ τῶν ἐν τῇ Ἑλλάδι ἄλλοι τε καὶ οἱ

15) ἦσε — Πίνδαρος etc.] Vid. Carmin. Pindaric. Fragm. a Schneidero V. C. edita p. 82. LXXVII.

1) Κάρνιον] De Apolline Καρνείῳ vid. supra L. III. C 13. ἄλσος Καρνάσιον memoratur infra C. 33.

2) θαλάσσης] Genitivum reposui pro dativo vulgato, qui a constructione prorsus abhorrebat.

3) ὠνομάσθαι τοῖς Ὁμήρου] Cod. Mosc. ὠνομασθῆναι. Locus Homeri est Il. I. v 151. Conf. Strab. L. VIII. p. 553.

Μεσσήνιοι [4]) προσέθεντο, ὅτι ἐφρόνουν Λακεδαιμόνιοι τὰ Αὐγούστου. καὶ ὁ μὲν τούτων ἕνεκα Μεσσηνίοις καὶ τῶν ἄλλων τῶν ἀντιταξαμένων τοῖς μὲν αὐτῶν ἔλαττον, τοῖς δὲ καὶ ἐς πλέον ἐπεζήλθε. Θουριάται δὲ ἐκ τῆς πόλεως ἐν μετεώρῳ τὸ ἀρχαῖον οἰκουμένης ἐς τὸ πεδίον κατελθόντες οἰκοῦσι· οὐ μὴν παντάπασί γε οὐδὲ τὴν ἄνω πόλιν ἐκλελοίπασιν, ἀλλὰ καὶ τείχους ἐρείπια, καὶ ἱερόν ἐστιν αὐτόθι ὀνομαζόμενον θεοῦ Συρίας. τὴν δὲ ἐν τῷ πεδίῳ πόλιν ποταμὸς καλούμενος
3 Ἄρις παρέξεισιν. Ἔστι δὲ ἐν τῇ μεσογαίῳ κώμῃ Καλάμαι καὶ Λίμναι χωρίον· ἐν δὲ αὐτῷ Λιμνάτιδος ἱερόν [5]) ἐστιν Ἀρτέμιδος, ἔνθα Τηλέκλῳ βασιλεύοντι ἐν Σπάρτῃ τὴν τελευτὴν συμβῆναι λέγουσιν. ἰόντι δὲ ἐκ Θουρίας ὡς ἐπὶ Ἀρκαδίας, εἰσὶν αἱ πηγαὶ τοῦ Παμίσου· καὶ ἐπ' αὐταῖς παισὶ μικροῖς ἀκέσματα γίνε-
4 ται. Ἰοῦσι δὲ ἀπὸ τῶν πηγῶν ἐν ἀριστερᾷ καὶ προελθόντι ὡς τεσσαράκοντα σάδιά [6]) ἐστι Μεσσηνίοις ἡ ὑπὸ τῇ Ἰθώμῃ πόλις· περιέχεται δὲ οὐ τῇ Ἰθώμῃ μόνον, ἀλλὰ καὶ ἐπὶ τὸν Πάμισον τὰ τετραμμένα ὑπὸ τῆς Εὔαν [7]). τὸ δὲ ὄνομα γενέσθαι τῷ ὄρει φασὶ Βακχικόν τι ἐπίφθεγμα Εὐοῖ, Διονύσου πρῶτον ἐνταῦθα αὐτοῦ τε εἰπόντος καὶ τῶν ὁμοῦ Διονύσῳ γυναικῶν.

4) οἱ Μεσσήνιοι] Post Μεσσήνιοι male editum fuit οἱ, quod Cod. Mosc. auctoritate delevi.

5) Λιμνάτιδος ἱερόν etc.] Vid. supra L. III. C. 2.

6) τεσσαράκοντα σάδιά] Discrepat Strabo L. VIII. p 554., qui CCL. stad. a flumine abesse dicit; vid. ibi Palmerii not.

7) περιέχεται — τῆς Εὔαν] Cod. Mosc. post Πάμισον omittit τά. *Kuhn.* ista turbata et leviter corrupta esse putavit; sed nihil mutandum et sic interpretandum est: (*urbs*) *non solum monte Ithome circumdatur, sed illa etiam urbis pars, quae ad Pamisum excurrit, a monte Evan* (*cingitur*). Montium nomina articulo feminino juncta interdum reperiuntur; sic supra saepius ἡ Εἶρα.

κῶν. Περὶ δὲ τὴν Μεσσήνην τεῖχος, κύκλος [8]) μὲν 5
πᾶς λίθου πεποίηται, πύργοι δὲ καὶ ἐπάλξεις εἰσὶν
ἐνῳκοδομημένοι [9]). τὰ μὲν οὖν Βαβυλωνίων ἢ τὰ Με-
μνόνεια τὰ ἐν Σούσοις τείχη τοῖς Περσικοῖς οὔτε εἶ-
δον, οὔτε ἄλλων περὶ αὐτῶν ἤκουσα αὐτοπτούντων·
τὰ δὲ ἐν Ἀμβρύσῳ [10]) τῇ Φωκικῇ, ἔν τε Βυζαντίῳ καὶ
Ῥόδῳ (ταῦτα γὰρ δὴ τετειχισμένα [11]) δοκεῖ τὰ
χωρία ἄρισα), τούτων Μεσσηνίοις ἐσὶν ἐχυρώτερον.
Μεσσηνίοις δὲ ἐν τῇ ἀγορᾷ Διός ἐσιν ἄγαλμα σω-
τῆρος, καὶ Ἀρσινόη κρήνη. τὸ μὲν δὴ ὄνομα ἀπὸ
τῆς Λευκίππου θυγατρὸς εἴληφεν, ὑπορρεῖ δὲ ἐς αὐ-
τὴν ὕδωρ ἐκ πηγῆς καλουμένης Κλεψύδρας. Θεῶν δὲ
ἱερὰ Ποσειδῶνος, τὸ δὲ Ἀφροδίτης ἐσί. καὶ οὗ μά-
λισα ἄξιον ποιήσασθαι μνήμην, ἄγαλμα Μητρὸς
θεῶν, λίθου Παρίου, Δαμοφῶντος δὲ ἔργον, ὃς καὶ
τὸν Δία ἐν Ὀλυμπίᾳ, διεσηκότος [12]) ἤδη τοῦ ἐλέφαν-
τος, συνήρμοσεν ἐς τὸ ἀκριβέσατον· καί οἱ δεδομέναι
τιμαὶ παρὰ Ἠλείων εἰσίν. Δαμοφῶντος δέ ἐσι τού- 6
του καὶ ἡ Λαφρία καλουμένη [13]) παρὰ Μεσσηνίοις.
σέβεσθαι δὲ (φασὶν) [14]) ἀπὸ τοιοῦδε αὐτὴν καθέσηκε.

8) τεῖχος, κύκλος] Si post τεῖχος comma ponas, ferri potest haec lectio; magis tamen mihi arridet *Kuhnii* emendatio τείχους κύκλος. Conf. Hesych. v. κύκλος et κύκλους.

9) ἐνῳκοδομημένοι] Mallem ἐπῳκοδομημένοι.

10) Ἀμβρύσῳ] Hoc Xylander recte dedit pro Ἄμβροσος, quod etiam Cod. Mosc. habet. De Ambryso Phoc. vid. Paus. L. X. C. 36., ubi Ἄμβρυσσος legitur, Strab. ac Stephan.

11) τετειχισμένα] Cod. Mosc. τετείχισαι. Sic δοκεῖ in parenthesi positum esset, uti interdum et paulo infra, σέβεσθαι δὲ (φασὶν) ἀπὸ etc.

12) ἐν Ὀλυμπίᾳ, διεσηκότος] Cum *Amas.*, *Camer.* et *Sylb.* sic scripsi pro mendose vulgatis: ἐν Ὀλυμπιάδι ἑσηκότος.

13) Λαφρία καλ.] De hac vid. L. VII. C. 18., Anton. Liber. C. 40., Suid. et Meurs. Graec. fer.

14) (φασὶν)] *Sylb.* ingeniose con-

Καλυδωνίοις ἡ Ἄρτεμις (ταύτην γὰρ θεῶν μάλιστα ἔσεβον) ἐπίκλησιν εἶχε Λαφρία. Μεσσηνίων δὲ οἱ λαβόντες Ναύπακτον παρὰ Ἀθηναίων (τηνικαῦτα γὰρ Αἰτωλίας ἐγγύτατα ᾤκουν) παρὰ Καλυδωνίων ἔλαβον [15]). τὸ μὲν δὴ τῆς Λαφρίας ἀφίκετο ὄνομα ἔς τε Μεσσηνίους καὶ ἐς Πατρεῖς Ἀχαιῶν μόνους. Ἔφεσίαν δὲ Ἄρτεμιν πόλεις τε ὀνομάζουσιν αἱ πᾶσαι, καὶ ἄνδρες ἰδίᾳ θεῶν μάλιστα ἄγουσιν ἐν τιμῇ. τὰ δὲ αἴτια (ἐμοὶ δοκεῖν) ἐστὶν Ἀμαζόνων τε κλέος, αἳ φήμην τὸ ἄγαλμα ἔχουσιν ἱδρύσασθαι, καὶ ὅτι ἐκ παλαιοτάτου τὸ ἱερὸν τοῦτο ἐποιήθη. τρία δὲ ἄλλα ἐπὶ τούτοις συνετέλεσεν ἐς δόξαν· μέγεθός τε τοῦ ναοῦ, τὰ παρὰ πᾶσιν ἀνθρώποις κατασκευάσματα ὑπερηρκότος, καὶ Ἐφεσίων τῆς πόλεως ἡ ἀκμὴ, καὶ
7 ἐν αὐτῇ τὸ ἐπιφανὲς τῆς θεοῦ. Πεποίηται δὲ καὶ Εἰλειθυίας Μεσσηνίοις ναὸς καὶ ἄγαλμα λίθου. πλησίον δὲ Κουρήτων μέγαρον, ἔνθα ζῶα τὰ πάντα ὁμοίως καθαγίζουσιν. ἀρξάμενοι γὰρ ἀπὸ βοῶν τε καὶ αἰγῶν, καταβαίνουσιν ἐς τοὺς ὄρνιθας, ἀφιέντες ἐς τὴν φλόγα. καὶ Δήμητρος ἱερὸν Μεσσηνίοις ἐστὶν ἄγιον· καὶ Διοσκούρων ἀγάλματα φέροντες τὰς Λευκίππου. καί μοι καὶ ταῦτα ἐν τοῖς προτέροις ἐστὶν ἤδη δεδηλωμένα [16]), ὡς οἱ Μεσσήνιοι τοὺς Τυνδάρεω παῖδας ἀμφισβητοῦσιν αὐτοῖς καὶ οὐ Λακεδαιμονίοις προσή-

conjicit σφισιν. Saepius enim hae voces in Libris scriptis inveniuntur permutatae; vid. not. ad C. 32.

15) παρὰ Καλυδωνίων ἔλαβον.] Haec verba in Cod. Mosc. librarius oscitanter omisit, alia tamen exhibet, quae excidisse et huc pertinere videntur: τὸ σχῆμα ἑτέρωθι δηλώσω. Pausan. enim L. VII. C. 18. Laphriae habitum describit his verbis: τὸ μὲν δὴ σχῆμα τοῦ ἀγάλματος θηρεύουσά ἐστιν etc.

16) ἐν τοῖς προτέροις ἐστὶν ἤδη δεδηλ.] Vid. L. III. C. 26.

προσήκειν. Πλεῖστα δὲ σφισι καὶ θέας μάλιστα ἀ- 8
γάλματα ἄξια τοῦ Ἀσκληπιοῦ παρέχεται τὸ ἱερόν. χωρὶς μὲν γὰρ τοῦ θεοῦ καὶ τῶν παίδων ἐστὶν ἀγάλματα, χωρὶς δὲ Ἀπόλλωνος καὶ Μουσῶν καὶ Ἡρακλέους, πόλις τε ἡ Θηβαίων καὶ Ἐπαμεινώνδας ὁ Πολύμνιδος [17]), Τύχη τε καὶ Ἄρτεμις Φωσφόρος [18]). τὰ μὲν δὴ τοῦ λίθου Δαμοφῶντος, ὃς εἰργάσατο [19]). Μεσσήνιον δὲ, ὅτι μὴ τοῦτον, ἄλλον γε οὐδένα λόγου ποιήσαντα ἀξίως οἶδα ἀγάλματα. ἡ δὲ εἰκὼν τοῦ Ἐπαμεινώνδου ἐκ σιδήρου τέ ἐστι, καὶ ἔργον ἄλλου, οὐ τούτου. Ἔστι δὲ καὶ Μεσσήνης τῆς Τριόπα ναὸς καὶ 9
ἄγαλμα χρυσοῦ καὶ λίθου Παρίου. γραφαὶ δὲ κατὰ τοῦ ναοῦ τὸ ὄπισθεν οἱ βασιλεύσαντες εἰσι Μεσσήνης, πρὶν μὲν ἢ ὅλον ἀφικέσθαι τῶν Δωριέων ἐς Πελοπόννησον, Ἀφαρεὺς καὶ οἱ παῖδες. κατελθόντων δὲ Ἡρακλειδῶν Κρεσφόντης ἐστὶν, ἡγεμὼν καὶ οὗτος τοῦ Δωρικοῦ. τῶν δὲ οἰκησάντων ἐν Πύλῳ, Νέστωρ, καὶ Θρασυμήδης, καὶ Ἀντίλοχος, προτετιμημένοι παίδων τῶν Νέστορος ἡλικίᾳ, καὶ ἐπὶ Τροίαν μετεσχηκότες τῆς στρατείας. Λεύκιππός τε Ἀφαρέως ἀδελφὸς, καὶ Ἱλάειρά ἐστι καὶ Φοίβη, σὺν δὲ σφισιν Ἀρσινόη. γέ-

γραπται

17) Πολύμνιδος] In Ald. et Cod. Mosc. est Κλεόμμιδος, quod *Camerar.* recte cum Πολύμνιδος mutavit; sic enim L. VIII. C. 52., L. IX. C. 12. in fine et apud Ael. V. H. L. III. C. 17. De variante hoc patris Epaminondae nomine pluribus egerunt *Kuhn.* et *Perizon.* ad Ael. Var. Hist. L. II. C. 43.

18) Ἄρτεμις φωσφόρος] *Luna*, *Hecate*, quae facem gerens in artis monumentis expressa est; vid. *Meyer* de Diis et Deabus δαδούχοις p. 11. sq.

19) Δαμοφῶντος, ὃς εἰργάσατο] Sic rescripsi ex Cod. Mosc. pro vulgatis Δημοφῶντος, ὃς εἴργασο. Artificis nomen in aliis etiam Pausaniae locis Δαμοφ. est, non Δημοφ. Vid. Indic. Mox pro Μεσσήνιον mallem Μεσσηνίων cum *Amasaeo*, qui vertit e *Messeniis*.

γραπται δὲ καὶ Ἀσκληπιὸς, Ἀρσινόης ὢν λόγῳ τῶν Μεσσηνίων [20]), καὶ Μαχάων καὶ Ποδαλείριος, ὅτι ἔργου τοῦ πρὸς Ἰλίῳ καὶ τούτοις μέτεσι. ταύτας τὰς γραφὰς ἐγραψεν Ὀμφαλίων Νικίου τοῦ Νικομήδους μαθητής· οἱ δὲ αὐτὸν καὶ δουλεῦσαι παρὰ τῷ Νικίᾳ, καὶ παιδικὰ γενέσθαι φασὶν αὐτοῦ.

CAPUT XXXII.

De signis Hierothysii ita dicti a Messeniis ac gymnasio et signis in eo — Aethida (heroë) a Messen. culto — Aristomenis sepulcro et sacris, quae ibi fiunt — Aristomene mortuo ad Leuctra pugnante — Thebanorum de Aristomenis clypeo narratio.

Τὸ δὲ ὀνομαζόμενον παρὰ Μεσσηνίων Ἱεροθύσιον ἔχει μὲν θεῶν ἀγάλματα, ὁπόσους νομίζουσιν Ἕλληνες, ἔχει δὲ χαλκῆν εἰκόνα Ἐπαιμεινώνδου. κεῖνται δὲ καὶ ἀρχαῖοι τρίποδες· ἀπύρους αὐτοὺς καλεῖ Ὅμηρος [1]). τὰ δὲ ἀγάλματα ἐν τῷ γυμνασίῳ ποιήματά ἐστιν ἀνδρῶν Αἰγυπτίων, Ἑρμῆς καὶ Ἡρακλῆς τε καὶ Θησεύς. τούτους μὲν δὴ τοῖς πᾶσιν Ἕλλησι καὶ ἤδη τῶν βαρβάρων πολλοῖς [2]) περί τε γυμνάσια [3]) καὶ ἐν παλαίσραις

20) λόγῳ τῶν Μεσσ.] Cod. Mosc. λόγῳ τῷ Μεσσ.

1) ἀπύρους αὐτ. καλ. Ὅμηρος] Hom. Il. I. v. 122. ἑπτ' ἀπύρους τρίποδας, ubi schol. τοὺς μὴ εἰς πῦρ χρησίμους, ἀλλ' ἀναθεματικοὺς καινουργεῖς, τοὺς κόσμου χάριν τιθεμένους ἐν τῷ οἴκῳ. Eadem fere habet Hesych., ubi vid. not. ἄπυροι τρίποδες ii quoque dicebantur, *in quibus vinum temperabatur*; ἐμπυρίβητοι autem ii appellati fuere, *qui igni admovebantur*. De utroque genere vid. Athen. Deipn. L. II. C. 2. p. 37. 38.

2) πολλοῖς] Pro πολλοὺς dedi ex Cod. Mosc., cum omnes interpretes ita scribendum esse jam monuissent.

3) γυμνάσια] Ex Cod. Mosc. pro vulgata γυμνασίας, quam sic emendandam esse, jam ante notaveram.

στρατις καθέστηκεν ἔχειν ἐν τιμῇ. Αἰθίδαν δὲ ἑαυτοῦ 2
πρεσβύτερον [4]) ὄντα εὕρισκον. γενομένῳ δέ οἱ χρήμασιν οὐκ ἀδυνάτῳ τιμαὶ παρὰ Μεσσηνίων ὑπάρχουσιν ἅτε ἥρωϊ. εἰσὶ δὲ τῶν Μεσσηνίων, οἳ τῷ Αἰθίδᾳ χρήματα μὲν γενέσθαι πολλὰ ἔλεγον, οὐ μέντοι τοῦτόν γε εἶναι τὸν ἐπειργασμένον τῇ σήλῃ, πρόγονον δὲ καὶ ὁμώνυμον ἄνδρα τῷ Αἰθίδᾳ. Αἰθίδαν δὲ τὸν πρότερον ἡγήσασθαι τοῖς Μεσσηνίοις φασὶν, ἡνίκα ἐν τῇ νυκτὶ Δημήτριός σφισιν [5]) ὁ Φιλίππου μηδαμῶς ἐλπίσασιν αὐτός τε καὶ ἡ στρατιὰ λανθάνουσιν ἐσελθόντες ἐς τὴν πόλιν. Καὶ Ἀρισομένους δὲ 3
μνῆμά ἐστιν ἐνταῦθα· οὐ κενὸν δὲ [6]) εἶναι τὸ μνῆμα λέγουσιν. ἀλλ' ἐρομένου μου τρόπον τε ὄντινα, καὶ ὁπόθεν Ἀρισομένους νομίσαιντο τὰ ὀστᾶ, μεταπέμψασθαι μὲν ἐκ Ῥόδου φασὶ, τὸν δὲ ἐν Δελφοῖς θεὸν τὸν κελεύσαντα εἶναι. πρός τε δὴ τούτοις ἐδίδασκόν με, ὁποῖα ἐπὶ τῷ τάφῳ δρῶσι. ταῦρον, ὄντινα ἐναγίζειν μέλλουσιν, ἀγαγόντες ἐπὶ τὸ μνῆμα, ἔδησαν πρὸς τὸν ἑστηκότα ἐπὶ τῷ τάφῳ κίονα· ὁ δὲ, ἅτε ἄγριος καὶ ἀήθης δεσμῶν, οὐκ ἐθέλει μένειν. θορυβουμένῳ δέ οἱ καὶ σκιρτῶντι, ἢν ὁ κίων κινηθῇ, Μεσσηνίοις ἐστὶν αἴσιον, οὐ κινηθέντος δὲ, ἀσύμφορα ἐπαγγέλλει τὸ

4) ἑαυτοῦ πρεσβύτερον] Jejune haec adjecta videntur, quum de prioribus, non de aequalibus Pausaniam loqui perspicuum sit: Forte post ἑαυτοῦ excidit οὐ, *hominem non natu majorem, quam ego.* Quam emendationem subsequentia suadent, et *Goldhagen* in vers. germ. jam in medium protulit.

5) σφισιν] Hoc *Sylburgio* monente dedi pro φασὶν, quod a contextu prorsus alienum erat.

6) οὐ κενὸν δὲ] Adposui οὐ, ex *Amasaei* interpretatione, *quod esse inane negant*, re ipsa particulam negativam hic flagitante; aliter enim, quae subsequuntur, prioribus repugnant. Conf. de Cleomenis sepulcro in insula Rhodo supra C. 24.

4 τὸ σημεῖον. Παραγενέσθαι δὲ Ἀριστομένη καὶ τῷ περὶ Λεῦκτρα ἀγῶνι ἐθέλουσιν, οὐ μετὰ ἀνθρώπων ἔτι ὄντα, καὶ ἀμῦναί τε αὐτόν φασι Θηβαίοις, καὶ μάλιστα γενέσθαι τοῦ ἀτυχήματος Λακεδαιμονίοις αἴτιον. ἐγὼ δὲ Χαλδαίους καὶ Ἰνδῶν τοὺς μάγους πρώτους οἶδα εἰπόντας, ὡς ἀθάνατός ἐστιν ἀνθρώπου ψυχή. καί σφισι καὶ Ἑλλήνων ἄλλοι τε ἐπείσθησαν, καὶ οὐχ ἥκιστα Πλάτων ὁ Ἀρίστωνος. εἰ δὲ ἀποδέχεσθαι καὶ οἱ πάντες [7]) ἐθελήσουσιν, ἐκεῖνό γε ἀντειπεῖν οὐκ ἔνεστι, μὴ οὐ [8]) τὸν πάντα αἰῶνα Ἀριστομένει
5 τὸ μῖσος τὸ ἐς Λακεδαιμονίους ἐνεσάχθαι. Ἃ δὲ αὐτὸς ἤκουσα ἐν Θήβαις, εἰκὸς μέν τι παρείχετο ἐς τὸν Μεσσηνίων λόγον, οὐ μὴν παντάπασί γέ ἐστιν αὐτοῖς ὡμολογηκότα. Φασὶ δὲ οἱ Θηβαῖοι μελλούσης τῆς μάχης ἔσεσθαί σφισιν ἐν Λεύκτροις, ἐς ἄλλα τε ἀποσεῖλαι χρηστήρια, καὶ ἐρησομένους τὸν ἐν Λεβαδείᾳ θεόν [9]). λέγεται μὲν οὖν καὶ τὰ παρὰ τοῦ Ἰσμηνίου [10]) καὶ τοῦ Πτῴου [11]), πρὸς δὲ τὰ ἐν Ἀβαῖς [12]) τε χρησθέντα καὶ τὰ ἐν Δελφοῖς. Τροφώνιον δέ φασιν εἰπεῖν ἑξαμέτρῳ·

Πρὶν

7) καὶ οἱ πάντες] Cum insolens dictio οἱ πάντες, tum sententiae nexus legendum suadet καὶ οὐ πάντες.

8) μὴ οὐ] Sic Camerar. scripsit pro καὶ οὐ. Interdum ἀντειπεῖν, ἀντιλέγειν est *contradicendo affirmare*, et infinitivo cum particulis negativis jungitur. Lucae XX. v. 27. οἱ ἀντιλέγοντες ἀνάστασιν μὴ εἶναι.

9) τὸν ἐν Λεβαδείᾳ θεόν] Trophonium, de quo plura vid. L. IX. C. 39. Cod. Mosc. exhibet Λεβαδίᾳ, uti et paullo infra.

10) τοῦ Ἰσμηνίου] sc. Apollinis, de quo vid. L. IX. C. 10.

11) τοῦ Πτῴου] scil. Apollinis, de quo vid. L. IX. C. 23.

12) ἐν Ἀβαῖς] Phocidis, ubi oraculum Apollinis fuit, de quo L. X. C. 35.

Πρὶν δορὶ [13]) συμβαλέειν ἐχθροῖς, σήσασθε τρόπαιον,
Ἀσπίδα κοσμήσαντες ἐμὴν, τὴν εἵσατο νηῷ
Θοῦρος Ἀριστομένης Μεσσήνιος. αὐτὰρ ἐγώ τοι
Ἀνδρῶν δυσμενέων φθίσω στρατὸν ἀσπισάων.

ἀφικομένου δὲ τοῦ χρησμοῦ, δεηθῆναι Ξενοκράτους [14]) λέγουσιν Ἐπαμεινώνδαν. ὁ δὲ τήν τε ἀσπίδα μεταπέμπεται τοῦ Ἀριστομένους, καὶ ἐκόσμησεν ἀπ' αὐτῆς τρόπαιον, ὅθεν τοῖς Λακεδαιμονίοις ἔσεσθαι σύνοπτον ἔμελλεν. ἦδεσαν δὲ ἄρα τὴν ἀσπίδα οἱ μὲν αὐτῶν ἐν Λεβαδείᾳ καθ' ἡσυχίαν ἑωρακότες, ἀκοῇ δὲ καὶ πάντες. ὡς δὲ ἐγένετο ἡ νίκη Θηβαίοις, ἀποδιδόασιν αὖθις τῷ Τροφωνίῳ τὸ ἀνάθημα. Ἀριστομένους δὲ καὶ χαλκοῦς ἀνδριάς ἐστιν ἐν τῷ Μεσσηνίων σταδίῳ. τοῦ θεάτρου δὲ οὐ πόρρῳ Σαράπιδός ἐστι καὶ Ἴσιδος ἱερόν.

13) δορὶ] Camer. δόρυ.

14) Ξενοκράτους] Hunc c Βοιωτάρχων numero fuisse, ex L. IX. C. 13. constat. De clypeo Aristomenis vid. supra C. 16.

CAPUT

CAPUT XXXIII.

De acropoli Messeniorum et fonte Clepsydra — Messeniis incunabula Jovis sibi vindicantibus, et Ithome ac Neda, nutricibus Jovis — signo et cultu Jovis Ithomatae — Mercurii signo Atticae formae, fluvio Balyra et Thamyride — campis Stenyclericis, luco Carnasio et signis in eo — reliquiis Andaniae et Electra ac Coeo fluviis — reliquiis urbis Dorii et Thamyridis calamitate.

1 Ἐς δὲ τὴν κορυφὴν ἐρχομένῳ τῆς Ἰθώμης, ὃ δὴ [1]) Μεσσηνίοις ἐστὶν ἀκρόπολις, πηγὴ Κλεψύδρα γίνεται. 2 Πάντας μὲν οὖν καταριθμήσασθαι καὶ προθυμηθέντι ἄπορον, ὁπόσοι θέλουσι γενέσθαι καὶ τραφῆναι παρὰ σφίσι Δία. μέτεστι δ' οὖν καὶ Μεσσηνίοις τοῦ λόγου· φασὶ γὰρ καὶ οὗτοι τραφῆναι παρὰ σφίσι τὸν θεὸν, Ἰθώμην δὲ εἶναι καὶ Νέδαν τὰς θρεψαμένας [2]), κεκλῆσθαι δὲ ἀπὸ μὲν τῆς Νέδας τὸν ποταμὸν, τὴν δὲ ἑτέραν τῷ ὄρει τὴν Ἰθώμην δεδωκέναι τὸ ὄνομα. ταύτας δὲ τὰς νύμφας τὸν Δία κλαπέντα ὑπὸ Κουρήτων διὰ τὸ ἐκ τοῦ πατρὸς δεῖμα ἐνταῦθα λοῦσαι λέγουσι, καὶ τὸ ὄνομα [3]) εἶναι τῷ ὕδατι ἀπὸ τῶν Κουρήτων τῆς κλοπῆς. Φέρουσί τε ἀνὰ πᾶσαν ἡμέραν ὕδωρ ἀπὸ τῆς πηγῆς ἐς τοῦ Διὸς τοῦ Ἰθωμάτα τὸ 3 ἱερόν. Τὸ δὲ ἄγαλμα τοῦ Διὸς Ἀγελάδα μέν ἐστιν ἔργον, ἐποιήθη δὲ ἐξ ἀρχῆς τοῖς οἰκήσασιν ἐν Ναυπάκτῳ

1) ὃ δὴ] *Amas.* οὗ vel οἷ legisse videtur. Sed amat interdum Pausanias cum Thucydide ex alio genere in neutrum transire, uti supra L. III. C. 17. init. τὸ μάλιστα εἰς μετέωρον ἀνῆκον ὀνομάζουσιν ἀκρόπολιν. De Thucydide Suidas: εἰώθεν μεταβαίνειν ἀπὸ τῶν θηλυκῶν εἰς οὐδέτερον.

2) Νέδαν τ. θρ.] Inter plures Nymphas, Jovis nutrices, Neda memoratur etiam L. VIII. C. 39. et 47.

3) τὸ ὄνομα etc.] scil. Κλεψύδρα.

πάντῳ Μεσσηνίων. ἱερεὺς δὲ αἱρετὸς κατὰ ἔτος ἕκαστον· ἔχει δὲ τὸ ἄγαλμα ἐπὶ τῆς οἰκίας. ἄγουσι δὲ καὶ ἑορτὴν ἐπέτειον Ἰθωμαῖα· τὸ δὲ ἀρχαῖον καὶ ἀγῶνα ἐτίθεσαν μουσικῆς. τεκμαίρεσθαι δ' ἔστιν ἄλλοις τε καὶ Εὐμήλου τοῖς ἔπεσιν. ἐποίησε γοῦν καὶ τάδε ἐν τῷ προσοδίῳ τῷ ἐς Δῆλον·

Τῷ γὰρ Ἰθωμάτᾳ καταθύμιος ἔπλετο μοῖσα,
Ἁ καθαρὰ καὶ ἐλεύθερα ἄσματ' [4]) ἔχουσα.

οὐκοῦν ποιῆσαί μοι δοκεῖ τὰ ἔπη, καὶ μουσικῆς ἀγῶνα ἐπισάμενος τιθέντας. Ἰόντι δὲ τὴν ἀπ' Ἀρκαδίας [5]) 4
ἐς Μεγάλην πόλιν ἐστὶν ἐν ταῖς πύλαις Ἑρμῆς, τέχνη τῆς Ἀττικῆς [6])· Ἀθηναίων γὰρ τὸ σχῆμα τὸ τετράγωνόν ἐστιν ἐπὶ ταῖς Ἑρμαῖς, καὶ παρὰ τούτων μεμαθήκασιν οἱ ἄλλοι. σταδίους δὲ καταβάντι ἀπὸ τῶν πυλῶν τριάκοντα, τὸ ῥεῦμά ἐστι τῆς Βαλύρας. γενέσθαι δὲ τὸ ὄνομα τῷ ποταμῷ λέγουσι, Θαμύριδος [7]) τὴν λύραν ἐνταῦθα ἀποβαλόντος ἐπὶ τῇ πηρώσει· παῖδα δὲ αὐτὸν Φιλάμμωνος καὶ Ἀργιόπης τῆς νύμφης εἶναι. τὴν δὲ Ἀργιόπην τέως μὲν περὶ τὸν Παρνασσὸν οἰκεῖν, ἐπεὶ δὲ εἶχεν ἐν γαστρὶ, ἐς Ὀδρύσας λέγουσι μετοικῆσαι· Φιλάμμωνα γὰρ οὐκ ἐθέλειν ἐς τὸν οἶκον αὐτὴν ἄγεσθαι. καὶ Θάμυριν μὲν Ὀδρύσην τε καὶ Θρᾷκα ἐπὶ τούτῳ καλοῦσιν. ἡ δὲ Λευκασία καὶ Ἀμφιτος συμβάλλουσιν ἐς τὸ αὐτὸ τὰ ῥεύματα.

Διαβάν-

4) ἄσματ'] Sic reſcripſi pro mendoſo σάματ'. Cod. Moſc. dat σάμβαλ', quae vox (σύμβαλα) ab Heſych. et Suid. per σάνδαλα, ὑποδήματα explicata huc non pertinet.

5) ἀπ' Ἀρκαδίας] Mallem cum *Amaſaeo* ſcribere ἐπ' Ἀρκαδίας.

6) τέχνη τ. Ἀττ.] Cum *Kuhnio* emendandum cenſeo τέχνης τ. Ἀττ.

7) Θαμύριδος etc.] Vid. de eo Apollod. L. I. C. 3. p. 9. et ibi Heyne V. C. p. 35. Conf. fin. hujus Capitis.

5 Διαβάντα [8]) δὲ τούτους, πεδίον ἐστὶν ὀνομαζόμενον Στενυκληρικόν· εἶναι δὲ ἥρωα Στενύκληρον λέγουσι. τοῦ πεδίου δέ ἐστιν ἀπαντικρὺ καλουμένη τὸ ἀρχαῖον Οἰχαλία, τὸ δὲ ἐφ' ἡμῶν Καρνάσιον ἄλσος, κυπαρίσσων μάλιστα πλῆρες. Θεῶν δὲ ἀγάλματα, Ἀπόλλωνός ἐστι Καρνείου, καὶ Ἑρμῆς Φέρων κριόν [9])· ἡ δὲ ἁγνὴ Κόρη, τῆς Δήμητρός ἐστιν ἐπίκλησις [10])· ὕδωρ δὲ ἄνεισιν ἐκ πηγῆς παρ' αὐτὸ ἄγαλμα [11]). τὰ δὲ ἐς τὰς θεὰς τὰς μεγάλας (δρῶσι γὰρ καὶ ταύταις ἐν Καρνασίῳ τὴν τελετὴν) ἀπόῤῥητα ἔστω μοι· δεύτερα γάρ σφισι νέμω σεμνότητος μετά γε Ἐλευσίνια. ὅτι δ' ὑδρία [12]) τε ἡ χαλκῆ τὸ εὕρημα τοῦ Ἀργείου στρατηγοῦ, καὶ Εὐρύτου τοῦ Μελανέως τὰ ὀστᾶ ἐφυλάσσετο ἐνταῦθα, δηλῶσαί με καὶ ἐς ἅπαντας οὐκ ἀπεῖργε τὸ ὄνειρον. ῥεῖ δὲ ποταμὸς παρὰ τὸ Καρνάσιον Χάρα-
6 δρος. Καὶ προελθόντι ἐν ἀριστερᾷ σταδίους ὀκτὼ μάλιστα, ἐρείπιά ἐστιν Ἀνδανίας. καὶ ὅτι μὲν τῇ πόλει τὸ ὄνομα ἀπὸ γυναικὸς γέγονεν Ἀνδανίας, ὁμολογεῖται

8) Διαβάντα] Scribendum esse Διαβάντι, mihi dubium non est; rarior enim vel nullus est in Pausania accusativus sic absolute positus, frequentissimus autem dativus. Conf not. ad L. I. C. 9. ἀνεξετάζοντι et ad L. V. C. 23. init.

9) Ἑρμῆς φέρων κριόν] Inde Κριοφόρος dictus L IX. C. 22. init., ubi cognominis ratio memoratur.

10) ἡ δὲ ἁγνὴ Κόρη, τῆς Δ. ἐστιν ἐπικλ.] Sylb. *At casta puella Cereris filiae cognomentum est.* Sed τῆς Δήμητρος pro τῆς θυγατρὸς τῆς Δήμητρος nimis ambigue mihi dictum esse videtur. Ita potius interpungendum et scribendum esse putarem: ἡ δὲ Ἁγνὴ, Κόρης τῆς Δήμητρός ἐστιν ἐπίκλησις. Conf. Hesych. v. ἁγνή.

11) παρ' αὐτὸ ἄγαλμα] Mallem, ut alibi, παρ' αὐτὸ τὸ ἄγαλμα.

12) ὑδρία etc.] Ex Cod. M. pro vulgata minus usitata ὑδρεία. Ista vero *Amas.* male interpretatus est, ac si Euryti ossa in hac urna servata fuissent. Tangitur enim hydria ab Epitele, Argivorum duce, reperta, de qua supra C. 26.

ται ὑπὸ τῶν ἐξηγητῶν· οὐ μὴν τά γε ἐς τοὺς γονέας αὐτῆς, οὐδὲ τῷ συνῴκησεν, ἔχω λέγειν. ἰόντων δὲ ὡς ἐπὶ Κυπαρισσιὰς [13]) ἀπὸ Ἀνδανίας, Πολίχνη τέ ἐστι καλουμένη [14]), καὶ ποταμὸς Ἠλέκτρα καὶ Κοῖος ῥέουσι. τάχα δ' ἄν τινα καὶ λόγον ἐς Ἠλέκτραν τὴν Ἄτλαντος λέγοιεν καὶ ἐς Κοῖον τὸν Λητοῦς πατέρα· ἢ καὶ τῶν ἐπιχωρίων ἡρώων εἶεν Ἠλέκτρα τε καὶ Κοῖος [15]). Διαβάντων δὲ Ἠλέκτραν, Ἀχαΐα τε ὀνομαζομένη πηγὴ 7 πόλεώς [16]) ἐστιν ἐρείπια Δωρίου. πεποίηκε δὲ Ὅμηρος [17]) μὲν Θαμύριδι ἐνταῦθα ἐν τῷ Δωρίῳ γενέσθαι τὴν συμφοράν, ὅτι καὶ αὐτὰς Μούσας νικήσειν ἔφασκεν ᾀδούσας. Πρόδικος δὲ Φωκαεὺς (εἰ δὴ τούτου τὰ ἐς τὴν Μινυάδα [18]) ἔπη) προσκεῖσθαί φησι Θαμύριδι ἐν ᾄδου δίκην τοῦ ἐς τὰς Μούσας αὐχήματος. διεφθάρη δὲ ὁ Θάμυρις (ἐμοὶ δοκεῖν) ὑπὸ νόσου τοὺς ὀφθαλμούς. τὸ δὲ αὐτὸ καὶ Ὁμήρῳ συνέπεσεν ὕστερον. ἀλλ' ὁ μὲν καὶ ἐς ἅπαν διετέλει ποιῶν· οὐ γάρ τι εἶκε τῇ συμφορᾷ· Θάμυρις δὲ καὶ τὴν ᾠδὴν ὑπὸ κακοῦ τοῦ παρόντος ἐξέλιπεν.

13) Κυπαρισσιὰς] Variat hujus nominis forma. In Strab. L. VIII. p. 551. est ἡ Κυπαρισσία ἡ Μεσσηνιακὴ, in Stephano Κυπαρισσήεις πόλις τῆς Μεσσηνίας, in aliis Κυπάρισσος. Similiter Θεσπία et Θεσπιαὶ, Πλάταια et Πλαταιαί etc.

14) Πολίχνη τέ ἐστι καλουμ.] Nec cum *Amasaeo* ad Electram hoc est referendum, nec cum *Kuhnio* ad Cyparissias, sed Πολίχνη est nomen proprium urbis. Cod. Mosc. exhibet πολύσχνη, cui adscriptum est πόλις.

15) Κοῖος etc.] Vid. Apollod. p. 5. et ibi Heyne V. C. p. 21.

16) πηγὴ πόλεώς] Inter has duas voces καὶ excidisse et scribendum esse πηγὴ καὶ πόλεώς, luce clarius patet.

17) Ὅμηρος etc.] Vid. Il. B. v. 594. sq.

18) Μινυάδα] Aliquoties hoc carmen a Pausania laudatur (vid. Indic.), et de rebus inferis in eo agi, L. X. C. 18. in fine memoratur. Prodicus Ceïus ex Diog. Laërt., Suida et aliis satis notus est; de Prodico autem Phocaënsi praeter Pausaniam alii silent.

CAPUT XXXIV.

De Pamiſo fluvio et piſcibus animalibusque variis fluviis peculiaribus — urbe Corone, agro Inus ſacro, Biante fluv. et Plataneti fonte — urbis Corones denominatione et memorandis — de priſco Apollinis Corynthi templo ad mare — oppido Colonides dicto — Aſinaeis et Dryopibus — Aſine urbe et aliis locis.

Ἐκ δὲ Μεσσήνης ὑπὸ τοῦ Παμίσου τὸ ῥόμα ὁδὸς μὲν σταδίων ἐστὶν ὀγδοήκοντα. ῥεῖ δὲ ὁ Πάμισος διά τε ἀρουμένης καὶ καθαρὸς, καὶ ἀναπλεῖται ναυσὶν ἐκ θαλάσσης ἐπὶ δέκα που σταδίους. ἀναθέουσι δὲ ἐς αὐτὸν καὶ οἱ θαλάσσιοι τῶν ἰχθύων, περὶ ὥραν μάλιστα τοῦ ἦρος. τὸ δὲ αὐτὸ ἐς Ῥηνόν τε καὶ ἐς τὸν Μαίανδρον ποιοῦσιν οἱ ἰχθῦς· μάλιστα δὲ ἀνὰ τὸ ῥεῦμα τὸ Ἀχελῴου νήχονται, τοῦ ἐκδιδόντος κατὰ νήσους τὰς Ἐχινάδας. διάφοροι δὲ τὸ εἶδος μάλιστα ἰχθῦς ἀναθέουσιν ἐς τὸν Πάμισον, ἅτε ἐς ὕδωρ καθαρὸν, καὶ οὐ κατὰ αὐτὰ τοῖς κατειλεγμένοις ποταμοῖς ἰλυώδεσιν. οἱ κέφαλοι [1]) δὲ, ἅτε ἰχθύων ὄντες τῶν πηλαίων, ποταμῶν φίλοι τῶν θολερωτέρων εἰσί. θηρία δὲ ἐς ὄλεθρον ἀνθρώπων οὐ πεφύκασιν οἱ Ἑλλήνων ποταμοὶ φέρειν, καθάπερ γε Ἰνδὸς καὶ Νεῖλος ὁ Αἰγύπτιος, ἔτι Ῥῆνος [2]) καὶ Ἴστρος, Εὐφράτης τε καὶ Φάσις. οὗτοι γὰρ δὴ θηρία ὅμοια τοῖς μάλιστα ἀνδροφάγα [3]) αὔξουσιν, ταῖς ἐν Ἕρμῳ καὶ

1) οἱ κέφαλοι] *mugiles*. De quo piſcium genere vid. Ariſtot. de Nat. Anim. L. VIII. C. 5., Athen. Deipn. L. VII. p. 306. 307. et Plin. H. N. L. IX. C. 16. Mox pro πηλαίων forte aliquis malit uſitatius verbum πηλίνων.

2) ἔτι Ῥῆνος] Cod. Moſc. ἔτι δὲ Ῥῆνος.

3) θηρία ὅμοια τοῖς μάλιστα ἀνδροφάγα] Plenius: θηρία ἀνδροφάγα τοῖς μάλιστα (ἀνδροφάγοις) ὅμ. Quare nihil mutandum cum *Kuhnio*, qui ἀνδροφάγοις ſcriben-

καὶ Μαιάνδρῳ γλανίσιν [4]) ἐοικότα ἰδέας, πλὴν χρόας τε μελαντέρας καὶ ἀλκῆς· ταῦτα δὲ αἱ γλάνεις ἀποδέουσιν. ὁ δὲ Ἰνδὸς καὶ ὁ Νεῖλος κροκοδείλους μὲν ἀμφότεροι, Νεῖλος δὲ παρέχεται καὶ ἵππους, οὐκ ἔλασσον ἢ ὁ κροκόδειλος κακὸν ἀνθρώποις. τοῖς δὲ Ἑλλήνων ποταμοῖς δείματα ὡς ἀπὸ [5]) θηρίων εἰσὶν οὐδένα· ἐπεὶ καὶ Λώῳ [6]) τῷ διὰ τῆς Θεσπρωτίδος ῥέοντι ἠπείρου θηρία, οὐ ποτάμια, οἱ κύνες, ἀλλὰ ἐπήλυδές εἰσιν ἐκ θαλάττης. Κορώνη δέ ἐστι πόλις ἐν 2
δεξιᾷ τοῦ Παμίσου, πρὸς θαλάσσῃ τε καὶ ὑπὸ τῷ ὄρει Τημαθίᾳ. κατὰ δὲ τὴν ὁδὸν ταύτην ἐστὶν ἐπὶ θαλάσσῃ χωρίον, καὶ Ἰνοῦς ἱερὸν εἶναι νομίζουσιν. ἐπαναβῆναι γὰρ ἐνταῦθα ἐκ θαλάσσης φασὶν αὐτὴν, θεόν τε ἤδη νομιζομένην, καὶ Λευκοθέαν καλουμένην ἀντὶ Ἰνοῦς. προελθόντων δὲ οὐ πολὺ, Βίας ἐκδίδωσιν ἐς θάλασσαν ποταμός· γενέσθαι δὲ αὐτῷ λέγουσι τὸ ὄνομα ἀπὸ Βίαντος τοῦ Ἀμυθάονος. καὶ Πλατανισῶνος δὲ ἡ πηγὴ σάδια μὲν εἴκοσίν ἐστιν ἀπωτέρω τῆς ὁδοῦ· ῥεῖ δὲ ἐκ πλατάνου τὸ ὕδωρ πλατείας καὶ τὰ ἐντὸς κοίλης· κατὰ σπήλαιον μάλιστά που μικρὸν, τὸ εὐρός ἐστι τοῦ δένδρου [7]), καὶ τὸ ὕδωρ αὐτόθεν ἐς

scribendum censet pro ἀνδροφάγα.

4) γλανίσιν] De his piscibus vid. not. ad Hesych. v. γλανίς.

5) ὡς ἀπὸ] Forte ὅσα ἀπό.

6) Λώῳ] Cod. Mosc. Λῶοι. Amas. *Acheloo*; at inter tres Acheloos, quos Paus. L. VIII. C. 38. in fine recenset, nullus est in Thesprotide. In Ptolemaeo L. III. est Λώου ποταμοῦ ἐκβολαί. Palmer. Exerc. p. 391. in Pausania emendandum putat Ἀώῳ, de quo fluvio vid. Strab. L. VII. p. 486. et ibi Casaub., et not. ad Hesych. v. Ἄωοι.

7) ῥεῖ δὲ — τὸ εὐρός ἐστι τοῦ δένδρου] Haec, uti in vulgatis male interpuncta erant, sibi invicem repugnabant, scil. πλατάνου — πλατείας, et μικρὸν τὸ εὐρός ἐστι τοῦ δένδρου. Recta verborum distinctione ista explanasse mihi videor.

3 Κορώνην τὸ πότιμον κάτεισι. Τὸ μὲν δὴ ὄνομα τὸ ἀρχαῖον εἶχεν Αἴπεια [8]· ἐπεὶ δὲ ὑπὸ Θηβαίων κατήχθησαν ἐς Πελοπόννησον, Ἐπιμηλίδην Φασὶν ἀποσαλέντα οἰκιστὴν καλέσαι Κορώνειαν· εἶναι γὰρ αὐτὸν ἐκ Κορωνείας τῆς Βοιωτῶν· τοὺς δὲ Μεσσηνίους ἐξαρχῆς τε οὐ κατορθοῦν περὶ τὸ ὄνομα, καὶ μᾶλλον ἔτι ἀνὰ χρόνον ἐκνικῆσαι τὸ ἐκείνων ἁμάρτημα [9]). λέγεται δὲ καὶ ἕτερος λόγος, ὡς τοῦ τείχους τὰ θεμέλια ὀρύσσοντες ἐπιτύχοιεν κορώνῃ χαλκῇ. Θεῶν δέ ἐσιν ἐνταῦθα Ἀρτέμιδός τε καλουμένης παιδοτρόφου, καὶ Διονύσου, καὶ Ἀσκληπιοῦ ναός. τῷ μὲν δὴ Ἀσκληπιῷ καὶ Διονύσῳ λίθου, Διὸς δὲ σωτῆρος χαλκοῦν ἄγαλμα ἐπὶ τῆς ἀγορᾶς πεποίηται. χαλκοῦν δὲ καὶ ἐν ἀκροπόλει τῆς Ἀθηνᾶς τὸ ἄγαλμά ἐσιν ἐν ὑπαίθρῳ, κορώνην ἐν τῇ χειρὶ ἔχουσα. εἶδον δὲ καὶ τοῦ Ἐπιμηλίδου μνῆμα. ἐφ' ὅτῳ δὲ τὸν λιμένα Ἀχαιῶν καλοῦ-
4 σιν, οὐκ οἶδα. Ἐκ Κορώνης δὲ ὡς ὀγδοήκοντα σαδίους προελθόντι, Ἀπόλλωνός ἐσιν ἱερὸν πρὸς θαλάσσῃ τιμὰς ἔχον· ἀρχαιότατόν τε γὰρ λόγῳ τῷ Μεσσηνίων ἐσὶ, καὶ νοσήματα ὁ θεὸς ἰᾶται· Κόρυνθον δὲ Ἀπόλλωνα ὀνομάζουσι. τοῦτο μὲν δὴ ξόανον, τοῦ Ἀργέω τὸ δὲ [10]) χαλκοῦν ἐσι τὸ ἄγαλμα· ἀναθεῖναι δέ φασι
5 τοὺς ἐν τῇ Ἀργοῖ πλεύσαντας. Τῇ Κορωναίων δὲ πόλει ἐσὶν ὅμορος Κολωνίδες. οἱ δὲ ἐνταῦθα οὐ Μεσσήνιοί Φασιν εἶναι, ἀλλὰ ἐκ τῆς Ἀττικῆς ἀγαγεῖν σφᾶς Κόλαι-

8) Αἴπεια] Dissentit ab hoc et Cap. 35. init. Strabo L. VIII. p. 553, qui Methonen ita dictam perhiberi refert, Coronen autem Pedasum.

9) ἐκνικῆσαι τὸ ἐκ. ἁμάρτημα] scil. Κορώνειαν appellantium Κορώνην.

10) τοῦ Ἀργέω τὸ δὲ] Pro τὸ δὲ τοῦ Ἀργέω, sc. Apollinis; minime autem cum *Sylb.* et *Kuhnio* ita emendare necesse est. Pro Ἀργέω *Sylb.* mavult Ἀργώου.

Κόλαινον λέγουσι, Κολαίνῳ δὲ κόρυδον τὴν ὄρνιθα ἐκ μαντεύματος ἐς τὴν ἀποικίαν ἡγήσασθαι. ἔμελλον δὲ ἄρα διάλεκτόν τε ἀνὰ χρόνον καὶ ἔθη μεταμαθήσεσθαι τὰ Δωριέων. κεῖται δὲ τὸ πόλισμα αἱ Κολωνίδες ἐπὶ ὑψηλοῦ, μικρὸν ἀπὸ θαλάσσης. Ἀσιναῖοι δὲ τὸ μὲν ἐξαρχῆς Λυκωρίταις [11]) ὅμοροι περὶ τὸν Παρνασσὸν ᾤκουν. ὄνομα δὲ ἦν αὐτοῖς, ὃ δὴ καὶ ἐς Πελοπόννησον διεσώσαντο, ἀπὸ τοῦ οἰκιστοῦ Δρύοπες [12]). γενεᾷ δὲ ὕστερον τρίτῃ, βασιλεύοντος Φύλαντος, μάχῃ τε οἱ Δρύοπες ὑπὸ Ἡρακλέους ἐκρατήθησαν, καὶ τῷ Ἀπόλλωνι ἀνάθημα ἤχθησαν ἐς Δελφούς. ἀναχθέντες δὲ ἐς Πελοπόννησον, χρήσαντος Ἡρακλεῖ τοῦ θεοῦ, πρῶτα μὲν τὴν πρὸς Ἑρμιόνῃ Ἀσίνην ἔσχον· ἐκεῖθεν δὲ ἐκπεσόντες ὑπὸ Ἀργείων, οἰκοῦσιν ἐν τῇ Μεσσηνίᾳ Λακεδαιμονίων δόντων, καὶ, ὡς ἀνὰ χρόνον οἱ Μεσσήνιοι κατήχθησαν, οὐ γενομένης σφίσιν ὑπ' αὐτῶν ἀναστάτου τῆς πόλεως. Ἀσιναῖοι δὲ αὐτοὶ περὶ σφῶν οὕτω λέγουσι. κρατηθῆναι μὲν ὑπὸ Ἡρακλέους μάχῃ συγχωροῦσιν, ἁλῶναί τε τὴν ἐν τῷ Παρνασσῷ πόλιν· αἰχμάλωτοι δὲ γενέσθαι καὶ ἀχθῆναι παρὰ τὸν Ἀπόλλωνα, οὔ φασι, ἀλλ', ὡς ἡλίσκετο ὑπὸ τοῦ Ἡρακλέους τὸ τεῖχος, ἐκλιπεῖν τὴν πόλιν, καὶ ἀναφυγεῖν ἐς τὰ ἄκρα τοῦ Παρνασσοῦ· διαβάντες δὲ ὕστερον ναυσὶν ἐς Πελοπόννησον, γενέσθαι φασὶν Εὐρυσθέως ἱκέται, καί σφισιν Εὐρυσθέα, ἅτε ἀπεχθανόμενον τῷ Ἡρακλεῖ, δοῦναι τὴν ἐν τῇ Ἀργολίδι Ἀσίνην. μόνοι δὲ τοῦ γένους τῶν Δρυόπων οἱ Ἀσιναῖοι σεμνύνονται καὶ ἐς ἡμᾶς ἔτι τῷ ὀνόματι, οὐδὲν ὁμοίως Εὐβοέων 6

11) Λυκωρίταις] *Sylb.* ex Stephano praefert Λυκωρείταις.

12) Δρύοπες] De his vid. Heyne V. C. ad Apollodor. p. 475. 476.

Εὐβοέων οἱ Στύρα ἔχοντες. εἰσὶ γὰρ καὶ οἱ Στυρεῖς Δρύοπες τοξαρχῆς, ὅσοι τῆς πρὸς τὸν Ἡρακλέα οὐ μετέσχον μάχης, ἀπωτέρω τῆς πόλεως ἔχοντες τὰς οἰκήσεις. ἀλλὰ οἱ μὲν Στυρεῖς καλεῖσθαι Δρύοπες ὑπερφρονοῦσι, καθάπερ καὶ οἱ Δελφοὶ πεφεύγασιν ὀνομάζεσθαι Φωκεῖς. Ἀσιναῖοι δὲ Δρύοπές τε τὰ μάλιστα χαίρουσι καλούμενοι, καὶ τῶν ἱερῶν τὰ ἁγιώτατά εἰσι δῆλοι κατὰ μνήμην πεποιημένοι τῶν ποτε ἐν Παρνασσῷ σφίσιν ἱδρυμένων. τοῦτο μὲν γὰρ Ἀπόλλωνός ἐστιν αὐτοῖς ναὸς, τοῦτο δὲ Δρύοπος ἱερὸν καὶ ἄγαλμα ἀρχαῖον. ἄγουσι καὶ παρ' ἔτος αὐτῷ τελετὴν, παῖδα τὸν Δρύοπα Ἀπόλλωνος [13]) εἶναι λέγοντες.
7 Κεῖται δὲ ἐπὶ θαλάσσῃ καὶ αὐτὴ κατὰ τὰ αὐτὰ τῇ ποτε ἐν μοίρᾳ τῇ Ἀργολίδι Ἀσίνῃ· σταδίων δὲ τεσσαράκοντά ἐστιν ἐκ Κολωνίδων ἐς αὐτὴν ὁδὸς, τοσαύτη δὲ καὶ ἐκ τῆς Ἀσίνης πρὸς τὸν Ἀκρίταν καλούμενον. ἀνέχει δὲ ἐς θάλασσαν ὁ Ἀκρίτας [14]), καὶ νῆσος Θηγανοῦσά ἐστιν ἔρημος πρὸ αὐτοῦ. μετὰ δὲ τὸν Ἀκρίταν λιμήν τε Φοινικοῦς, καὶ νῆσος κατ' αὐτὸν Οἰνοῦσαι [15]).

13) π. τὸν Δρύοπα Ἀπόλλ.] Plures fuere Dryopes; vid. Verheyk ad Anton. Lib. p. 22. et p. 210.

14) ὁ Ἀκρίτας] Vid. Strab. L. VIII. p. 551. B.

15) νῆσος κατ' αὐτὸν Οἰνοῦσαι] Steph. habet Οἰνοῦσσαι. Non unicam, sed plures insulas fuisse, ex Herodoto, Thucyd. et Plinio liquet; vid. Berkel. ad Stephan. Inde Palmer. Exercit. p. 391. in Pausania pro νῆσος scribendum esse monet νῆσοι.

CAPUT

CAPUT XXXV.

De Mothone, ejusque denominatione — Nauplienſibus Mothonen incolentibus et libertate a Trajano Mothonaeis conceſſa — Epirotarum imperio populari — calamitate Mothonaeis ab Illyriis illata — memorandis in urbe Mothone, templo Minervae Anemotidis — de diverſo aquarum colore et natura.

Μοθώνη δὲ, πρὶν ἢ τὴν στρατιὰν ἐς Τροίαν ἀθροισθῆναι, καὶ ἐπὶ τοῦ πρὸς Ἰλίῳ πολέμου καλουμένη Πήδασος, μεταβέβληκεν ὕστερον τὸ ὄνομα, ὡς μὲν αὐτοὶ Μοθωναῖοι λέγουσιν, ἀπὸ τῆς Οἰνέως θυγατρός· Οἰνεῖ γὰρ τῷ Παρθάονος [1]) μετὰ ἅλωσιν Ἰλίου μετὰ Διομήδους ἀναχωρήσαντι ἐς Πελοπόννησον θυγατέρα φασὶν ἐκ παλλακῆς Μοθώνην γενέσθαι. δόξῃ δὲ ἐμῇ δέδωκε τῷ χωρίῳ τὸ ὄνομα ὁ Μόθων λίθος. οὗτος δέ σφισι καὶ ὁ ποιῶν τὸν λιμένα ἐστί· τόν τε γὰρ ἔσπλουν στενώτερον ταῖς ναυσὶν ἐργάζεται παρήκων ὕφαλος, καὶ ἅμα, μὴ ἐκ βυθοῦ ταράσσεσθαι τὸν κλύδωνα, ἔρυμα ἔσηκεν. Ἐδήλωσα [2]) δὲ καὶ ἐν τοῖς 2
ἔμπροσθεν λόγοις, ὅτι Ναυπλιεῦσιν ἐπὶ Λακωνισμῷ διωχθεῖσι, Δαμοκρατίδα βασιλεύοντος ἐν Ἄργει, Μοθώνην Λακεδαιμόνιοι διδόασι· καὶ ὡς [3]) οὐδὲ ἐκ τῶν Μεσσηνίων κατελθόντων ἐγένετο οὐδὲν ἐς αὐτοὺς νεώτερον. ἦσαν δὲ οἱ Ναυπλιεῖς (ἐμοὶ δοκεῖν) Αἰγύπτιοι τὰ παλαιότερα· παραγενόμενοι δὲ ὁμοῦ Δαναῷ ναυσὶν

1) Παρθάονος] Cod. Moſc. Πορθάονος, uti et Aldina. Sic enim variat nominis ſcriptura; de quo vid. Verheyk ad Antonin. Liber. p. 12. et Heyne V. C. ad Apollodor. p. 112. 113.

2) Ἐδήλωσα etc.) ſupra C. 24.

3) ὡς) Deeſt in Cod. Moſc.

σὶν ἐς τὴν Ἀργολίδα, ὕστερον γενεαῖς τρισὶν ὑπὸ Ναυπλίου τοῦ Ἀμυμώνης κατῳκίσθησαν ἐν Ναυπλίᾳ. Μοθωναίοις δὲ βασιλεὺς μὲν Τραϊανὸς ἔδωκεν, ἐλευθέρους ὄντας ἐν αὐτονομίᾳ πολιτεύεσθαι. Τὰ δὲ ἔτι παλαιότερα μόνοις σφίσι Μεσσηνίων τῶν ἐπὶ θαλάσσῃ τοιόνδε ἀτύχημα ἰδίᾳ συνέβη γενέσθαι. τὰ ἐν Ἠπείρῳ τῇ Θεσπρωτίδι ὑπὸ ἀναρχίας ἐφθάρη. Δηϊδαμείᾳ γὰρ τῇ Πύῤῥου παῖδες οὐκ ἐγένοντο, ἀλλὰ ὡς τελευτᾶν ἐμελλεν, ἐπιτρέπει τῷ δήμῳ τὰ πράγματα. Θυγάτηρ δὲ ἦν Πύῤῥου τοῦ Πτολεμαίου [4]) τοῦ Ἀλεξάνδρου τοῦ Πύῤῥου. τὰ δὲ ἐς Πύῤῥον τὸν Αἰακίδου πρότερον ἔτι ἐν τῷ λόγῳ τῷ ἐς Ἀθηναίους ἐδήλωσα [5]). Προκλῆς δὲ ὁ Καρχηδόνιος, τύχης μὲν χρηστῆς εἵνεκα καὶ διὰ λαμπρότητα ἔργων, ἔνεμεν Ἀλεξάνδρῳ τῷ Φιλίππου πλέον· τάξαι δὲ ὁπλίτας τε καὶ ἱππικὸν, καὶ στρατηγήματα ἐπὶ ἄνδρας πολεμίους εὑρεῖν, Πύῤῥον ἔφασκεν ἀμείνονα γενέσθαι. Ἠπειρώτας [6]) δὲ, ὡς ἐπαύσαντο βασιλεύεσθαι, τά τε ἄλλα ὁ δῆμος ὕβριζε, καὶ ἀκροᾶσθαι τῶν ἐν ταῖς ἀρχαῖς ὑπερεώρων. καὶ σφᾶς οἱ Ἰλλυριοὶ τὰ πρὸς τοῦ Ἰονίου τὴν Ἤπειρον ὑπεροικοῦντες παρεσήσαντο ἐξ ἐπιδρομῆς. οὐ γάρ πω δημοκρατίαν ἴσμεν ἄλλους ἢ Ἀθηναίους αὐξήσαντας· Ἀθηναῖοι γὰρ προήχθησαν

4) Πύῤῥου τοῦ Πτολεμαίου etc.) Discedit ab hoc stemmate Justin. Hist. L. XXVI. 2. 3. et XXVIII. 1. 3., qui Pyrrhum et Ptolemaeum fratres Alexandri filios fuisse dicit, et pro Deïdamia habet Laudamiam. Inde Palmer. Exercit. p. 391. hic τοῦ Πτολεμαίου ejiciendum putat. Forte post Πύῤῥου excidisse ἀδελφοῦ potius credendum sit.

5) ἐν τῷ λόγῳ τῷ ἐς Ἀθ. ἐδήλωσα] Vid. L. I. C. 11.

6) Ἠπειρώτας] Ad ὕβριζε hoc relatum ferri potest. Attamen vel cum *Amasaeo* et *Sylb.* Ἠπειρῶται vel cum *Kuhnio* Ἠπειρώταις scribere mallem.

σαν ἐπὶ μέγα ἀπ' αὐτῆς. συνέσει γὰρ οἰκείᾳ [7]) τὸ Ἑλληνικὸν ὑπερεβάλλοντο, καὶ νόμοις τοῖς καθεστηκόσιν ἐλάχιστα ἠπείθουν. Οἱ δὲ Ἰλλυριοὶ ἀρχῆς τε γε- 4
γευμένοι καὶ ἐπιθυμοῦντες ἀεὶ τοῦ πλείονος, ναῦς τε ἐπήξαντο, καὶ ἐληΐζοντο ἄλλους τε, ὡς ἑκάστους τύχοιεν, καὶ ἐς τὴν Μοθωναίαν σχόντες ὡρμίσαντο οἷα ἐς Φιλίαν· σείλαντες δὲ ἄγγελλον ἐς τὴν πόλιν, ἄγειν σφίσιν οἶνον ἐπὶ τὰ πλοῖα ἐδεήθησαν. ὡς δὲ ἄγοντες ἀφίκοντο ἄνδρες οὐ πολλοί, τόν τε οἶνον ὠνοῦντο ἐπιτιμώντων τῶν Μοθωναίων, καὶ αὐτοί σφισιν ἐπίπρασκον, ὧν ἐπήγοντο. ἐς δὲ τὴν ἐπιοῦσαν ἀφικομένων ἐκ τῆς πόλεως πλειόνων, παρέχουσι καὶ τοῖσδε κερδᾶναι. τέλος δὲ γυναῖκες καὶ ἄνδρες κατίασιν ἐπὶ τὰ πλοῖα οἴνόν τε ἀποδόσθαι καὶ ἐκ τῶν βαρβάρων ἀντιληψόμενοι. ἔνθα νῦν ἀποτολμήσαντες οἱ Ἰλλυριοὶ καὶ ἄνδρας πολλοὺς καὶ ἔτι πλείονας τῶν γυναικῶν ἁρπάζουσι· ἐσθέμενοι δὲ [8]) ἐς τὰς ναῦς ἔπλεον τὴν ἐπὶ Ἰονίου, Μοθωναίων ἐρημώσαντες τὸ ἄστυ. Ἐν Μοθώνῃ ναός ἐστιν 5
Ἀθηνᾶς Ἀνεμώτιδος· Διομήδην δὲ τὸ ἄγαλμα ἀναθεῖναι καὶ τὸ ὄνομα τῇ θεῷ φασι θέσθαι. βιαιότεροι γὰρ καὶ οὐ κατὰ καιρὸν πνέοντες ἐλυμαίνοντο οἱ ἄνεμοι τὴν χώραν. Διομήδους δὲ εὐξαμένου τῇ Ἀθηνᾷ, τὸ ἀπὸ τούτου συμφορά σφισιν οὐδεμία ἀνέμων γε εἵνεκα ἦλθεν ἐς τὴν γῆν. Καὶ Ἀρτέμιδός τε [9]) ἱερόν ἐστιν 6
ἐνταῦθα, καὶ ὕδωρ ἐν Φρέατι κεκραμένον πίσσῃ, Κυζικηνῷ μύρῳ μάλιστα ἰδεῖν ἐμφερές· παράσχοιτο

7) οἰκείᾳ] *Amaſ.*, qui vertit *praecipua*, aliter legiſſe videtur.

8) ἐσθέμενοι δὲ] κω', quod ante ἐσθέμενοι vulgatum fuit, nec cum particula δὲ congruebat, Cod. Moſc. auctoritate fuſtuli.

9) Ἀρτέμιδός τε] Ex ingenio dedi τε pro vulgata δι', quae prorſus alieno loco et mendoſa fuit.

εὐωδίαν [10]) πᾶσαν καὶ χρόαν τὸ ὕδωρ καὶ ὀσμήν. γλαυκότατον μὲν οἶδα ὕδωρ θεασάμενος τὸ ἐν Θερμοπύλαις, οὔτι που πᾶν, ἀλλ' ὅσον κάτεισιν ἐς τὴν κολυμβήθραν, ἥντινα ὀνομάζουσιν οἱ ἐπιχώριοι Χύτρους γυναικείους [11]). Ξανθὸν δὲ ὕδωρ, οὐδέν τι ἀποδέον τὴν χρόαν αἵματος, Ἑβραίων ἡ γῆ παρέχεται πρὸς Ἰόππῃ πόλει. Θαλάσσης μὲν ἐγγυτάτω τὸ ὕδωρ ἐστὶ, λόγον δὲ ἐς τὴν πηγὴν λέγουσιν οἱ ταύτῃ, Περσέα ἀνελόντα τὸ κῆτος, ᾧ τὴν παῖδα προκεῖσθαι τοῦ Κηφέως, ἐνταῦθα τὸ αἷμα ἀπονίψασθαι. ὕδωρ δὲ ἀπὸ πηγῶν ἀνερχόμενον μέλαν ἰδὼν οἶδα ἐν Ἀσσυρίοις. τὰ δὲ Ἄσυρα ἀπαντικρὺ Λέσβου λουτρά ἐστι θερμὰ ἐν τῷ Ἀταρνεῖ καλουμένῳ. τὸ δὲ χωρίον ἐστὶν ὁ Ἀταρνεὺς ὁ Χίων μισθὸς, ὃν παρὰ τοῦ Μήδου λαμβάνουσιν ἄνδρα ἐκδόντες ἱκέτην Πακτύην τὸν Λυδόν [12]). τοῦτο μὲν δὴ μελαίνεται· Ῥωμαίοις δὲ ὑπὲρ τὴν πόλιν, διαβάντων τὸν Ἄνιον ὀνομαζόμενον ποταμὸν, ὕδωρ λευκόν ἐστιν [13]). ἀνδρὶ δὲ ἐσβαντι ἐς αὐτὸ, τὸ μὲν παραυτίκα ψυχρόν τε πρόσεισι καὶ ἐμποιεῖ φρίκην, ἐπισχόντι δὲ ὀλίγον, ἅτε φάρμακον [14]) θερμαίνει τὸ πυρωδέστατον. καὶ

10) εὐωδίαν] Vel hanc vocem vitiosam, vel καὶ ὀσμὴν auferenda esse, dubium non est. Mihi εὐωδίαν ex glossemate voci ὀσμὴν adscripto enata et scribendum esse videtur: παράσχοιτο δ' ἄν.

11) Χύτρους γυν.] Herodot. L. VII. s. 176. de Thermopylis: ἔστι δὲ ἐν τῇ ἐσόδῳ ταύτῃ θερμὰ λουτρὰ, τὰ Χύτρους καλέουσι οἱ ἐπιχώριοι.

12) Πακτύην τὸν Λυδόν] Vid. Herodot. L. I. s. 154. sq. et inprimis s. 160.

13) διαβάντων — ὕδωρ λευκόν ἐστιν] De Albulis aquis Pausan. loquitur, de quibus vid. Strab. L. V. p. 364. B. et Plin. Hist. Nat. L. XXXI. C. 2. p. 547. et ibi Harduin. διαβάντων absolute positum, ut alibi in Pausania.

14) φάρμακον] Hoc ex Cod. Mosc. dedi pro voce nihili μακον,

καὶ ὅσαι μὲν πηγαὶ θαῦμα ἰδεῖν καὶ ἰδόντι [15]), τοσαύτας θεασάμενος οἶδα· τὰς γὰρ δὴ ἐλάσσονας θαύματος ἐπισάμενος παρίημι. ἁλμυρὸν δὲ ὕδωρ καὶ σφυρὸν οὐ μέγα θαῦμα ἐξευρεῖν. δύο δὲ ἀλλοῖα· τὸ μὲν τῆς Καρδίας [16]) ἐν πεδίῳ καλουμένῳ Λευκῷ, θερμόν ἐσιν ὕδωρ παρὰ κώμην ὀνομαζομένην Δασκύλου, πιεῖν καὶ γάλακτος ἥδιον· τὸν δὲ Ἡρόδοτον [17]) οἶδα εἰπόντα, ὡς εἰς τὸν ποταμὸν τὸν Ὕπανιν ἐκδίδωσιν ὕδατος πικροῦ πηγή. πῶς δ' ἂν οὐκ ἀποδεξαίμεθα ἀληθεύειν αὐτῷ τὸν λόγον; ὅπου γε καὶ ἐφ' ἡμῶν ἐν Δικαιαρχίᾳ [18]) τῇ Τυρρηνῶν ἐξεύρηται ὕδωρ σφίσι θερμὸν, οὕτω δή τι ὀξὺ, ὥστε τὸ μόλυβδον [19]) (διεξῄει γὰρ διὰ μολύβδου ῥέον) ἔτεσι κατέτηξεν οὐ πολλοῖς.

κον, *Camer.*, *Xylandro* et *Amaſ.* quoque ita legentibus. Sic *Kuhnii* emendatio (de qua vid. not. ſequ.) eſt ſupervacanea.

15) ὅσαι μὲν πηγαὶ θαῦμα ἰδεῖν καὶ ἰδόντι] Vitioſa eſſe verba καὶ ἰδόντι jam *Kuhnius* vidit, iisque medicam manum, ſed nimis audacter, attulit, vocem φάρμακον ex antecedentibus huc transferendo et emendando καὶ πιόντι φάρμακον. Equidem lectione Codicis Moſc. ὅσαις μ. πηγαῖς in verae lectionis veſtigia inductus perſuaſum habeo, ſcribendum eſſe: ὅσαις μὲν πηγαῖς θαῦμα ἰδεῖν καὶ ἴδιόν τι (ſc. ἐσι) etc., *quibus fontibus mirum aliquid aſpectu et peculiare ineſt* etc. Conf. Suidas v. ἴδιον, qui accurate et copioſe de hujus vocabuli ſignificatu egit.

16) Καρδίας] Straboni et Stephano Καρδία eſt urbs Thraciae Cherſoneſi, et Steph. Δασκύλιον habet Cariae urbem. Inde Palmer. Excercit. p. 391. 392. pro Καρδίας hic emendat Καρίας. Sed nihil forte mutandum; in Strabone enim L. XII. p. 861. C. Δασκύλειον etiam eſt urbs Cherſoneſi Thrac.

17) Ἡρόδοτον] Vid. L. IV. ſ. 52.

18) Δικαιαρχίᾳ) Stephan. Byz. Δικαιάρχεια.

19) τὸ μόλυβδον] Cod. Moſc. hic et infra μόλιβδον, quae ſcriptura uſitatior eſt. Pro τὸ ſcribendum τὸν, uti *Sylb.* recte monet.

CAPUT XXXVI.

De promontorio Coryphasio et urbe Pylo — memorandis in urbe Pylo — Nestoris bobus et priscorum hominum pecoris et gregis studio — Sphacteria insula — memorandis Cyparissiarum et Neda fluvio.

Ἔστι δὲ ἐκ Μοθώνης ὁδὸς σταδίων μάλιστα ἑκατὸν ἐπὶ τὴν ἄκραν τὸ Κορυφάσιον· ἐπ' αὐτῇ δὲ ἡ Πύλος κεῖται [1]). ταύτην ὤκισε Πύλος ὁ Κλήσωνος [2]), ἀγαγὼν ἐκ τῆς Μεγαρίδος τοὺς ἔχοντας τότε αὐτὴν Λέλεγας. καὶ τῆς μὲν οὐκ ὤνατο, ὑπὸ Νηλέως καὶ τῶν ἐξ Ἰωλκοῦ Πελασγῶν ἐκβληθείς· ἀποχωρήσας δὲ ἐς τὴν ὄμορον, ἔσχεν ἐνταῦθα Πύλον τὴν ἐν τῇ Ἠλείᾳ. Νηλεὺς δὲ βασιλεύσας ἐς τοσοῦτο προήγαγεν ἀξιώματος τὴν Πύλον, ὡς καὶ Ὄμηρον ἐν τοῖς
2 ἔπεσιν ἄσυ ἐπονομάσαι Νηλήϊον [3]). Ἐνταῦθα ἱερόν ἐστιν Ἀθηνᾶς, ἐπίκλησιν Κορυφασίας, καὶ οἶκος καλούμενος Νέστορος. ἐν δὲ αὐτῷ καὶ ὁ Νέστωρ γέγραπται, καὶ μνῆμα ἐντὸς τῆς πόλεώς ἐστιν αὐτῷ. τὸ δὲ ὀλίγον ἀπωτέρω τῆς Πύλου Θρασυμήδους [4]) φασὶν εἶναι.
3 Καὶ σπήλαιόν ἐστιν ἐντὸς τῆς πόλεως· βοῦς δὲ ἐνταῦθα τὰς Νέστορος, καὶ ἔτι πρότερον Νηλέως, φασὶν αὐλίζεσθαι.

1) ἐπ' αὐτῇ δὲ ἡ Πύλος κ.] Thucyd. et ex eo Steph. Byz. Pylon dictam fuisse Coryphasium commemorant. De tribus Pylis vid. Strab. L. VIII. p. 522. 523. et Steph. Κορυφάσιον.

2) Πύλος ὁ Κλ.] L. I. C. 39. in fine Κλήσωνος δὲ τοῦ Λέλεγος γενέσθαι Πύλαν. Conf. L. I. C. 5. et Apollodor. L. III. C. 13. 5., ubi Heyne V. C. p. 869. etiam hic Πύλας pro Πύλος scribendum esse recte monet. Attamen jam antiquitus hujus nominis scriptura variasse videtur; in Pausania enim L. VI. C. 22. Pyli Eliacae conditor dicitur Πύλων ὁ Κλήσωνος.

3) Νηλήϊον] Vid. Iliad. Λ. v. 681.

4) Θρασυμήδους] Nestoris filii; vid. supra C. 31. in fine.

σθαι. εἴη δ' ἂν Θεσσαλικὸν τὸ γένος τῶν βοῶν τούτων, Ἰφίκλου ποτὲ τοῦ Πρωτεσιλάου πατρός. ταύτας γὰρ δὴ τὰς βοῦς Νηλεὺς ἔδνα ἐπὶ τῇ θυγατρὶ ἤτει τοὺς μνωμένους· καὶ τούτων εἵνεκα ὁ Μελάμπους χαριζόμενος τῷ ἀδελφῷ Βίαντι [5]) ἀφίκετο ἐς τὴν Θεσσαλίαν, καὶ ἐδέθη μὲν ὑπὸ τῶν βουκόλων τοῦ Ἰφίκλου, λαμβάνει δὲ μισθὸν, ἐφ' οἷς αὐτῷ δεηθέντι ἐμαντεύσατο. ἐσπουδάκεσαν δὲ ἄρα οἱ τότε πλοῦτόν τινα συλλέγεσθαι τοιοῦτον, ἵππων καὶ βοῶν ἀγέλας· εἰ δὴ Νηλεύς τε γενέσθαι οἱ βοῦς ἐπεθύμησε τὰς Ἰφίκλου, καὶ Ἡρακλεῖ κατὰ δόξαν τῶν ἐν Ἰβηρίᾳ βοῶν προσέταξεν Εὐρυσθεὺς ἐλάσαι τῶν Γηρυόνου βοῶν τὴν ἀγέλην. φαίνεται δὲ καὶ Ἔρυξ [6]) τότε ἐν Σικελίᾳ δυναστεύων, δριμὺν οὕτως ἔχων ἐς τὰς βοῦς τὰς ἐξ Ἐρυθείας [7]) ἔρωτα, ὥστε καὶ ἐπάλαισε πρὸς τὸν Ἡρακλέα, ἆθλα ἐπὶ τῇ πάλῃ καταθέμενος τάς τε βοῦς ταύτας καὶ ἀρχὴν τὴν ἑαυτοῦ. πεποίηκε δὲ καὶ Ὅμηρος [8]) ἐν Ἰλιάδι, ὡς Ἰφιδάμας ὁ Ἀντήνορος τὰ πρῶτα τῶν ἔδνων, ἑκατὸν βοῦς, τῷ πενθερῷ δοίη. ταῦτα μὲν τὸν λόγον μοι βεβαιοῖ, βουσὶ τοὺς τότε μάλιστα χαίρειν ἀνθρώπους. ἐνέμοντο δὲ (ἐμοὶ δοκεῖν) αἱ τοῦ Νηλέως βοῦς ἐν τῇ ὑπερορίᾳ τὰ πολλά. ὑπόψαμμός τε γάρ ἐστιν ὡς ἐπίπαν ἡ τῶν Πυλίων χώρα, καὶ πόαν βουσὶν οὐχ ἱκανὴ τοσαύτην παρέχεσθαι [9]). μαρτυρεῖ δέ μοι καὶ Ὅμηρος ἐν μνήμῃ Νέστορος, ἐπιλέγων [10]) ἀεὶ βασιλέα αὐτὸν ἠμαθόεν-

5) ὁ Μελάμπους χαριζ. τῷ ἀδελφῷ Βίαντι etc.] De his vid. Apollodor. L. I. C. 9. s. 11. 12. et ibi not. Conf. schol. ad Apollon. Rhod. L. I v. 118.

6) Ἔρυξ etc.] Vid. supra L. III. C. 16.

7) ἐξ Ἐρυθείας] Geryonis sede. Vid. Apollod. p. 132. et ibi not.

8) Ὅμηρος etc.] Vid. Iliad. Λ. v. 244.

9) παρέχεσθαι] Cod. Mosc. παρασχέσθαι.

10) Ὅμηρος — ἐπιλέγων etc.] Vid. Iliad. B. v. 77. Duplicem epitheti

4 μαθόεντος εἶναι Πύλου. Τοῦ λιμένος δὲ ἡ Σφακτηρία νῆσος προβέβληται, καθάπερ τοῦ ὅρμου τοῦ Δηλίων ἡ Ῥήνεια [11]). ἐοίκασι δὲ αἱ ἀνθρώπειαι τύχαι καὶ χωρία τέως ἄγνωστα ἐς δόξαν προηχέναι [12]). Καφηρέως [13]) τε γάρ ἐστιν ὄνομα τοῦ ἐν Εὐβοίᾳ τοῖς σὺν Ἀγαμέμνονι Ἕλλησιν ἐπιγενομένου χειμῶνος ἐνταῦθα, ὡς ἐνομίζοντο ἐξ Ἰλίου. Ψυτταλίαν [14]) τε τὴν ἐπὶ Σαλαμῖνι ἴσμεν ἀπολομένων ἐν αὐτῇ τῶν Μήδων. ὡσαύτως δὲ καὶ τὴν Σφακτηρίαν [15]) τὸ ἀτύχημα τὸ Λακεδαιμονίων γνώριμον τοῖς πᾶσιν ἐποίησεν. Ἀθηναῖοι δὲ καὶ Νίκης ἀνέθηκαν ἄγαλμα ἐν ἀκροπόλει χαλκοῦν ἐς μνήμην τῶν ἐν
5 τῇ Σφακτηρίᾳ. Ἀφικομένων δὲ ἐς Κυπαρισσίας ἐκ Πύλου, σφίσι πηγὴ ὑπὸ τῇ πόλει πλησίον θαλάσσης ἐξίρυῆναι δὲ Διονύσῳ τὸ ὕδωρ λέγουσι θύρσῳ πλήξαντι ἐς τὴν γῆν, καὶ ἐπὶ τούτῳ Διονυσιάδα ὀνομάζουσι τὴν πηγήν. ἔστι δὲ καὶ Ἀπόλλωνος ἐν Κυπαρισσίαις ἱερὸν καὶ Ἀθηνᾶς ἐπίκλησιν Κυπαρισσίας. ἐν δὲ Αὐλῶνι καλουμένῳ ναὸς Ἀσκληπιοῦ καὶ ἄγαλμά ἐστιν Αὐλωνίου. κατὰ τοῦτο ὁ ποταμὸς ἡ Νέδα μεταξὺ τῆς τε Μεσσηνίας ἤδη καὶ τῆς Ἠλείας διέξεισιν.

epitheti ἡμαθόεντος rationem adfert Hesych. h. v, alteram scilicet a fluvio Amatho, quam etiam habet Strabo L. VIII. p. 518.

11) τοῦ Δηλίων ἡ Ῥήνεια] Vid. Strab. L. X. p. 744. C.

12) προηχέναι] Cod. Mosc. προῆχθαι.

13) Καφηρέως etc.] Vid. Odyss. γ. v. 134. sq. et Interpr.

14) Ψυτταλίαν] Variat scriptura, uti in similibus. Supra L I. C. 36. Ψυτταλεία, et sic in Steph. In Strab. est Ψυττάλια. Ad rem vid Herodot. Uran. s. 95. et Pausan. L. I. C. 36.

15) Σφακτηρίαν etc.] Vid. Thucyd. L. IV. s 26. sq. et Diodor. L. XII. s. 63.

Finis Tomi I.

742
Η-93993

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова





НБ ОНУ імені І.І.Мечникова